ιθ'. Βούλομαι δὲ ἤδη καὶ περὶ τῶν ἄλλων ῥητόρων ἀποδοῦναι τὸν λόγον, ἵνα μή τις ἀγνοίᾳ με δόξῃ παραλιπεῖν αὐτοὺς ἐπιφανεῖς ὄντας καὶ ὀνόματος ἠξιωμένους οὐ μετρίου, ἢ φυγῇ τοῦ πόνου τὸ ῥᾷστον αἱρούμενον τῶν ἔργων τὴν περὶ αὐτῶν ἀφεικέναι σκέψιν. ἐγὼ γὰρ οὔτε ἠγνόουν, οὓς ἅπαντες ἴσασιν, οὔτε ὤκνουν ὑπὲρ αὐτῶν γράφειν, εἴ τι χρήσιμον ἔμελλεν ἐξοίσειν ἡ γραφή. ἐνθυμούμενος δὲ ὅτι τὴν μὲν ποιητικὴν κατασκευὴν καὶ 365
τὸ μετέωρον δὴ τοῦτο καὶ πομπικὸν εἰρημένον οὐδεὶς Ἰσοκράτους ἀμείνων ἐγένετο, παρέλιπον ἑκὼν οὓς ᾤδειν ἧττον ἐν ταῖς ἰδέαις ταύταις κατορθοῦντας, Γοργίαν μὲν τὸν Λεοντῖνον ἐκπίπτοντα τοῦ μετρίου καὶ πανταχοῦ παιδαριώδη γιγνόμενον ὁρῶν, Ἀλκι-

solvit, καταδιαιτᾷν autem, cum reum condemnat. Reisk.

Ἡμῖν] Cur damnetur, causæ nil video. *nobis*, id est, pro nobis, in causa nostra. Idem.

Τοιοῦτον] *tale, ejusmodi testimonium.* Sed qualenam? quo refertur illud τοιοῦτον, si nihil præcessit, cui simile dicitur esse? μέγα nempe, *æquale* magnitudine testimonium, atque futurum fuisset illud adversariorum adversus Euphiletum argumentum, si per æquitatem arbitrorum licuisset ipsis eo uti. Unde constat veram esse illam meam paulo ante proditam conjecturam: μέγα μετὰ ταῦτα ἔφησαν ἂν εἶναι σημεῖον. Nam si μέγα illinc excludatur, carebit hic voc. τοιοῦτον sententia. Idem.

Αὐτοὶ] Non accepisse ab Euphileto injuriam, sed ei ultro, ipsi sua sponte, nulla idonea causa provocati, inferre. redit ad municipales Euphileto adversantes. Sin autem αὐτοῖς legatur, de quo pro sensu quisque suo statuet, redibit ad par illud arbitrorum, ad quorum cognitionem hæc de statu civili Euphileti causa delata fuerat. Ego equidem a vulgata discedendum h. l. esse nego. Idem.

Πρῶτον] Id est, τὸ πρῶτον, *primitus*, h. e. tum quum inscriberetur ἀπ' ἀρχῆς, statim a principio, tametsi postea rursus denuo inscriptus non fuit. Suspicabar aliquando de πρότερον, ob insequens ὕστερον. Sed proculdubio bene habet vulgata. Idem.

Χαριέντως] Aut post χαριέντως aut post δεινῶς deest εἰπεῖν, aut tale quid. Idem.

Τούτων] Post τούτων deesse videtur ἱκανῶς. Idem.

Αἱρούμενον] Subaudi ἀντὶ τοῦ χαλεπωτέρου. Idem.

Ὤκνουν] Adde ἄν. *neque defugissem, reformidassem.* Idem.

Πανταχοῦ] Superscriptum est in Bodleiano πολλαχοῦ, quæ castigatio et reprehensio, a sedulo quodam lectore profecta, non ipsius Dionysii dictio, mihi videtur esse. Gorgiæ cum aut nihil, aut parum hodie supersit, nam de reliquiis ei attribui solitis decernere, mihi non arrogo, haud juvat hac in causa arbitrum agere. Idem.

δάμαντα δὲ τὸν ἀκουστὴν αὐτοῦ παχύτερον ὄντα τὴν λέξιν καὶ κοινότερον, Θεόδωρον δὲ τὸν Βυζάντιον ἀρχαῖόν τινα καὶ οὔτε ἐν ταῖς τέχναις ἀκριβῆ οὔτ' ἐξέτασιν ἱκανὴν ἐν τοῖς ἐναγωνίοις δεδωκότα λόγοις, Ἀναξιμένην δὲ τὸν Λαμψακηνὸν ἐν ἁπάσαις μὲν ταῖς ἰδέαις τῶν λόγων τετράγωνόν τινα εἶναι βουλόμενον —
366 καὶ γὰρ ἱστορίας γέγραφε καὶ περὶ τοῦ ποιητοῦ συντάξεις καταλέλοιπε καὶ τέχνας ἐξενήνοχεν, ἤπται δὲ καὶ συμβουλευτικῶν καὶ δικανικῶν ἀγώνων —, οὐ μέντοι τέλειόν γε ἐν οὐδεμιᾷ τούτων τῶν ἰδεῶν, ἀλλ' ἀσθενῆ καὶ ἀπίθανον ὄντα ἐν ἁπάσαις θεωρῶν. οὐ δὴ δεῖν ᾠόμην, Ἰσοκράτους ἐν ἅπασι πάντων τούτων ὑπερέχοντος, λόγον τινὰ ποιῆσαι περὶ ἐκείνων, οὐδέ γε περὶ τῶν συμβιωσάντων Ἰσοκράτει καὶ τὸν χαρακτῆρα τῆς ἑρμηνείας ἐκείνου ἐκμιμησαμένων οὐθενὸς, Θεοδέκτου λέγω καὶ Θεοπόμπου καὶ Ναυκράτους, Ἐφόρου τε καὶ Φιλίστου καὶ Κηφισοδώρου καὶ ἄλλων συχνῶν· οὐδὲ γὰρ ἐκεῖνοι κρίνεσθαι πρὸς τὴν Ἰσοκράτους δύναμιν εἰσὶν ἐπιτήδειοι. τῶν μὲν δὴ κατὰ ταύτην τὴν ἀγωγὴν κοσμουμένων ἐκεῖνον τὸν ἄνδρα διαφορώτατον ἡγησάμενος, οὐκ ἔτι περὶ τῶν ἄλλων ἠξίωσα μακρολογεῖν καὶ δαπαναῖν εἰς οὐδὲν ἀναγκαῖον τὸν χρόνον.

κ'. Τῶν δὲ τοὺς ἀκριβεῖς προαιρουμένων λόγους καὶ πρὸς τὴν
367 ἐναγώνιον ἀσκούντων ῥητορικὴν, ὧν ἐγένετο Ἀντιφῶν τε ὁ Ῥαμνούσιος καὶ Θρασύμαχος ὁ Χαλκηδόνιος καὶ Πολυκράτης ὁ Ἀθηναῖος, Κριτίας τε ὁ τῶν Τριάκοντα ἄρξας καὶ Ζωΐλος ὁ τὰς καθ' Ὁμήρου συντάξεις καταλιπὼν καὶ ἄλλοι τοιοῦτοί τινες, οὐδένα ἡγούμενος οὔτε ἀκριβέστερον οὔτε χαριέστερον γεγονέναι Λυσίου· Ἀντιφῶν γε μὴν τὸ αὐστηρὸν ἔχει μόνον καὶ ἀρχαῖον, ἀγωνιστὴς δὲ λόγων οὔτε συμβουλευτικῶν οὔτε δικανικῶν ἐστί· Πολυκράτης δὲ κενὸς μὲν ἐν τοῖς ἀληθινοῖς, ψυχρὸς δὲ καὶ φορτικὸς ἐν τοῖς ἐπιδεικτικοῖς, ἄχαρις δὲ ἐν τοῖς χαριεντισμοῦ δεομένοις ἐστί· Θρασύμαχος δὲ καθαρὸς μὲν καὶ λεπτὸς καὶ δεινὸς εὑρεῖν τε καὶ εἰπεῖν στρογγύλως καὶ περιττῶς ὃ βούλεται, πᾶς δ' ἐστὶν ἐν τοῖς τεχνογραφικοῖς καὶ ἐπιδεικτικοῖς, δικανικοὺς δὲ ἢ
368 συμβουλευτικοὺς οὐκ ἀπολέλοιπε λόγους· τὰ δὲ αὐτὰ καὶ περὶ

Ἀρχαῖον] Accipe non de tempore, sed de ingenio, deteriorem in partem. *vietum, et condemnendum ob fatuitatem.* Idem.

Περὶ τοῦ ποιητοῦ] Τοῦ ποιητοῦ ambiguum est significetne τοῦ ποιητοῦ λόγων γένους, an κατ' ἐξοχὴν *poetarum principis*: ut v. 23. Zoilus contra Homerum commentarios reliquisse dicitur. Pausanias Eliacæn 2. 196. 3. tradit, carmen epicum de Alexandro adscribi a quibusdam Anaximeni: sed id sibi non videri verisimile. Narrat ibidem, eum tum alia scripsisse, tum Antiquas res Græciæ, et res a Philippo atque Alexandro gestas: præterea cum natura esset sophista, et sophistarum orationes probe imitari nosset, probrosum quoddam in Athenienses, Lacedæmonios ac Thebanos scriptum Theopompeo stilo exarasse, effictisque ad illius imitationem omnibus, sub Theopompi nomine librum edidisse, ad conflandum ei, propter simultatem quandam privatam, publicum Græcorum odium. Idem.

Ἀκριβεῖς] *castigatas, tersas, limatas, adstrictas orationes*, in quibus nihil esset redundans, nil luxurians, nil pompaticum atque histrionicum, sed ad veritatem et necessitatem usus præsentis exacta essent omnia; has igitur opponit τοῖς μετεώροις καὶ πομπικοῖς Isocraticorum, eorumque τῇ ποιητικῇ κατασκευῇ, ubi multa caudam trahunt, oblectationis, aut etiam illusionis ergo assuta, severitatem necessitatis et veritatis haud ferentia. Idem.

Ἡγούμενος] Resumit et absolvit orationem longa interpolatione (parenthesin usurpant) suspensam, p. 29. 3. in illis οἰόμενος — ἐποιησάμην κανόνα. Idem.

Κριτίου καὶ περὶ Ζωΐλου τις ἂν εἰπεῖν ἔχοι, πλὴν ὅσον τοῖς χαρακτῆρσι τῆς ἑρμηνείας διαλλάττουσιν ἀλλήλων· τούτων δή φημι τῶν ἀνδρῶν καὶ τῶν παραπλησίων τούτοις διαφέρειν οἰόμενος Λυσίαν, καὶ ὥςπερ ἀρχέτυπον ὑπογράφων ὑπερέχειν ἐκεῖνον τὸν ἄνδρα, ταύτης τῆς προαιρέσεως τῶν λόγων ἐποιησάμην κανόνα. τὸν δὲ δὴ τρίτον Ἰσαῖον, εἴ τις ἔροιτό με, τίνος ἕνεκα προσεθέμην, Λυσίου δὴ ζηλωτὴν ὄντα, ταύτην ἂν αὐτῷ φαίην 369
τὴν αἰτίαν, ὅτι μοι δοκεῖ τῆς Δημοσθένους δεινότητος, ἣν οὐθείς ἐστιν ὃς οὐ τελειοτάτην ἁπασῶν οἴεται γενέσθαι, τὰ σπέρματα καὶ τὰς ἀρχὰς οὗτος ὁ ἀνὴρ παρασχεῖν. διὰ μὲν δὴ ταύτας τὰς αἰτίας τούσδε τοὺς ἄνδρας μόνους παρέλαβον. εἰ δὲ περὶ πάντων ἠξίουν γράφειν, εἰς κενότητας ἄν μοι ὁ λόγος ἐξέπιπτε καὶ πρὸς τῷ μηθὲν ἢ οὐ πολὺ τὸ χρήσιμον ἔχειν, εἰς ἀπέραντόν τινα καὶ οὐ 370
σύμμετρον ἐξεμηκύνθη γραφήν. καὶ περὶ τούτων μὲν ἅλις. ἑτέραν δὲ ἀρχὴν ποιήσομαι τοῦ λόγου περί τε Δημοσθένους καὶ Ὑπερείδου καὶ τρίτου λέγων Αἰσχίνου· ἡ γὰρ δὴ τελειοτάτη ῥητορικὴ καὶ τὸ κράτος τῶν ἐναγωνίων λόγων ἐν τούτοις τοῖς ἀνδράσιν ἔοικεν εἶναι.

Ὑπογράφων] Num ἀπογρ. ut p. 13. 9. IDEM.

Τίνος ἕνεκα προσεθέμην] Vulgatæ dant τ. ἕ. οὐ προσεθ. ego vero particulam infitiantem expungendam duxi, et ad veram sedem, unde huc aberraverat, deducendam v. 13. Isæum utique Dionysius Lysiæ adjunxerat, προσέθετο [vel potius προσέθηκε], quem Isæum debuisset omittere, si fidem voluisset excusationi facere, qua hic utitur adversus eos, qui silentium ejus de reliquis oratoribus ægre laturi atque exprobraturi videbantur. Quorum reprehensionem metuens Dionysius, telum hoc defendit hac excusatione. Simulas, aiunt, Dionysi, reliquos oratores a te ideo præteritos esse, quod aut Isocratis aut Lysiæ fuissent imitatores, magistris inferiores. Bonum factum. Verumtamen hæc si tibi vera fuit atque idonea causa, cur Isæum, et ipsum quoque in Lysiæ vestigia, quod tute ipse profiteris, ingressum, tanti fecisti, ut de eo peculiari libello pluribus disputares? Ideo nempe feci, occurrit Dionysius, quod Isæus haud immerito pater haberi possit illius eloquentiæ generis, quod postmodum a Demosthene, Isæi discipulo, ita elaboratum et perfectum fuit, ut ex eo recte Demosthenicum appelletur. Paulo post adeo, initio disputatiunculæ super Dinarcho, nominatim Isæum Dionysius noster appellat εὑρετὴν ἰδίου χαρακτῆρος. IDEM.

Τὰ σπέρματα] Auctor vitæ Homeri inter opuscula mythologica, edita Amstelodami, p. 323. in judicio de principe poetarum, iisdem fere verbis utitur, ex quibus, ut alia mittam argumenta, conjicit cl. Galeus in præfat. ad illa opuscula, vel illius libelli patrem fuisse Dionysium, vel, si alius a Dionysio fuit, plurima ab eo transsumpsisse. HUDSON.

Τούσδε τοὺς ἄνδρας] Isocratem, Lysiam, Isæum. REISK.

Πρὸς τὸ μηθὲν ἢ πολὺ] Legendum videtur: πρὸς τῷ μηθὲν ἢ οὐ πολὺ τὸ χρ. ἔχ. SYLBURG. Fui in auctoritate Sylburgii. REISK.

Ὑπερείδου] Ὑπερείδης et hic et in sequ. per ει diphthongum constanter legitur: at supra 71, 20. et alibi, per ι: quo modo et manu exaratus liber ibi habet, et Suidæ ac Plutarchi exemplaria. Porro secunda hæc pars de Oratoribus Atticis, quæ supra etiam promittitur in præfatione hujus tractatus, 81, 44. ad nos non pervenit. SYLBURG.

Λέγων] In margine Bodleiani h. l. adscriptum reperit Hudsonus ἴσως λέγω. quod etiam atque etiam probo. Possit tamen quoque de λέξων cogitari. REISK.

ΙΣΑΙΟΥ ΛΟΓΟΙ.

A.

ΙΣΑΙΟΥ

ΠΕΡΙ ΤΟΥ ΚΛΕΩΝΥΜΟΥ ΚΛΗΡΟΥ.

Pag. ed. teph. | Pag. ed. Reisk.

ΥΠΟΘΕΣΙΣ.

35 Ἀδελφιδοῖ Κλεωνύμου τελευτήσαντος ἐπὶ τὸν κλῆρον ἔρχονται κατὰ γένος. καὶ τὰς διαθή- 1
κας, ἃς παρέχονται εἰς αὐτοὺς οἱ περὶ Φερένικον καὶ Σίμωνα καὶ Ποσείδιππον, γράψαι, ὡς 2
ἀληθὲς ὖν, καὶ θεῖναι παρὰ τοῖς ἄρχουσιν, ὁμολογοῦντες Κλεώνυμον κατὰ τὴν πρὸς Δεινίαν τὸν
ἐπίτροπον αὐτῶν ὀργὴν, ὕστερον δὲ ἐπιχειρήσαντα λῦσαι καὶ μεταπεμψάμενον τὸν ἀστυνό-
μον ἐξαίφνης [1][ἀποθανεῖν]· καὶ Πολύαρχον δὲ τὸν πάππον αὐτῶν, Κλεωνύμου δὲ πατέρα,
προστάξαι, εἴ τι πάσχοι Κλεώνυμος, δοῦναι αὐτοῖς τὰ ὑπάρχοντα. Ἡ στάσις ὅρος διπλοῦς
κατὰ ἀμφισβήτησιν· οἱ μὲν γὰρ ἄλλοι ταῖς γενομέναις ἐξ ἀρχῆς διαθήκαις διισχυρίζονται, οἱ
δ' ἀντιλέγοντες φασὶν ὅτι μετεκαλέσατο τὸν ἄρχοντα, ἵνα λύσῃ αὐτάς· καὶ τελευταῖον τοῖς
παρὰ τοῦ Κλεωνύμου γενομένοις.

1 α'. ΠΟΛΛΗ μὲν ἡ μεταβολή μοι γέγονεν, ὦ ἄνδρες,
τελευτήσαντος Κλεωνύμου. ἐκεῖνος γὰρ ζῶν μὲν ἡμῖν κατέ-
λιπε τὴν οὐσίαν, ἀποθανὼν δὲ κινδυνεύειν περὶ αὐτῆς πε-
ποίηκε. καὶ τότε μὲν οὕτως ὑπ' αὐτοῦ σωφρόνως ἐπαιδευό-
5 μεθα, ὥστ' οὐδὲ ἀκροασόμενοι οὐδέποτε ἤλθομεν ἐπὶ 3
δικαστήριον, νῦν δὲ ἀγωνιούμενοι περὶ πάντων ἥκομεν τῶν
ὑπαρχόντων· οὐ γὰρ τῶν Κλεωνύμου μόνον ἀμφισβητοῦσιν,
ἀλλὰ καὶ τῶν πατρώων, ὀφείλειν ἐπὶ τούτοις [2]ἐκείνῳ φά-

[1] uncos om.

[2] ἐκεῖνον φάσκ. ἀγγύρια

Οἱ περὶ Φερένικον καὶ Σίμωνα] Phereni-cus, Simon, quinam? Credibile est ὑποθήτην [sic. voluit τὸν ὑποθέτην] in integram orationem incidisse, quam nos non nisi dimidiam habemus. Vid. versus finem. Taylor. Argumentum ipse idem Taylor hoc modulo suo præscripserat: "Polyarchus tres liberos suscepit, Cleonymum, Diniam et patrem τοῦ ἀμφισβητοῦντος. Cum ad hunc bona Cleonymi improlis defuncti erant perventura ex legibus municipalibus, tum vero ex voluntate Polyarchi, Cleonymus fratri Diniæ infensus, qui tunc nepotem orphanum tutabatur, testamentum inofficiosum condit. Defuncto vero Dinia, mutata mente, rescindere voluit, et magistratum ea propter accersit. Excluso tamen magistratu ab iis, quorum maxime intererat, Cleonymus interea moritur. Agitur ergo de vi istius testamenti, quod quasi ingratiis et ad se rediens ad postremum irritum fieri voluit." Propterea toti quoque orationi titulum præscripsit *de testamento inofficioso*. Reisk.

Μὲν] Redundat, ut sæpe, non insequente δέ. Idem.

Ἀμφισβητοῦσιν] Subaudi ἡμῖν οἱ ἐναντίοι. qui adversarii sunt Posidippus et Diocles. v. p. 36, 32. ed. Steph. quam editionem ubique locorum allego, quoties aliquid ex Isæo mihi his in annotationibus allegandum venit. Idem.

Πατρώων] Sic dedi pro vetusta lectione Ald. et Steph. πατέρων, sententia id subjiciente, et ipso Isæo paulo post p. 34. 4. consentientes in ea re habens schedas Brularianas, et codicem Tophanis. Qui Tophanis cujus fuerit, ex me nemo requirat: prorsus enim ignoro. Taylor ex

σκοντες ἀργύριον. καὶ οἱ μὲν οἰκεῖοι καὶ οἱ προσήκοντες οἱ
4 τούτων ἀξιοῦσιν ἡμᾶς καὶ τῶν ὁμολογουμένων, ὧν Κλεώνυ-
μος κατέλιπεν αὐτοῖς, τούτων ἰσομοιρῆσαι· οὗτοι δὲ εἰς
τοῦτο ἥκουσιν ἀναισχυντίας, ὥστε καὶ τὰ πατρῷα προσ- 10
αφελέσθαι ζητοῦσιν ἡμᾶς, οὐκ ἀγνοοῦντες, ὦ ἄνδρες, τὸ
δίκαιον, ἀλλὰ πολλὴν ἡμῶν ἐρημίαν καταγνόντες. σκέψα-
σθε γὰρ οἷς ἑκάτεροι πιστεύοντες ὡς ὑμᾶς εἰσεληλύθαμεν.
οὗτοι μὲν διαθήκαις ἰσχυριζόμενοι τοιαύταις, ἃς ἐκεῖνος
διέθετο μὲν οὐχ ἡμῖν ἐγκαλῶν ἀλλ' ὀργισθεὶς τῶν οἰκείων
τινὶ τῶν ἡμετέρων, ἔλυσε δὲ πρὸ τοῦ θανάτου, πέμψας
Ποσείδιππον ἐπὶ τὴν ἀρχήν· ἡμεῖς δὲ γένει μὲν ἐγγυτάτω 15
5 προσήκοντες, χράμενοι δὲ ἐκείνῳ πάντων οἰκειότατα, δεδω-
κότων δ' ἡμῖν καὶ τῶν νόμων κατὰ τὴν ἀγχιστείαν καὶ
αὐτοῦ τοῦ Κλεωνύμου διὰ τὴν φιλίαν τὴν ὑπάρχουσαν
αὐτῷ, ἔτι δὲ [1] Πολυάρχου, τοῦ πατρὸς Κλεωνύμου, πάπ-
που δ' ἡμετέρου, προστάξαντος, εἴ τι πάθοι Κλεώνυμος
ἄπαις, ἡμῖν δοῦναι τὰ αὐτοῦ. τοσούτων τοίνυν ἡμῖν ὑπαρ-
χόντων οὗτοι, καὶ συγγενεῖς ὄντες καὶ οὐδὲν δίκαιον εἰπεῖν 20
ἔχοντες, οὐκ αἰσχύνονται καταστήσαντες ἡμᾶς εἰς ἀγῶνα
περὶ τούτων, περὶ ὧν αἰσχρὸν ἦν ἀμφισβητῆσαι καὶ τοῖς
μηδὲν προσήκουσιν.

[1] Πολιάρχου

eo codice non pauca ad Isæum retulit suis in schedis, hoc solo contentus indicio: *Tophanis Book at Eaton*. Videtur ille liber Etonensis non codex antiquus calamo exaratus, sed Aldina esse, a nescio quo notulis in marginem conjectis insignita. Ego postmodum Tophanis librum laudabo, quoties usu veniet. Sententia est: non de hereditate modo, sed etiam ipso de patrimonio nostro nobis controversiam movent, aientes, illum, Cleonymum puta, super illo patrimonio nostro nonnihil æris debere, vel nomina nescio quæ contraxisse. Idem.

Ἐκεῖνον] Cleonymum puta. Schedæ Brulart. subjiciunt ἐκείνῳ. quod si probetur, erit hæc sententia: aientes, nos illi, Cleonymo, certas quasdam nummorum summas super eodem nostro patrimonio debere. Idem.

Οἱ τούτων] Liber Tophanis expungi vult articulum. Ego vero tuebor. Idem.

Τούτων] Taylor mavult καὶ τούτων. Etiam hoc male. præcessit jam καί. Idem.

Τοιαύταις] Rursus Taylor mavult ταύταις. quod item haud probo. Idem.

Ἐκεῖνος διέθετο] Sic dedi pro vetusta lectione ἐκεῖνος δὴ ἐπέθετο. Emendandum ita, ut emendavi, locum esse viderant Scaliger et auctores, quicunque fuerunt, schedarum Brulart. et Tophanis. Idem.

Ἐπὶ τὴν ἀρχὴν] Hujus rei causa, ut ille, Posidippus, Archonti, hoc est Astynomo, indicaret, quod testamentum Cleonymus in fraudem suorum et fratre nepotum scripsisset, illud Cleonymum, adhuc superstitem, non coactum, sed scientem, volentem rescindere, sibique, Posidippo, in mandatis dedisse, ut archontem hac de re certiorem cum faceret, tum rogaret, ut Archon domum Cleonymi veniret, atque testamento vetusto tollendo novoque condendo interesset, illumque actum auctoritate publica ratum faceret. Idem.

Κατὰ τὴν ἀγχιστείαν] V. 52. 7. ubi videtur esse actio κατ' ἀγχιστείαν. Taylor.

Αὐτῷ] Subaudi πρὸς ἡμᾶς. Reisk.

Τοσούτων τοίνυν] Subaudi δικαίων. cui opponitur οὐδὲν δίκαιον εἰπεῖν ἔχοντες. Idem.

β'. Οὐχ ὁμοίως δέ μοι δοκοῦμεν, ὦ ἄνδρες, διακεῖσθαι πρὸς ἀλλήλους. ἐγὼ μὲν γὰρ, οὐχ ὅτι ἀδίκως κινδυνεύω, τοῦθ' ἡγοῦμαι μέγιστον εἶναι τῶν παρόντων κακῶν, ἀλλ' ὅτι ἀγωνίζομαι πρὸς οἰκείους, οὓς οὐδ' ἀμύνεσθαι καλῶς
25 ἔχει· οὐ γὰρ ἂν ἐλάττω συμφορὰν ἡγησαίμην κακῶς ποιεῖν τούτους ἀμυνόμενος, οἰκείους ὄντας, ἢ κακῶς παθεῖν ἐξ ἀρχῆς ὑπὸ τούτων· οὗτοι δ' οὐ τοιαύτην ἔχουσι τὴν γνώ-
36. 1 μην, ἀλλ' ἤκουσιν ἐφ' ἡμᾶς καὶ τοὺς φίλους παρακαλέσαντες καὶ ῥήτορας παρασκευασάμενοι καὶ οὐδὲν [1]ἀπολείποντες τῆς αὐτῶν δυνάμεως, ὥσπερ, ὦ ἄνδρες, [2]ἐχθροὺς 6
τιμωρησόμενοι, καὶ οὐκ ἀναγκαίους καὶ συγγενεῖς κακῶς ποιήσοντες. τὴν μὲν οὖν τούτων ἀναισχυντίαν καὶ τὴν αἰ-
5 σχροκέρδειαν ἔτι μᾶλλον γνώσεσθε, ἐπειδὰν πάντων ἀκούσητε· ὅθεν δ' οἶμαι τάχιστ' ἂν ὑμᾶς μαθεῖν περὶ ὧν ἀμφισβητοῦμεν, ἐντεῦθεν ἄρξομαι διδάσκειν.

γ'. Δεινίας γὰρ ὁ τοῦ πατρὸς ἀδελφὸς ἐπετρόπευσεν ἡμᾶς, θεῖος ὢν ὀρφανοὺς ὄντας. Κλεωνύμου δ' οὗτος, ὦ ἄνδρες, διάφορος ὢν ἔτυχεν. ὁπότερος μὲν οὖν αὐτῶν ἦν τῆς διαφορᾶς αἴτιος, ἴσως οὐκ ἐμὸν ἔργον ἐστὶ κατηγορεῖν· πλὴν τοσοῦτόν γε ἂν δικαίως αὐτοῖς ἀμφοτέροις μεμψαί-
10 μην, ὅτι καὶ φίλοι τέως ὄντες καὶ προφάσεως οὐδεμιᾶς γενομένης ἐκ λόγων τινῶν οὕτως εἰκῇ πρὸς ἀλλήλους 7
[3]ἔχθραν ἀνείλοντο. ὅτι γοῦν ἐκ ταύτης τῆς ὀργῆς [4]Κλεώνυμος ταύτας ποιεῖται τὰς διαθήκας, οὐχ ἡμῖν ἐγκαλῶν, ὡς ὕστερον ἐσάθη, ἔλεγεν, ὁρῶν δὲ ἡμᾶς ἐπιτροπευομένους

[1] ἀπολιπόντες [2] τοὺς ἐχθροὺς [3] ἔχθρας [4] ὁ Κλεών.

Κακοὺς ποιήσαντες] Π. κακῶς ποιήσοντες. H. Stephan.

Πάντων] Subaudi τῶν περὶ Κλεώνυμον τελευτῶντα διαθέσθαι βουλόμενον γεγενημένων. vel etiam ὧν ἔχω εἰπεῖν. Reisk.

Κλεωνύμου] Interrogat Taylor num Κλεωνύμῳ leg. sit, quia p. 38. 23. legatur ὅτε Δεινίᾳ διάφορος ὢν ἔτυχε. Nego propterea necesse esse vulgatam temerari. Bona perinde est utraque constructio vocabuli διάφορος, tam cum genitivo, quam cum dativo, tametsi haud diffitebor posteriorem constructionem usu esse frequentatiorem. Idem.

Προφάσεως οὐδεμιᾶς] Subaudi ἀληθοῦς καὶ δικαίας, vel ὑγιοῦς καὶ εὐσχήμονος. Idem.

Ὡς ὕστερον ἐσάθη] Π. ὕστερον, ἐπειδὴ ἐσάθη. H. Stephan. Vexatus locus, et conjecturis criticorum varie exagitatus. In Taylori schedis hæc pauca reperi: ἔλεγεν, ὡς ὕστερον ἐσάθη, ὅτι. quæ non intelligo. Scaliger σωθεὶς malebat. Alterutrum recte habet, et necessarium est. utrum sit rectius, haud constat. Interim faciam cum Stephano, sed hactenus, ut post Δεινίας p. 36. 3. addatur δῆλόν ἐστιν. Nam alias pendet illud ὅτι versu antep. Constat, ait, Cleonymum iratum illud testamentum scripsisse, non, quo nobis infensus esset, nam se de nobis haud esse questum, neque nobis succensuisse, ipse nobis affirmavit, postquam a valetudine convaluit. Reisk. Tayloro obsecutus est Ionesius, qui sic Anglice: *Cleonymus*

ὑπὸ Δεινίου, καὶ δεδιὼς μὴ τελευτήσειεν αὐτὸς ἔτι παῖδας ἡμᾶς καταλιπὼν καὶ τῆς οὐσίας ἡμετέρας οὔσης γένοιτο κύριος Δεινίας· ἡγεῖτο γὰρ δεινὸν εἶναι τὸν ἔχθιστον 15
τῶν οἰκείων ἐπίτροπον καὶ κύριον τῶν αὐτοῦ καταλιπεῖν, καὶ ποιεῖν αὐτῷ τὰ νομιζόμενα τοῦτον, ἕως ἡμεῖς ἡβήσαιμεν, ᾧ ζῶν διάφορος ἦν. ταῦτα διανοηθεὶς ἐκεῖνος, εἴτ' ὀρθῶς εἴτε μή, τὰς διαθήκας ταύτας διέθετο. καὶ
8 εὐθὺς ἐρωτῶντος τοῦ Δεινίου παραχρῆμα εἴ τι ἡμῖν ἢ τῷ πατρὶ ἐγκαλεῖ τῷ ἡμετέρῳ, ἀπεκρίνατο πάντων τῶν πολιτῶν ἐναντίον ὅτι οὐδὲν πονηρὸν ἐγκαλεῖ, καὶ ἐμαρτύρη- 20
σεν ὡς ὀργιζόμενος ἐκείνῳ καὶ οὐκ ὀρθῶς βουλευόμενος ταῦτα διέθετο. πῶς γὰρ ἂν εὖ φρονῶν, ὦ ἄνδρες, κακῶς ποιεῖν ἡμᾶς [1] ἐβουλήθη τοὺς μηδὲν αὐτὸν ἠδικηκότας; ὕστερον δὲ τούτων, ὃ μέγιστον ὑμῖν τεκμήριον ὅτι οὐδὲ ταῦτα ἔπραξεν ἡμᾶς βλάπτειν βουλόμενος· τελευτήσαντος γὰρ Δεινίου καὶ τῶν πραγμάτων ἡμῖν πονήρως ἐχόντων οὐδὲ περιεῖδεν ἡμᾶς οὐδενὸς ἐνδεεῖς ὄντας, ἀλλ' αὐτοὺς μὲν εἰς τὴν οἰκίαν 25
τὴν αὑτοῦ κομισάμενος ἐπαίδευε, τὴν δ' οὐσίαν ἀφελέ-
9 σθαι τῶν [2] χρηστῶν ἐπιβουλευσάντων ἔσωσεν ἡμῖν, ἐπεμελεῖτό τε ὁμοίως τῶν ἡμετέρων ὥσπερ τῶν αὐτοῦ πραγμάτων. καίτοι χρὴ θεωρεῖν αὐτοῦ τὴν ἔννοιαν ἐκ τούτων τῶν ἔργων μᾶλλον ἢ ἐκ τῶν διαθηκῶν, καὶ τεκμηρίοις χρῆσθαι μὴ τοῖς μετ' ὀργῆς πραχθεῖσιν — ἐν οἷς ἅπαντες πεφύκα-

[1] ἠβουλήθη [2] χρημάτων

himself, when he recovered from that illness, in which he made his will, declared, that he wrote it in anger.

Καταλιπεῖν] Post hoc v. inseri velim verba trajecta, ἕως ἡμεῖς ἡβήσαιμεν, quæ nunc ordine deserto sententiam paulum turbant. Sed adhuc amplio. Reisk.

Τὰ νομιζόμενα] Hæc justa parentibus persolvere cogebantur lege liberi, aut, si nulli essent liberi, heredes. Quod autem justa fecisset Dinias mortuo Cleonymo, fecisset heredum vicem, qui ejus fidei erant commissi: nam tutores ea omnia faciebant, quæ facere tenebantur pupilli, donec adolevissent. *In Legg. Att.* I. vi. tit. viii. §. 12. Petit.

Εὐθὺς] Post quod factum? num post scriptum testamentum? an postquam Cleonymus a morbo rursus convaluisset? Dictio εὐθὺς παραχρῆμα tam mirabilis visa fuit Tayloro, ut suum q., hoc est *quære*, ei adscriberet: sed bene Græcam et usu tritam eam esse testabuntur et dubitanti confirmabunt indices nostri ad hos oratores minores; quos indices adiri velim, et p. 38, 30. ad quem locum ipse Taylor ablegaverat. Reisk.

Γὰρ] Eleganter redundat, æquivalens Latino *scilicet*. Idem.

Οὐδενὸς] Subaudi τῶν ἀναγκαίων. Idem.

Αὐτοὺς] Scil. ἡμᾶς. Hæc est lectio Aldina, a me merito revocata, pro qua Stephanus, nescio quo jure, certe præter fas, αὐτὸς suffecerat, si fecit ipse, neque menda operis ejus imputanda est. Opponuntur αὐτοὶ, *ipsi liberi*, patre orbati, τῇ οὐσίᾳ, *patrimonio*. v. ad p. 37. 15. dicenda. Idem.

Χρημάτων] Imo vero χρηστῶν. *creditoribus bonis nostris insidiantibus, eaque nobis fraudulenter eripere contendentibus.* Sic visum Tayloro quoque fuit. Idem.

μεν ἁμαρτάνειν—, ἀλλ' ἀφ' ὧν ὕστερον φανερὰν αὐτοῦ τὴν διάνοιαν ἐποίησεν. ἔτι γὰρ μᾶλλον ἐν τοῖς τελευταίοις ἐδήλωσεν ὡς εἶχε πρὸς ἡμᾶς. ἤδη γὰρ ἀσθενῶν ταύτην τὴν νόσον ἐξ ἧς ἐτελεύτησεν, [1]ἐβουλήθη ταύτας τὰς διαθήκας ἀνελεῖν καὶ προσέταξε Ποσειδίππῳ [2]τὴν ἀρχὴν εἰσαγαγεῖν. ὁ δὲ οὐ μόνον οὐκ εἰσήγαγεν, ἀλλὰ καὶ τὸν ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν ἀπέπεμψεν. ὀργισθεὶς δὲ τούτῳ Κλεώνυμος πάλιν [3]ἐς τὴν ὑστεραίαν Διοκλεῖ καλέσαι τοὺς ἄρχοντας προσέταξε· καὶ οὐχ οὕτως ὡς ἀσθενῶν διακείμενος, ἀλλ' ἔτι πολλῶν οὐσῶν ἐλπίδων ἐξαπίνης τῆς νυκτὸς ταύτης ἀπέθανε.

δ'. Πρῶτον μὲν οὖν ὑμῖν παρέξομαι μάρτυρας ὡς οὐχ ἡμῖν ἐγκαλῶν ἀλλὰ Δεινίᾳ πολεμῶν ταύτας τὰς διαθήκας διέθετο, ἔπειτα ὡς ἐκείνου τελευτήσαντος ἐπεμελεῖτό τε τῶν ἡμετέρων ἀπάντων, καὶ αὐτὸς ἐπαίδευεν εἰς τὴν οἰκίαν [4]τὴν αὐτοῦ κομισάμενος, πρὸς δὲ τούτοις ὡς Ποσείδιππον ἔπεμψεν ἐπὶ τὸν ἀστύνομον, οὗτος δ' οὐ μόνον αὐτὸν οὐκ εἰσεκάλεσεν, ἀλλὰ καὶ ἐλθόντα ἐπὶ τὴν θύραν Ἀρχωνίδην ἀπέπεμψεν. ὡς οὖν ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ἔτι τοίνυν [5]ὡς οἱ τούτων φίλοι καὶ Κηφίσανδρος ἠξίουν νείμασθαι τὴν οὐσίαν καὶ τὸ τρίτον μέρος ἡμᾶς ἔχειν ἁπάντων τῶν Κλεωνύμου, καὶ τούτων μοι κάλει τοὺς μάρτυρας.

[1] ἠβουλήθη [2] ἐπὶ τὴν [3] εἰς [4] τὴν om. [5] ὡς om.

Ἐπὶ τὴν ἀρχὴν εἰσαγαγεῖν] Aut tollenda est præpositio, prout suadent schedæ Brulart. aut leg. est: ἐπὶ τὴν ἀρχὴν ἀπιόντα [vel ἐλθόντα] εἰσαγ. Idem. In his verbis aliquid videtur inesse vitii; et illud ἐπὶ tollendum, aut aliud quid, quod nescio, substituendum. Hæc enim illius loci sententia est: *cum enim eo morbo ægrotaret quo absumptus est, hoc testamentum tollere voluit ac Posidippo jussit magistratum ad se adduceret.* Quare hoc? Quia, cum in ejusmodi chartis asservandis fraus sæpe fieret, multa resignatis iis delerentur, alia scriberentur, imo omnia quandoque mutarentur, qui sibi cavere volebant, non patiebantur quidquam mutari in iis, quæ suæ fidei credita erant, nisi coram magistratu. In Anim. in Salmas. Obss. ad J. A. et R. l. ii. c. vi. §. 7. Heraldus. Cf. Petit. in Legg. Att. l. vi. tit. vi. §. 3.

Ἀσθενῶν] Lego ἀσθενῶς. In οὐχ οὕτως subauditur ἐπείησε. *ita fecit, non ut valetudine laborans et viribus exhaustis animamque agitans extremam.* Quod si probatur, tum post ἐλπίδων deesse videtur ὅμως δὲ, vel simile quid. Reisk.

Αὐτὸς] Imo vero αὐτοὺς, scil. ἡμᾶς. rursus opponuntur hic quoque, ut modo p. 36. 17. αὐτοὶ, *nos ipsi*, et τὰ ἡμέτερα, *patrimonium nostrum.* Idem.

Ἐπὶ τὸν ἀστύνομον] *misit Posidippum ad astynomum*, ejus arcessendi causa. Idem.

Ἀρχωνίδην] Suspectum nomen Ionesio; qui ἄρχοντα malebat.

Τούτων] Posidippum designat, ejusque fratrem Dioclem, eorumque advocatos et causæ consortes. Reisk.

ΜΑΡΤΥΡΕΣ.

ε'. Ἡγοῦμαι μὲν τοίνυν, ὦ ἄνδρες, πᾶσι τοῖς τῶν κλή-
ρων ἀμφισβητοῦσιν, ὅταν ἀποφήνωσι σφᾶς αὐτοὺς ὥςπερ
ἡμεῖς καὶ τῷ γένει πρότερους ὄντας καὶ τῇ φιλίᾳ τῇ πρὸς
11 τὸν τετελευτηκότα, περίεργον εἶναι τοὺς ἄλλους λόγους
λέγειν· [1]ἐπειδὴ δὲ τούτων οὐδέτερον ἔχοντες οὕτω τολμῶσι 5
τῶν οὐ προσηκόντων ἀμφισβητεῖν καὶ ψευδεῖς παρασκευά-
ζονται λόγους, βούλομαι βραχέα καὶ περὶ τούτων αὐτῶν
εἰπεῖν. ἰσχυρίζονται γὰρ ταῖς διαθήκαις, λέγοντες ὡς
Κλεώνυμος μετεπέμπετο τὴν ἀρχὴν οὐ λῦσαι βουλόμενος
αὐτὰς ἀλλ' ἐπανορθῶσαι καὶ βεβαιῶσαι σφίσιν αὐτοῖς
τὴν δωρεάν. ὑμεῖς δὲ σκοπεῖσθε τὰς διαθήκας τὰς μετ'
ὀργῆς γενομένας, πότερα εἰκός ἐστι βουληθῆναι Κλεώνυμον 10
ἀνελεῖν, ἐπειδὴ πρὸς ἡμᾶς οἰκείως ἔσχεν, ἢ σκοπεῖν ὅπως
[2]ἔτι βεβαιότερον ἡμᾶς ἀποστερήσειε τῶν αὐτοῦ. τοῖς μὲν
γὰρ ἄλλοις κἀκείνων ὧν ἂν ὀργισθέντες τοὺς οἰκείους ἀδι-
κήσωσιν ὕστερον μεταμέλει· οὗτοι δ' ἐκεῖνον ἀποφαίνουσιν,
ἐν ᾧ πρὸς ἡμᾶς οἰκειότατα διέκειτο, μᾶλλον βεβαιοῦν τὴν
διαθήκην βουλόμενον, ἣν ὀργιζόμενος ἐποιήσατο. ὥςτ' εἰ
καὶ ἡμεῖς ὁμολογήσομεν ταῦτα καὶ ὑμεῖς αὐτοὶ πιστεύ- 15
σετε, ἐνθυμεῖσθε ὅτι παράνοιαν αὐτοῦ τὴν μεγίστην οὗτοι
κατηγοροῦσι. τίς γὰρ ἂν γένοιτο ταύτης μανία μείζων, ἢ
12 τότε μὲν ὅτε Δεινία διάφορος ὢν ἔτυχεν, ἡμᾶς κακῶς ποι-
εῖν τε καὶ διατίθεσθαι τοιαύτας διαθήκας, ἐξ ὧν οὐκ
ἐκεῖνον ἐτιμωρεῖτο ἀλλὰ τοὺς οἰκειοτάτους ἠδίκει· νυνὶ δὲ
χρώμενος ἡμῖν καὶ περὶ πλείστου ποιούμενος ἁπάντων,
μόνους ἐβουλήθη τοὺς ἀδελφιδοῦς, ὡς οὗτοί φασιν, ἀκλήρους 20
[3]ποιῆσαι τῶν ἑαυτοῦ. καὶ τίς ἂν εὖ φρονῶν, ὦ ἄνδρες, τοι-

[1] ἐπεὶ δ' οἱ τούτων [2] ἔτι om. [3] εἶναι

Ὁμολογήσομεν — πιστεύσετε] Malim in optativo ὁμολογήσαιμεν — πιστεύσαιτε. etiamsi nos confiteamur ea vera esse et vos ipsi quoque vera credatis ea esse quæ illi aiunt, tamen hoc vos cogitare velim, illos hæc aientes Cleonymum summi qui unquam fuit furoris reum agere. Idem.

Ἡ] Labat hic constructio, quæ nullo alio prætextu, quam aut anacoluthi, aut mutatæ subito dictionis, excusari poterit. Nam si uno eodemque tenore, quo coperat, pergere orator voluisset, dicendum ei fuisset χρώμενον et ποιούμενον et βουληθῆναι, non ἐβουλήθη. Idem.

Χρώμενος ἡμῖν] Addunt schedæ Brulart. οἰκείως. possit quoque e p. 39. 7. οἰκειότατα addi. verum nescio annon satis sit tutum id facere, cum exempla reperiantur dictionis nudæ χρῆσθαί τινι, pro χρῆσθαί τινι οἰκείως usurpatæ. de quo indices nostri consulantur. Idem.

αὕτα περὶ τῶν αὐτοῦ βουλεύσαιτο; ὥστ' ἐκ τούτων τῶν λόγων ῥᾳδίαν ὑμῖν τὴν διάγνωσιν πεποιήκασι περὶ αὐτῶν. εἰ μὲν γὰρ ἀνελεῖν τὰς διαθήκας βουλόμενος μετεπέμπετο τὴν ἀρχήν, ὥσπερ ἡμεῖς φαμεν, οὐδεὶς ἔνεστι τούτοις λόγος· εἰ δ' οὕτω παραφρονῶν ἔτυχεν ὥσθ' ἡμᾶς ἀεὶ περὶ ἐλαχίστου ποιεῖσθαι τοὺς γένει πρωτεύοντας καὶ χρωμένους αὐτῷ πάντων οἰκειότατα, δικαίως ἂν δήπου τὰς τοιαύτας διαθήκας ἀκύρους [1] ποιήσαιτε.

ς'. Ἔτι τοίνυν ἐνθυμεῖσθε ὅτι φάσκοντες καλεῖν τὴν ἀρχὴν Κλεώνυμον, ἵνα βεβαιώσῃ τὴν αὐτῶν δωρεὰν, προσταχθὲν αὐτοῖς οὐκ ἐτόλμησαν εἰσαγαγεῖν, ἀλλὰ καὶ τὸν 13
ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν ἀπέπεμψαν. καὶ δυοῖν τοῖν ἐναντιωτάτοιν θάτερα μέλλοντες, ἢ τὴν οὐσίαν ἕξειν βεβαιοτέραν [2] ἢ ἐκείνῳ μὴ ποιήσαντες ἀπεχθήσεσθαι, τὴν ἀπέχθειαν εἵλοντο μᾶλλον ταύτης τῆς δωρεᾶς. καίτοι πῶς ἂν ἑτέρα τούτων γένοιτο ἀπιστότερα; τοὺς μὲν τηλικαῦτα μέλλοντας ἐκ τοῦ πράγματος κερδαίνειν, ὥσπερ ζημιωθησόμενος, φυλάξασθαι τὴν διακονίαν, Κλεώνυμον δ' ὑπὲρ τῆς τούτων ὠφελείας τοσαύτην ποιήσασθαι σπουδὴν ὥστε Ποσειδίππῳ μὲν, ὅτι κατημέλησεν, ὀργισθῆναι, Διοκλέους δὲ ταῦτα πάλιν ἐς τὴν ὑστεραίαν δεηθῆναι; εἰ γὰρ δὴ, ὦ ἄνδρες, ὡς οὗτοί φασιν, ἐν ταῖς νῦν γεγραμμέναις διαθήκαις ἔδωκεν αὐτοῖς τὴν οὐσίαν, καὶ τοῦτ' ἄξιον εἶναί μοι δοκεῖ θαυμάζειν, ὅ τι ποτὲ ἐπανορθώσας κυριωτέρας αὐτὰς ἡγοῖτ' ἂν ποιῆσαι· τοῖς γὰρ ἄλλοις οὗτος ὅρος ἐστὶν, ὦ ἄνδρες, τῶν δωρεῶν. ἔτι δὲ καὶ εἴ τι προσγράψαι τούτοις ἐβούλετο, διὰ τί οὐκ ἐν ἑτέρῳ γράψας αὐτὰ γραμματείῳ κατέλιπεν, ἐπειδὴ τὰ γράμματα παρὰ τῶν ἀρχόντων οὐκ ἐδυνήθη λαβεῖν; ἀνελεῖν μὲν γὰρ, ὦ ἄνδρες, οὐχ οἷός τ' ἦν ἄλλο γραμματεῖον ἢ τὸ παρὰ τῇ ἀρχῇ κείμενον· γράψαι δ' ἐξῆν εἰς ἕτερον εἴ τι ἐβούλετο, καὶ μηδὲ τοῦθ' ἡμῖν ἀμφισβητήσιμον ἐᾶν. εἰ τοίνυν καὶ τοῦτο συγχωρήσαιμεν, ὡς ἐκεῖνος ἐπανορθῶσαι τὰς διαθήκας ἐβούλετο, πᾶσι δήπου φανερὸν ὑμῖν ἐστὶν ὅτι οὐκ ὀρθῶς αὐτὰς ἔχειν ἡγεῖτο. καίτοι σκοπεῖτε καὶ ἐντεῦθεν τὴν ἀναισχυντίαν αὐτῶν, οἵ

[1] ποιήσητε. [2] ἢ ἐκείνῳ ad p. 54. v. 25. καταστήσητε om.

Θάτερα] Θάτερον schedæ Brulart. Idem.

τινες ταύτας τὰς διαθήκας ἀξιοῦσιν εἶναι κυρίας, ἃς ὁμολογοῦσι μηδ' αὐτὸν τὸν διαθέμενον ταῦτα ὀρθῶς ἔχειν ἡγεῖσθαι, καὶ πείθουσιν ὑμᾶς ἐναντία τοῖς νόμοις καὶ τῷ δικαίῳ καὶ τῇ τοῦ τετελευτηκότος γνώμῃ ψηφίσασθαι. ἔτι τοίνυν τούτων ἁπάντων ἀναιδέστατος τῶν λόγων ἐστίν, ὅταν τολμῶσι λέγειν ὡς Κλεώνυμος οὐδὲν ἡμᾶς τῶν αὐτοῦ λαβεῖν ἐβούλετο. καίτοι, ὦ ἄνδρες, τίνας ἂν ἄλλους ταῦτα ἔχειν ἐβουλήθη μᾶλλον ἢ τούτους, οὓς καὶ ζῶν ἐκ τῶν αὐτοῦ πλεῖστα τῶν οἰκείων ὠφέλει; πάντων δ' ἂν εἴη θαυμασιώτατον, εἰ Κηφισανδρος μὲν ὁ τούτων οἰκεῖος δίκαιον ἡγεῖτο εἶναι μέρος ἕκαστον ἡμῶν ἔχειν τῆς οὐσίας, Κλεώνυμος δ' ὃς ἦν ἡμῖν οἰκειότατος καὶ ἡμᾶς εἰς τὴν οἰκίαν τὴν αὐτοῦ λαβὼν ἐθεράπευε καὶ ἐπεμελεῖτο τῶν ἡμετέρων ὥςπερ τῶν αὐτοῦ πραγμάτων, οὗτος μόνος ἐβούλετο ἡμᾶς ἀκλήρους εἶναι τῶν αὐτοῦ. καὶ τίς ἂν ὑμῶν πιστεύσειεν εὐνουστέρους καὶ μετριωτέρους τοὺς ἀντιδίκους ἡμῖν εἶναι τῶν οἰκειοτάτων; κἀκεῖνον μέν, ᾧ καὶ ἀναγκαῖον εὖ ποιεῖν ἡμᾶς καὶ αἰσχρὸν ἡμῶν ἀμελῆσαι, μηδὲν τῶν αὐτοῦ ἡμῖν δοῦναι· τούτους δὲ οἷς οὔτ' ἀνάγκη ἐστὶν οὔτ' αἰσχύνην οὐδεμίαν φέρει, τῶν οὐ προσηκόντων, ὥς φασιν, ἡμῖν μεταδιδόναι; ἀλλὰ ταῦτα μέν, ὦ ἄνδρες, πολλὴν ἀπιστίαν ἔχει.

ζ'. Ἔπειτα, εἰ μὲν καὶ νῦν οὕτω πρὸς ἀμφοτέρους ἡμᾶς ἔχων ἐτελεύτησεν, ὥςπερ ὅτε τὰς διαθήκας ταύτας ἐποιήσατο, εἰκότως ἄν τις ὑμῶν πιστεύσαι τοῖς λόγοις τοῖς τουτωνί· νυνὶ δὲ πᾶν τοὐναντίον εὑρήσετε. τότε μὲν γὰρ ἔτυχε Δεινία, ὃς ἡμᾶς ἐπετρόπευε, διάφορος ὢν ἡμῖν τε οὔπω χρώμενος τούτοις τε ἅπασιν ἐπιτηδείως διακείμενος· νῦν δὲ τούτων μέν τισι διάφορος ἐγένετο, ἡμῖν δὲ πάντων ἐχρῆτο οἰκειότατα. καὶ ἐξ ὧν μὲν αὐτῷ πρὸς τούτους ἐγένετο ἡ διαφορά, περίεργόν ἐστι λέγειν· σημεῖα δ' ὑμῖν ἐρῶ μεγάλα, περὶ ὧν καὶ μάρτυρας ἔξω παρασχέσθαι. πρῶτον μὲν γὰρ θύων τῷ Διονύσῳ, καὶ τοὺς οἰκείους ἅπαντας καλέσας καὶ τῶν ἄλλων πολιτῶν πολλοὺς, Φερένικον οὐδαμοῦ παρεστήσατο. ἔπειτα μικρὸν πρὶν τελευτῆσαι βαδίζων εἰς

Ταῦτα] Omittit Maius.
Οἰκίαν τὴν] οἰκειότητα dedit Maius.
Κἀκεῖνον] ἢ ἐκεῖνον dedit Maius.
Ταύτας] Omittit Maius.
Πιστεύσαι] Πιστεύσῃ dedit Maius.
Νυνὶ] Νῦν dedit Maius.
Οὕτω] Οὔπω dedit Maius.
Περὶ - - - παρασχέσθαι] Omittit Maius.

Πάνορμον μετὰ Σίμωνος, καὶ συντυχὼν αὐτῷ, προσειπεῖν οὐκ ἐτόλμησεν. ἔτι δὲ πρὸς τούτοις πυνθανομένου τὴν διαφορὰν τοῦ Σίμωνος τήν τ᾽ ἔχθραν διηγήσατο, καὶ προσηπείλησεν ὅτι δηλώσοι ποτ᾽ ἂν τούτῳ, ὡς διακεῖται πρὸς αὐτόν. καὶ ὡς ἀληθῆ λέγω, κάλει μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

η΄. Οἴεσθε οὖν, ὦ ἄνδρες, τὸν οὕτωσὶ πρὸς ἑκατέρους ἡμᾶς διακείμενον ἡμῖν μὲν, οἷς οἰκειότατα ἐχρῆτο, οὕτω ποιεῖν ὅπως μηδὲ λόγον ὑπολείψει, τούτοις δὲ, ὧν τισὶ καὶ διάφορος ἦν, σκοπεῖν ὅπως ἅπασαν βεβαιώσει τὴν οὐσίαν; καὶ τούτους μὲν νῦν περὶ πλείονος ποιεῖσθαι ταύτης ὑπούσης τῆς ἔχθρας, ἡμᾶς δὲ τοσαύτης οἰκειότητος καὶ φιλίας γενομένης πειρᾶσθαι μᾶλλον κακῶς ποιεῖν; ἀλλ᾽ ἔγωγε, εἰ κατηγορεῖν ἐβούλοντο τῶν διαθηκῶν ἢ τοῦ τετελευτηκότος, οὐκ οἶδ᾽ ὅ τι ἂν ἄλλο πρὸς ὑμᾶς εἶπον, οἵ γε τὰς μὲν διαθήκας ἀποφαίνουσιν οὔτ᾽ ὀρθῶς ἐχούσας οὔτ᾽ ἀρεσκούσας τῷ διαθεμένῳ, τοῦ δὲ τοσαύτην μανίαν κατηγοροῦσιν, ὥστε φασὶν αὐτὸν περὶ πλείονος ποιεῖσθαι τοὺς αὐτῷ διαφερομένους ἢ τοὺς οἰκείως χρωμένους, καὶ οἷς μὲν ζῶν οὐ διελέγετο ἅπασαν δοῦναι τὴν οὐσίαν, τοὺς δ᾽ οἰκειότατα κεχρημένους οὐδὲ πολλοστοῦ μέρους ἀξιῶσαι. ὥστε τίς ἂν ὑμῶν ταύτας εἶναι κυρίας τὰς διαθήκας ψηφίσαιτο, ἃς ὁ μὲν διαθέμενος ὡς οὐκ ὀρθῶς ἐχούσας ἀπεδοκίμασεν, οὗτοι δ᾽ ἔργῳ λύουσιν ἐθέλοντες ἡμῖν ἰσομοιρῆσαι τῆς οὐσίας, πρὸς δὲ τούτοις ἡμεῖς ὑμῖν ἀποφαίνομεν ἐναντίας οὔσας καὶ τῷ νόμῳ καὶ τοῖς δικαίοις καὶ τῇ τοῦ τετελευτηκότος διανοίᾳ;

θ΄. Οἶμαι δ᾽ ὑμᾶς τὸ περὶ ἡμῶν δίκαιον σάφεστ᾽ ἂν παρ᾽ αὐτῶν τούτων πυνθάνεσθαι. εἰ γάρ τις αὐτοὺς ἔροιτο διὰ τί ἀξιοῦσι κληρονόμοι γενέσθαι τῶν Κλεωνύμου, τοῦτ᾽ ἂν εἰπεῖν ἔχοιεν, ὅτι καὶ γένει ποθὲν προσήκουσι καὶ ἐκεῖνος αὐτοῖς χρόνον τινὰ ἐπιτηδείως διέκειτο. οὐκ ἂν ἄρα ὑπὲρ ἡμῶν μᾶλλον ἢ ὑπὲρ σφῶν αὐτῶν εἶεν εἰρηκότες; εἴ τε γὰρ διὰ τὴν τοῦ γένους ἀγχιστείαν δεῖ γενέσθαι τινὰς κληρονό-

Πάνορμον] Panormus portus Atticæ a Ptolemæo in Tabulis (ed. Amst. Eur. X. D. 9.) memoratus. MAIUS.

ΜΑΡΤΥΡΕΣ] De suo dedit Maius.

Μανιάν] Τὴν μανίαν dedit Maius.

Οἰκειότητα κεκτημένους] Οἰκειότητος κεκτημένους dedit Maius; οἰκειότατα κεχρημένους de suo Bekkerus, cui obsecutus sum. Cf. p. 39. v. 6. p. 40. v. 28. et p. 41. v. 8.

μους, ἡμεῖς ἐγγυτέρω γένει προσήκομεν· εἴ τε διὰ τὴν φιλίαν τὴν ὑπάρχουσαν, ἴσασιν αὐτὸν ἅπαντες ἡμῖν οἰκειότερον διακείμενον. ὥστ' οὐ χρὴ παρ' ἡμῶν, ἀλλὰ καὶ παρ' αὐτῶν τούτων πυνθάνεσθαι τὸ δίκαιον. πάντων δ' ἂν εἴη δεινότατον, εἰ τοῖς μὲν ἄλλοις ψηφίζοισθε, ὅταν θάτερα τούτων ἀποφαίνωσι σφᾶς αὐτοὺς, ἢ γένει προτέρους ὄντας ἢ τῇ φιλίᾳ τῇ πρὸς τὸν τετελευτηκότα, ἡμᾶς δ', οἷς ἐστὶν ἀμφότερα ταῦτα παρὰ πάντων ὁμολογούμενα, ἀξιώσετε μόνους ἀκλήρους ποιῆσαι τῶν ἐκείνου.

ι'. Καὶ εἰ μὲν Πολύαρχος ὁ πατὴρ ὁ Κλεωνύμου, πάππος δ' ἡμέτερος, ζῶν ἐτύγχανε καὶ τῶν ἐπιτηδείων ἐνδεὴς ὤν, ἢ Κλεώνυμος ἐτελεύτησε θυγατέρας ἀπορουμένας καταλιπών, ἡμεῖς ἂν διὰ τὴν ἀγχιστείαν καὶ τὸν πάππον γηροτροφεῖν ἠναγκαζόμεθα καὶ τὰς Κλεωνύμου θυγατέρας ἢ λαβεῖν αὐτοὶ γυναῖκας ἢ προῖκα ἐπιδιδόντες ἑτέροις ἐκδιδόναι, καὶ ταῦθ' ἡμᾶς καὶ ἡ συγγένεια καὶ οἱ νόμοι καὶ ἡ παρ' ὑμῶν αἰσχύνη ποιεῖν ἠνάγκαζεν ἂν, ἢ ταῖς μεγίσταις ζημίαις καὶ τοῖς ἐσχάτοις ὀνείδεσι περιπεσεῖν· εἰ δ' οὐσία κατελείφθη, δίκαιον ἡγήσεσθ' εἶναι ταύτης ἑτέρους ἡμῶν μᾶλλον κληρονομεῖν; οὐκ ἄρα δίκαια οὐδ' ὑμῖν αὐτοῖς συμφέροντα οὐδὲ τοῖς νόμοις ὁμολογούμενα ψηφιεῖσθε, εἰ τῶν μὲν συμφορῶν τοὺς ἐγγυτάτω γένει κοινωνεῖν ἀναγκάσετε, χρημάτων δὲ καταλειφθέντων πάντας ἀνθρώπους κυριωτέρους ἢ τούτους ποιήσετε.

ια'. Χρὴ δὲ, ὦ ἄνδρες, καὶ διὰ τὴν συγγένειαν καὶ διὰ τὴν τοῦ πράγματος ἀλήθειαν, ὅπερ ποιεῖτε, τοῖς κατὰ γένους ψηφίζεσθαι μᾶλλον ἢ τοῖς κατὰ διαθήκην ἀμφισβητοῦσι. τὴν μὲν γὰρ τοῦ γένους οἰκειότητα πάντες ἐπιστάμενοι τυγχάνετε, καὶ οὐχ οἷόν τε τοῦτ' ἐστὶ πρὸς ὑμᾶς ψεύσασθαι· διαθήκας δ' ἤδη πολλοὶ ψευδεῖς ἀπέφηναν, καὶ οἱ μὲν τὸ παράπαν οὐ γενομένας, ἐνίων δ' οὐκ ὀρθῶς βεβουλευμένων. καὶ νῦν ὑμεῖς τὴν μὲν συγγένειαν καὶ τὴν

Ἀποφαίνωσι] ἀποφήνωσι dedit Maius.

Πολύαρχος] Πολύαρχος de suo dedit Maius.

Ἠναγκαζόμεθα] Ἠναγκάζομεν dedit Maius.

Ἑτέροις ἐκδιδόναι] Consonat Terentius in Phorm. ii, 1. 65.

— "verum si cognata est maxume,
Non fuit necesse habere; sed, id quod lex jubet,
Dotem daretis: quæreret alium virum."
MAIUS.

Ἡγήσεσθ'] Ἡγήσεσθ' ἂν dedit Maius.

Κυριωτέρους] Κυρίους dedit Maius.

οἰκειότητα τὴν ἡμετέραν, οἷς ἡμεῖς ἀγωνιζόμεθα, ἅπαντες ἐπίστασθε· τὰς δὲ διαθήκας, αἷς οὗτοι πιστεύοντες ἡμᾶς συκοφαντοῦσιν, οὐδεὶς ὑμῶν οἶδε κυρίας γενομένας. ἔπειτα τὴν μὲν ἡμετέραν συγγένειαν εὑρήσετε καὶ παρ' αὐτῶν τῶν ἀντιδίκων ὁμολογουμένην, τὰς δὲ διαθήκας ὑφ' ἡμῶν ἀμφισβητουμένας· οὗτοι γὰρ τὸ ἀνελεῖν αὐτὰς ἐκείνου βουλομένου διεκώλυσαν. ὥςθ' ὑμῖν, ὦ ἄνδρες, πολὺ κάλλιόν ἐστι ψηφίσασθαι κατὰ τὸ γένος τὸ παρ' ἀμφοτέρων ἡμῶν ὁμολογούμενον μᾶλλον ἢ κατὰ τὰς διαθήκας τὰς οὐ δικαίως γεγενημένας. πρὸς δὲ τούτοις ἐνθυμήθητε ὅτι αὐτὰς ἔλυσε μὲν Κλεώνυμος εὖ φρονῶν, διέθετο δὲ ὀργισθεὶς καὶ οὐκ ὀρθῶς βουλευόμενος· ὥςτε πάντων ἂν εἴη δεινότατον, εἰ κυριωτέραν αὐτοῦ τὴν ὀργὴν ἢ τὴν διάνοιαν ποιήσετε.

ιβ'. Οἶμαι δ' ὑμᾶς καὶ λαμβάνειν παρὰ τούτων ἀξιοῦν καὶ μὴ τυγχάνοντας ἀγανακτεῖν, οἷς ἂν ὑπάρχῃ καὶ παρ' ὑμῶν τῶν αὐτῶν τυχεῖν. εἰ τοίνυν συνέβη Κλεωνύμῳ μὲν ζῆν, ἐξερημωθῆναι δὲ τὸν ἡμέτερον οἶκον ἢ τὸν τούτων, σκέψασθε ποτέρων ἐκεῖνος ἐγίνετο κληρονόμος· δίκαιον γάρ ἐστι τούτους ἔχειν τὰ ἐκείνου, παρ' ὧν ὠφείλετο καὶ λαβεῖν αὐτῷ. εἰ μὲν τοίνυν Φερένικος ἢ τῶν ἀδελφῶν τις ἐτελεύτησεν, οἱ παῖδες οἱ τούτων, οὐκ ἐκεῖνος ἐγίγνετο κύριος τῶν καταλειφθέντων· ἡμῶν δὲ τοιαύτῃ τύχῃ χρησαμένων Κλεώνυμος ἁπάντων ἐγίγνετο κληρονόμος. οὔτε γὰρ παῖδες ἡμῖν ἦσαν οὔτ' ἄλλοι συγγενεῖς, ἀλλ' ἐκεῖνος καὶ γένει προσήκων ἐγγυτάτω καὶ τῇ χρείᾳ πάντων ἦν οἰκειότατος· ὥςτε διὰ ταῦτα καὶ οἱ νόμοι δεδώκασιν αὐτῷ, καὶ ἡμεῖς οὐδένα ἄλλον ἠξιώσαμεν ταύτης τῆς δωρεᾶς. οὐ γὰρ δήπου ζῶντες μὲν οὕτως ἂν ἐνεχειρίσαμεν αὐτῷ τὴν οὐσίαν, ὥςτε περὶ τῶν ἡμετέρων κυριωτέραν εἶναι τὴν ἐκείνου διάνοιαν τῆς ἡμετέρας αὐτῶν, ἀποθνήσκοντες δὲ ἄλλους κληρονόμους ἐβουλήθημεν αὐτῶν μᾶλλον ἢ τὸν πάντων οἰκειότατον. ὥςθ' ἡμᾶς μὲν ἐν ἀμφοτέροις, ὦ Ἀθηναῖοι, καὶ ἐν τῷ δοῦναι καὶ ἐν τῷ λαβεῖν οἰκείους ὄντας εὑρήσετε, τούτους δὲ νῦν μὲν ἀναισχυντοῦντας καὶ τὴν οἰκειότητα καὶ τὴν ἀγχιστείαν

Τὸ γένος] Τὸ omittit Maius.
Πότερον] Ποτέρων de suo dedit Maius.
Καὶ γένει] καὶ omittit Maius.
Ἦν] Omittit Maius.
Οὐδένα] Immo οὐδέν' ἂν Bekkerus.
Κληρονόμους] Aut legi κληρονομεῖν aut addi ποιῆσαι vult Bekkerus.
Τὸν πάντων] Τῶν πάντων Maius.

λέγοντας, ὅτι λήψεσθαί τι προσδοκῶσιν· ἐν δὲ τῷ δοῦναι πολλοὺς ἂν καὶ συγγενεῖς καὶ φίλους ἐκείνου προείλοντο οἰκειοτέρους.

ιγ'. Κεφάλαιον δὲ τῶν εἰρημένων, ᾧ πάντας ὑμᾶς προσέχειν δεῖ τὸν νοῦν· ὅσῳ γὰρ ἂν ταῦτα λέγοντες ἀποφαίνωσι καὶ πειρῶνται πείθειν ὑμᾶς ὡς ἐκεῖνος διέθετο ταύτας τὰς διαθήκας καὶ οὐδὲ πώποτε ὕστερον αὐτῷ μετημέλησε, καὶ νῦν ἐβούλετο ἡμᾶς μὲν μηδὲν τῶν αὐτοῦ λαβεῖν, σφίσι δ' αὐτοῖς βεβαιῶσαι τὴν δωρεὰν, καὶ ταῦτα πάντα λέγοντες καὶ διισχυριζόμενοι μηδέτερον ἀποφήνωσι, μήθ' ὡς ἐγγυτέρω τῷ γένει προσήκουσι μήθ' ὡς οἰκειότερον ἡμῶν πρὸς Κλεώνυμον διέκειντο, ὑμεῖς ἐνθυμεῖσθε ὅτι ἐκείνου κατηγοροῦσιν, ἀλλ' οὐχ ὡς δίκαιόν ἐστι τὸ πρᾶγμα διδάσκουσιν ὑμᾶς. ὡς δ' ὑμεῖς ὅταν μὲν τοῖς τούτων λόγοις πιστεύητε, οὐ τούτους προσήκει ποιήσαι τῶν ἐκείνου κληρονόμους, ἀλλὰ παράνοιαν Κλεωνύμου καταγινώσκειν, ὅταν δὲ τοῖς ἡμετέροις, ἐκεῖνόν τε νομίζειν ὀρθῶς βεβουλεῦσθαι λῦσαι τὰς διαθήκας βουλόμενον, ἡμᾶς τε μὴ συκοφαντεῖν ἀλλὰ δικαίως τούτων ἀμφισβητεῖν. ἔπειτα, ὦ ἄνδρες, ἐνθυμεῖσθε ὅτι οὐχ οἷόν τε ὑμῖν ἐστὶ κατὰ τοὺς τούτων λόγους γνῶναι περὶ αὐτῶν. πάντων γὰρ ἂν εἴη δεινότατον, εἰ τῶν ἀντιδίκων γινωσκόντων ἡμᾶς δίκαιον εἶναι τὸ μέρος αὐτῶν λαβεῖν, ὑμεῖς ἅπαντ' αὐτοὺς ἔχειν ψηφίσαισθε, καὶ τούτους μὲν ἡγήσαισθε χρῆναι πλείω λαβεῖν ὧν αὐτοὶ σφᾶς αὐτοὺς ἠξίωσαν, ἡμᾶς δὲ μηδὲ τούτων ἀξιώσαιτε ὧν οἱ ἀντίδικοι συγχωροῦσιν ἡμῖν.

Ἀποφαίνωσι] Ἀποφήνωσι dedit Maius. Ὅταν μὲν] Ei Maius.

Β.

ΙΣΑΙΟΥ

ΠΕΡΙ ΤΟΥ ΜΕΝΕΚΛΕΟΥΣ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Μενεκλέους ποιησαμένου υἱὸν καὶ ἐπιδιώσαντος τῇ ποιήσει εἴκοσι τρία ἔτη, ἀδελφᾶν ἀμφισβητησάντων τοῦ κλήρου ἐμαρτύρησέ τις Φιλωνίδης μὴ εἶναι τὸν κλῆρον ἐπίδικον, καταλείψαντος υἱὸν Μενεκλέους. τούτῳ ἐπέσκηψαν ψευδομαρτυρίας οἱ ἀδελφοὶ, καὶ πρὸς τούτους ὁ παῖς ὑπὲρ αὐτοῦ τὴν ἀπολογίαν εἰσέρχεται. Ἔστι δὲ ὁ λόγος οὗτος ἐναντίος τῷ περὶ τοῦ Κλεωνύμου κλήρου· ἐκεῖ μὲν γὰρ ὑπὲρ συγγενείας εἶπεν, ὧδε δὲ ὑπὲρ διαθήκης. Ἡ στάσις ἀντίληψις κατὰ στοχασμόν· λέγει γὰρ ὅτι ἐξῆν αὐτῷ ποιεῖν ἑαυτῷ υἱόν. εἶτα τὸ στοχαστικὸν, ὅτι οὐ πεισθεὶς γυναικὶ ἐποιήσατό με.

α΄. ΗΓΟΥΜΗΝ μὲν, ὦ ἄνδρες, εἴ τις καὶ ἄλλος ἐποιήθη ὑπό τινος κατὰ τοὺς νόμους, καὶ ἐγὼ ποιηθῆναι, καὶ οὐκ ἄν ποτε εἰπεῖν οὐδένα τολμῆσαι ὡς ἐποιήσατό με Μενεκλῆς παρανοῶν ἢ γυναικὶ πειθόμενος· ἐπειδὴ δὲ ὁ θεῖος οὐκ ὀρθῶς βουλευόμενος, ὡς ἐγώ φημι, πειρᾶται ἐξ ἁπάντος τρόπου τὸν ἀδελφὸν τὸν αὑτοῦ ἄπαιδα τεθνεῶτα καταστῆσαι, οὔτε τοὺς θεοὺς τοὺς πατρῴους οὔθ᾽ ὑμῶν αἰσχυνόμενος οὐδένα, ἐμοὶ ἀνάγκη ἐστὶ πολλὴ βοηθεῖν τῷ τε πατρὶ τῷ ποιησαμένῳ με καὶ ἐμαυτῷ. διδάσκω οὖν ὑμᾶς ἐξ ἀρχῆς ὡς προσηκόντως τε καὶ κατὰ τοὺς νόμους ἐγένετο ἡ ποίησις, καὶ οὐκ ἔστιν ἐπίδικος ὁ κλῆρος ὁ Μενεκλέους ὄντος ἐμοῦ υἱοῦ ἐκείνου, ἀλλ᾽ ὁ μάρτυς διεμαρτύρησε τἀληθῆ. δέομαι δ᾽ ὑμῶν ἁπάντων καὶ ἀντιβολῶ καὶ ἱκετεύω μετ᾽ εὐνοίας ἀποδέχεσθαί μου τοὺς λόγους.

β΄. Ἐπώνυμος γὰρ ὁ Ἀχαρνεὺς, ὁ πατὴρ ὁ ἡμέτερος, ὦ ἄνδρες, φίλος ἦν καὶ ἐπιτήδειος Μενεκλεῖ, καὶ ἐχρῆτο οἰκείῳ· ἦμεν δὲ αὐτῷ παῖδες τέτταρες ἡμεῖς, δύο μὲν υἱεῖς, δύο δὲ θυγατέρες. τελευτήσαντος δὲ τοῦ πατρὸς ἐκδίδομεν ἡμεῖς τὴν πρεσβυτέραν ἀδελφὴν, ἐπειδὴ εἶχεν ὥραν, Λευκο-

Τε τῷ πατρὶ] Scribendum τῷ τε πατρί. Διδάσκω] Διδάξω μὲν malit Bekkerus. Bremius.

λόφῳ, προῖκα ἐπιδόντες εἴκοσι μνᾶς. καὶ ἀπ᾽ ἐκείνου τοῦ χρόνου τετάρτῳ ἔτει ὕστερον ἥ τε ἀδελφὴ ἡμῖν ἡ νεωτέρα σχεδὸν ἡλικίαν εἶχεν ἀνδρὶ συνοικεῖν, καὶ τῷ Μενεκλεῖ ἡ γυνὴ τελευτᾷ ἣν εἶχε πρότερον. ἐπειδὴ οὖν ἐκείνη τὰ νομιζόμενα ἐποίησεν ὁ Μενεκλῆς, ἤτει τὴν ἀδελφὴν ἡμᾶς, ὑπομιμνήσκων τήν τε φιλίαν τὴν τοῦ πατρὸς καὶ ἑαυτοῦ, καὶ ὡς πρὸς ἡμᾶς αὐτὸς ἦν διακείμενος· καὶ ἡμεῖς εἰδότες ὅτι καὶ ὁ πατὴρ οὐδενὶ ἂν ἔδωκεν ἥδιον ἢ ἐκείνῳ, δίδομεν αὐτῷ, οὐκ ἄπροικον, ὡς οὗτος λέγει ἑκάστοτε, ἀλλὰ τὴν ἴσην προῖκα ἐπιδόντες ἥνπερ καὶ τῇ πρεσβυτέρᾳ ἀδελφῇ ἐπέδομεν· καὶ ἐκ τοῦ τρόπου τούτου πρότερον ὄντες αὐτοῦ φίλοι, κατέστημεν οἰκεῖοι. καὶ ὡς ἔλαβεν εἴκοσι μνᾶς ὁ Μενεκλῆς ἐπὶ τῇ ἀδελφῇ προῖκα, τὴν μαρτυρίαν ταύτην πρῶτον βούλομαι παρασχέσθαι.

ΜΑΡΤΥΡΙΑ.

γ΄. Ἐκδόντες τοίνυν τὰς ἀδελφάς, ὦ ἄνδρες, καὶ ὄντες αὐτοὶ ἐν ἡλικίᾳ, ἐπὶ τὸ στρατεύεσθαι ἐτραπόμεθα, καὶ ἀπεδημήσαμεν μετ᾽ Ἰφικράτους εἰς Θρᾴκην· ἐκεῖ δὲ δόξαντές του εἶναι ἄξιοι, περιποιησάμενοί τι κατεπλεύσαμεν δεῦρο, καὶ καταλαμβάνομεν τῇ πρεσβυτέρᾳ ἀδελφῇ ὄντα δύο παιδία, τὴν δὲ νεωτέραν, ἣν εἶχε Μενεκλῆς, ἄπαιδα. καὶ ἐκεῖνος δευτέρῳ μηνὶ ἢ τρίτῳ, πολλὰ ἐπαινέσας τὴν ἀδελφὴν, λόγους ἐποιεῖτο πρὸς ἡμᾶς, καὶ ἔφη τήν τε ἡλικίαν ὑφορᾶσθαι τὴν ἑαυτοῦ καὶ τὴν ἀπαιδίαν· οὔκουν ἔφη δεῖν ἐκείνην τῆς χρηστότητος τῆς ἑαυτῆς τοῦτο ἀπολαῦσαι, ἄπαιδα καταστῆναι συγκαταγηράσασαν αὐτῷ· ἱκανὸς γὰρ ἔφη αὐτὸς ἀτυχῶν εἶναι. καὶ ἐκ ταύτης τῆς λέξεως δηλοῖ, ὅτι φιλῶν ἀπεβάλετο· οὐδεὶς γὰρ μισῶν τινὰ ἱκετεύει αὐτῷ. ἐδεῖτο οὖν ἡμῶν δοῦναι χάριν ταύτην αὐτῷ, ἐκδοῦναι ἄλλῳ αὐτὴν μετὰ τῆς γνώμης τῆς ἑαυτοῦ. καὶ ἡμεῖς ἐκελεύομεν αὐτὸν πείθειν αὐτὴν περὶ τούτων· ὅ τι γὰρ ἐκείνη πεισθῇ, τοῦτ᾽ ἔφαμεν ποιήσειν. κἀκείνη τὸ μὲν πρῶτον οὐδ᾽ ἠνέσχετ᾽ αὐτοῦ λέγοντος, προϊόντος δὲ τοῦ χρόνου μόλις ἐπείσθη. καὶ οὕτως ἐκδίδομεν αὐτὴν Ἠλείῳ Σφηττίῳ, καὶ ὁ Μενεκλῆς

Ἀπεδημήσαμεν μετ᾽ Ἰφικράτους] Vid. Xenoph. Hist. Græc. l. iv. 8., Æschin. π. Παραπρ. §. ιγ΄. ORELLIUS.

Δόξαντες τοῦ] Δόξαντές του. BREMIUS.

Σφηττίῳ] Ita scribendum, non Σφητίῳ, ut habent edd. Londin. et Gœtting. Ste-

τήν τε προῖκα ἐπιδίδωσιν αὐτῇ, μετασχὼν τοῦ οἴκου τῆς μισθώσεως τῶν παίδων τοῦ Νικίου, καὶ τὰ ἱμάτια ἃ ἦλθεν ἔχουσα παρ' ἐκεῖνον, καὶ τὰ χρυσίδια ἃ ἦν, δίδωσιν αὐτῇ.

δ'. Μετὰ δὲ ταῦτα χρόνου διαγενομένου ἐσκόπει ὁ Μενεκλῆς ὅπως μὴ ἔσοιτο ἄπαις, ἀλλ' ἔσοιτο αὐτῷ ὅς τις ζῶντα γηροτροφήσοι καὶ τελευτήσαντα θάψοι αὐτὸν καὶ εἰς τὸν ἔπειτα χρόνον τὰ νομιζόμενα αὐτῷ ποιήσοι. τούτῳ μὲν οὖν ἑώρα ἕνα μόνον υἱὸν ὄντα, ὥστε ἐδόκει αὐτῷ αἰσχρὸν εἶναι ἄπαιδα τοῦτον καθιστάντα ἀῤῥένων παίδων αὐτῷ κελεύειν δοῦναι τοῦτον εἰσποιήσασθαι. εὕρισκεν οὖν οὐδένα ἄλλον οἰκειότερον ὄνθ' ἡμῶν ἑαυτῷ. λόγους οὖν πρὸς ἡμᾶς ἐποιεῖτο, καὶ ἔφη δοκεῖν αὐτῷ καλῶς ἔχειν, ἐπειδὴ οὕτως αὐτῷ ἡ τύχη συνέβη ὥστε ἐκ τῆς ἀδελφῆς τῆς ἡμετέρας παῖδας αὐτῷ μὴ γενέσθαι, ἐκ ταύτης τῆς οἰκίας υἱὸν αὐτῷ ποιήσασθαι, ὅθεν καὶ φύσει παῖδας ἐβουλήθη ἂν αὐτῷ γενέσθαι· ὑμῶν οὖν ἔφη βούλομαι τὸν ἕτερον ποιήσασθαι, ὁποτέρῳ ὑμῶν καλῶς ἔχει. καὶ ὁ ἀδελφὸς ὁ ἐμὸς ἀκούσας ταῦτα, ἐπειδὴ προετίμησεν αὐτοὺς πάντων, ἐπῄνεσέ τε τοὺς λόγους αὐτοῦ, καὶ εἶπεν ὅτι δέοιτο ἥ τε ἡλικία καὶ ἡ παροῦσα ἐρημία ἐκείνου τοῦ θεραπεύσοντος αὐτὸν καὶ ἐπιδημήσοντος, ἐμοὶ μὲν οὖν ἔφη συμβαίνει ἀποδημία, ὡς σὺ οἶσθα· ὁ δὲ ἀδελφὸς οὗτοσὶ ἐμὲ λέγων τῶν τε σῶν ἐπιμελήσεται καὶ τῶν ἐμῶν, ἐὰν βούλῃ τοῦτον ποιήσασθαι. καὶ ὁ Μενεκλῆς καλῶς ἔφη αὐτὸν λέγειν, καὶ ἐκ τοῦ τρόπου τούτου ποιεῖταί με.

ε'. Ὡς οὖν κατὰ τοὺς νόμους ἐπεγένετο ἡ ποίησις, τοῦτο ὑμᾶς βούλομαι διδάξαι. καί μοι τὸν νόμον ἀνάγνωθι, ὃς κελεύει τὰ ἑαυτοῦ ἐξεῖναι διαθέσθαι ὅπως ἂν ἐθέλῃ, ἐὰν μὴ παῖδες ἄῤῥενες ὦσι γνήσιοι. ὁ γὰρ νομοθέτης, ὦ ἄνδρες, διὰ τοῦτο τὸν νόμον ἔθηκεν οὕτως, ὁρῶν μόνην ταύτην κατα-

phanus Byzant. Σφηττὸς — δῆμος Ἀκαμαντίδος φυλῆς· ὁ δημότης Σφήττιος. conf. Meurs. de pop. Attic. p. 126. seq. Bremius.

Ἐπιδ. αὐτῇ] Lond. ἐπιδ. αὐτῷ male. conf. supra. Editor Gœtt.

Ἂν αὐτῷ] Editor Gœtting. mavult ἐμαυτῷ. sed vid. Fischer. et Heindorf. in Platon. Phæd. §. 40. Interpp. ad Viger. de Idiot. Gr. p. 165. seq. ed. Herrm. 2. Ruhnken. ad Timæi Lex. plat. p. 924. e. Orellius.

Συμβαίνειν ἀποδημίαν] Leg. συμβαίνει ἀποδημεῖν. Bremius. Leg. συμβαίνει ἀποδημεῖν ἀεὶ. Casp. Orellius.

Βούλῃ] Sic correxi ex emendatione Bremii mei pro βούλει. Vid. Herrman. ad Viger. p. 822. Orellius.

Ποιεῖταί με] Scribendum: ποιεῖται ἐμέ. Bremius.

φυγὴν οὖσαν τῆς ἐρημίας καὶ παραψυχὴν τοῦ βίου τοῖς ἄπαισι τῶν ἀνθρώπων, τὸ ἐξεῖναι ποιήσασθαι ὅν τινα ἂν βούλωνται. διδόντων οὖν τῶν νόμων αὐτῷ ποιεῖσθαι διὰ τὸ εἶναι ἄπαιδα, ἐμὲ ποιεῖται, οὐκ ἐν διαθήκαις, ὦ ἄνδρες, γράψας, μέλλων ἀποθνήσκειν, ὥσπερ ἄλλοι τινὲς τῶν πολιτῶν, οὐδ' ἀσθενῶν. ἀλλ' ὑγιαίνων, εὖ φρονῶν, εὖ νοῶν, ποιησάμενος εἰσάγει με εἰς τοὺς φράτορας παρόντων τούτων, καὶ εἰς τοὺς δημότας με ἐγγράφει καὶ εἰς τοὺς ὀργεῶνας. καὶ τότε μὲν οὐδὲν ἀντέλεγον αὐτῷ οὗτοι ὡς οὐ φρονοῦντι· καίτοι πολὺ κάλλιον ἦν ζῶντα πείθειν ἐκεῖνον, εἴ τι βούλοιντο, μᾶλλον ἢ τελευτήσαντα ὑβρίζειν, καὶ ἐξερημοῦν αὐτοῦ τὸν οἶκον. ἐπεβίω γὰρ ἐκεῖνος μετὰ τὴν ποίησιν οὐκ ἐνιαυτὸν ἕνα ἢ δύο, ἀλλὰ τρία καὶ εἴκοσιν ἔτη· καὶ ἐν τούτῳ τῷ χρόνῳ, τοσούτῳ ὄντι, οὐδὲν ἐκεῖνος μετέγνω τῶν πεπραγμένων ἑαυτῷ, διὰ τὸ παρὰ πάντων ὁμολογεῖσθαι ὅτι ἦν ὀρθῶς βεβουλευμένος. καὶ ὡς ἀληθῆ λέγω ταῦτα, τῆς μὲν ποιήσεως ὑμῖν τοὺς φράτορας καὶ τοὺς ὀργεῶνας καὶ τοὺς δημότας παρέξομαι μάρτυρας, ὡς δ' ἐξῆν ποιήσασθαι, τὸν νόμον αὐτὸν ὑμῖν ἀναγνώσεται, καθ' ὃν ἡ ποίησις ἐγένετο. καί μοι τὰς μαρτυρίας ἀνάγνωθι ταύτας καὶ νόμον.

ΜΑΡΤΥΡΙΑΙ. ΝΟΜΟΣ.

ς'. Ὡς μὲν τοίνυν ἐξῆν τῷ Μενεκλεῖ ποιήσασθαι υἱὸν αὐτῷ ὄντινα ἐβούλετο, ὁ νόμος αὐτὸς δηλοῖ· ὡς δὲ ἐποιήσατο, οἵ τε φράτορες καὶ οἱ δημόται καὶ οἱ ὀργεῶνες ὑμῖν μεμαρτυρήκασιν· ὥστε περιφανῶς ἀποδέδεικται ἡμῖν, ὦ ἄνδρες, ὁ μάρτυς τἀληθῆ διαμεμαρτυρηκώς, καὶ οὗτοι πρός γε τὴν ποίησιν αὐτὴν λόγον οὐδ' ὁντινοῦν δύναιντ' ἂν ἀντειπεῖν. πραχθέντων δὲ τούτων ἐσκόπει ὁ Μενεκλῆς γυναῖκά μοι, καὶ ἔφη με χρῆναι γῆμαι· καὶ ἐγὼ λαμβάνω τὴν τοῦ Φιλωνίδου θυγατέρα. κἀκεῖνός τε τὴν πρόνοιαν εἶχεν, ὥσπερ εἰκός ἐστι πατέρα περὶ υἱέος ἔχειν, καὶ ἐγὼ τὸν αὐτὸν τρόπον ὥσπερ

Ὅν τινα ἐὰν] Leg. ὅν τιν' ἂν. Cf. Herrm. ad Viger. p. 835. Idem.

Ὀργεῶνας] De his vid. Harpocration h. v. Editor Gœtt. Cf. Suidas, Petit. Legg. Att. p. 428. ed. Paris. Van Dale dissert. ix. ad illustrationem antiquitatum et marmorum. Orellius.

Ὡς εὖ φρονοῦντι] Ὡς οὐ φρονοῦντι. Tyrwhitt.

Ὁ μάρτυς] Philonides, qui pro genero testimonium dixerat. Editor Gœtt.

Ὥσπερ γόνῳ ὄντα] Leg. γόνῳ ὥσπερ ὄντα. Bremius. Vulgatam tuetur Casp. Orellius, conjungens πατέρα ὄντα γόνῳ, i. e. διὰ γόνον. Orellius.

γόνῳ ὄντα πατέρα ἐμαυτοῦ ἐθεράπευόν τε καὶ ἠσχυνόμην, καὶ ἐγὼ καὶ ἡ γυνὴ ἡ ἐμή, ὥστε ἐκεῖνον πρὸς τοὺς δημότας ἐπαινεῖν ἅπαντας.

ζ'. Ὅτι δὲ οὐ παρανοῶν οὐδὲ γυναικὶ πειθόμενος ὁ Μενεκλῆς ἐποιήσατο, ἀλλ' εὖ φρονῶν, ἐνθένδε ἐστὶν ὑμῖν ῥᾴδιον ἐπιγνῶναι. πρῶτον μὲν γὰρ ἡ ἀδελφή, περὶ ἧς οὗτος τὸν πλεῖστον τοῦ λόγου πεποίηται, ὡς ἐκείνῃ πεισθεὶς ἐμὲ ἐποιήσατο, πολλῷ πρότερον ἢν ἐκδεδομένη πρὶν ἢ τὴν ποίησιν γενέσθαι. ὥστ' εἴ γ' ἐκείνῃ πεισθεὶς τὸν υἱὸν ἐποιεῖτο, τῶν ἐκείνης παίδων τὸν ἕτερον ἐποιήσατ' ἄν· δύο γάρ εἰσιν αὐτῇ. ἀλλ', ὦ ἄνδρες, οὐχ ὑπ' ἐκείνης πεισθεὶς ἐμὲ ἐποιήσατο υἱόν, ἀλλὰ μάλιστα μὲν ὑπὸ τῆς ἐρημίας ἐπείσθη, δεύτερον δὲ διὰ τὰς προειρημένας αἰτίας καὶ διὰ τὴν εὔνοιαν τὴν ὑπάρχουσαν πρὸς τὸν πατέρα τὸν ἐμόν, τρίτον δὲ διὰ τὸ μὴ εἶναι συγγενῆ μηδένα ἄλλον αὐτῷ, ὁπόθεν ἂν ἐποιήσατο υἱόν. ταῦτα τηνικαῦτα ἐνῆγεν ἐμὲ ποιήσασθαι· ὥστε οὐ παραφρονῶν φαίνεται οὐδὲ τῇ γυναικὶ πεισθεὶς, εἰ μὴ ἄρα τὴν ἐρημίαν αὐτοῦ καὶ τὴν ἀπαιδίαν οὗτος βούλεται τὸ ὄνομα τοῦτο προσαγορεύειν. ἡδέως δ' ἄν μοι δοκῶ τούτου πυθέσθαι τοῦ φάσκοντος εὖ φρονεῖν, τίνα ποιήσασθαι ἐχρῆν ἀπὸ τῶν συγγενῶν; πότερα τὸν υἱὸν τὸν τούτου; ἀλλ' οὐκ ἂν αὐτῷ ἔδωκεν, ἄπαιδα αὐτὸν καθιστάς· οὐχ οὕτως οὗτός ἐστι φιλοχρήματος. ἀλλὰ τὸν τῆς ἀδελφῆς ἢ τὸν τῆς ἀνεψιᾶς ἢ τὸν τοῦ ἀνεψιοῦ; ἀλλὰ τὴν ἀρχὴν οὐκ ἐγένετο αὐτῷ οὐδεὶς τούτων τῶν συγγενῶν. οὐκοῦν ἐξ ἀνάγκης ἦν αὐτῷ ἄλλον τινὰ ποιήσασθαι μᾶλλον ἢ ἄπαιδα καταγηρᾶν, ὥσπερ οὗτος ἀξιοῖ νυνὶ αὐτόν. ἐγὼ τοίνυν πάντας ἀνθρώπους ἂν οἶμαι ὁμολογῆσαι ὑμᾶς ὡς οὐκ ἂν ποιησάμενος ἄλλον οἰκειότερον ἐμοῦ ποιήσαιτ' ἄν. δειξάτω γὰρ οὗτος ὑμῖν. ἀλλ' οὐκ ἄν ποτε δύναιτο· ἦν γὰρ οὐδεὶς ἄλλος συγγενὴς αὐτῷ πλὴν τούτων.

η'. Ἀλλὰ νῦν οὗτος ἐπιτιμῶν αὐτῷ φαίνεται οὐχ ὅτι τὸν υἱὸν οὐκ ἐποιήσατο τὸν αὐτοῦ, ἀλλ' ὅτι τὸ παράπαν ἐποιή-

Ὁπόθεν ἂν ἐποιήσατο] Malim ποιήσαιτο. EDITOR GŒTT. Recte: nulli enim erant cognati, ex quibus adoptare poterat Menecles. Si fuissent, tunc omnino scribendum fuisset ἐποιήσατο. BREMIUS.

Ἡδέως δ' ἄν μοι ποθῶ] Locus in mendo cubat. Alterutrum, aut ἡδέως δ' ἄν μοι, aut, quod magis placet, ποθῶ, expungendum tanquam glossema, ut constructio sit: ἡδέως δ' ἄν μοι, scil. εἴη, τούτου πυθ. IDEM. Leg. ἡδέως δ' ἄν μοι δοκῶ. CASP. ORELLIUS.

Ὁμολογῆσαι ὑμᾶς] Dele ὑμᾶς. BREMIUS. F. leg. ὁμολογῆσαι καὶ ὑμᾶς. CASP. ORELLIUS.

σατο καὶ οὐκ ἐτελεύτησεν ἄπαις. τοῦτ᾽ ἔστιν, ὦ ἐπιτιμᾷ, ἐπίφθονον πρᾶγμα καὶ οὐ δίκαιον ποιῶν· ὄντων γὰρ αὐτῷ παίδων ἐκείνῳ ὄντι ἄπαιδι καὶ ἀτυχοῦντι φαίνεται ἐπιτιμῶν. καὶ τοῖς μὲν ἄλλοις ἅπασιν ἀνθρώποις καὶ Ἕλλησι καὶ βαρβάροις δοκεῖ καλῶς οὗτος ὁ νόμος κεῖσθαι ὁ περὶ τῆς ποιήσεως, καὶ διὰ τοῦτο χρῶνται πάντες αὐτῷ· ὁ δὲ θεῖος οὗτοσὶ οὐκ αἰσχύνεται τὸν αὐτοῦ ἀδελφὸν ταύτης τῆς ἐξουσίας ἀποστερῶν νῦν, τοῦ ποιήσασθαι, ἧς οὐδὲ τοῖς οὐδὲν γένει προσήκουσιν οὐδεὶς πώποτε ἐφθόνησεν. οἶμαι δὲ καὶ τοῦτον, εἴ τις ἐρωτήσειεν αὐτὸν, τί δή ποτ᾽ ἂν ἐποίησεν εἰς τὴν αὐτὴν τύχην ἐκείνῳ καταστὰς, οὐκ ἄλλ᾽ οὐδὲν εἰπεῖν ἢ ὅτι ἐποιήσατ᾽ ἂν ὅς τις αὐτὸν ἔμελλε ζῶντα θεραπεύσειν καὶ τελευτήσαντα θάψειν· καὶ δῆλον ὅτι κατὰ τὸν αὐτὸν τοῦτον νόμον ἡ ποίησις ἐγένετ᾽ ἂν, καθ᾽ ὃν περ ἡ ἐμή. εἶτα αὐτὸς μὲν, εἰ ἦν ἄπαις, ἐποιήσατ᾽ ἄν· τὸν δὲ Μενεκλέα ποιήσαντα ταὐτὰ τούτῳ, παραφρονεῖν φησὶ καὶ γυναικὶ πειθόμενον ποιήσασθαι. πῶς οὖν οὐ σχέτλια λέγων φαίνεται; ἐγὼ γὰρ οἶμαι πολλῷ μᾶλλον τοῦτον παραφρονεῖν τῷ τε λόγῳ τούτῳ ᾧ νυνὶ λέγει, καὶ οἷς ποιεῖται. τοῖς τε γὰρ νόμοις καὶ δικαίοις καὶ οἷς αὐτὸς ἐποίησεν ἂν τἀναντία λέγων φαίνεται, καὶ οὐκ αἰσχύνεται αὑτῷ μὲν τὸν νόμον τὸν περὶ τῆς ποιήσεως ποιῶν κύριον, τῷ δὲ ἀδελφῷ τὸν αὐτὸν τοῦτον ζητῶν ἄκυρον ποιῆσαι.

θ΄. Εἶτα νῦν διὰ τί διαφερόμενος ζητεῖ οὗτος τὸν ἀδελφὸν τὸν ἑαυτοῦ ἄπαιδα καταστῆσαι, ἄξιόν ἐστιν, ὦ ἄνδρες, ἀκοῦσαι. εἰ μὲν γὰρ περὶ τοῦ ὀνόματός μοι διαφέρεται καὶ ἀναίνεται εἰ ἐγὼ ἔσομαι υἱὸς Μενεκλέους, πῶς οὐ φθονερός ἐστιν; εἰ δὲ περὶ χρημάτων ἐστὶν ὁ λόγος αὐτῷ, ἐπιδείξατω ὑμῖν ὁποῖον χωρίον ἢ συνοικίαν ἢ οἰκίαν κατέλιπεν ἐκεῖνος, ἃ ἐγὼ ἔχω νυνί. εἰ δὲ μηδὲν τούτων κατέλιπεν, ἃ δ᾽ ἦν αὐτῷ ὑπόλοιπα, ἐπειδὴ τῷ ὀρφανῷ τὸ ἀργύριον ἀπέδωκεν, οὗτος ἔλαβε ζῶντος ἐκείνου ἔτι, πῶς οὐ περιφανῶς ἐξελέγχεται ἀναιδὴς ὤν; ὡς δὲ ἔχει, ἐγὼ ἐπιδείξω. ἐπειδὴ γὰρ ἔδει τῷ ὀρφανῷ τὰ χρήματα ἀποδίδοσθαι, ὁ δ᾽ οὐκ εἶχεν ὁπόθεν ἀποδῷ, τόκοι δὲ πολλοῦ χρόνου συνερρυηκότες

Τοῦ ποιήσασθαι] His facile caruerit Bekkerus.

Ἤδη ποτ᾽] Τί δή ποτ᾽. Tyrwhitt.

ἦσαν αὐτῷ, τὸ χωρίον ἐπώλει. καὶ οὗτος καιροῦ λαβόμενος καὶ βουλόμενος αὐτῷ ἐπηρεάζειν, ὅτι ἐμὲ ἐποιήσατο, διεκώλυε τὸ χωρίον πραθῆναι, ἵνα κατόχιμον γένηται καὶ ἀναγκασθῇ τῷ ὀρφανῷ ἀποστῆναι. ἠμφισβήτει οὖν αὐτῷ μέρους τινὸς τοῦ χωρίου, πρότερον οὐδεπώποτε ἀμφισβητήσας, καὶ ἀπηγόρευε τοῖς ὠνουμένοις μὴ ὠνεῖσθαι. κἀκεῖνος ἠγανάκτει, οἶμαι, καὶ ἠναγκάζετο ὑπολείπεσθαι οὗ ἠμφισβήτησεν οὗτος, τὸ δὲ ἄλλο ἀποδιδόναι Φιλίππῳ τῷ Πιτθεῖ ἑβδομήκοντα μνῶν. καὶ οὕτω διαλύει τὸν ὀρφανὸν, ἑπτὰ μνᾶς καὶ τάλαντον ἀποδοὺς ἀπὸ τῆς τιμῆς τοῦ χωρίου· τούτῳ δὲ λαγχάνει δίκην τῆς ἀπωρρήσεως.

ι'. Λόγων δὲ πολλῶν γενομένων καὶ ἔχθρας πολλῆς, ἔδοξεν ἡμῖν χρῆναι, ἵνα μή ποτε εἴπῃ τις ἐμὲ φιλοχρηματεῖν καὶ ἐχθροὺς ἀδελφοὺς ὄντας αὐτοὺς καθιστάνειν, ἐπιτρέψαι τῷ τε κηδεστῇ τῷ τούτου καὶ τοῖς φίλοις διαιτῆσαι. ἐκεῖνοι δὲ εἶπον ἡμῖν, εἰ μὴ ἐπιτρέποιμεν αὐτοῖς ὥστε τὰ δίκαια διαγνῶναι, οὐκ ἂν ἔφασαν διαιτῆσαι· οὐδὲν γὰρ δεῖσθαι ἀπέχθεσθαι οὐδετέροις ἡμῶν· εἰ δ' ἐάσομεν αὐτοὺς γνῶναι τὰ συμφέροντα πᾶσιν, ἔφασαν διαιτήσειν. καὶ ἡμεῖς, ἵνα δὴ πραγμάτων ἀπαλλαγῶμεν, ὥστε δηώμεθα, οὕτως ἐπιτρέπομεν. καὶ ἐκεῖνοι, ὀμόσαντες ἡμῖν πρὸς τῷ βωμῷ τῷ τῆς Ἀφροδίτης Κεφαλαίωσιν τὰ συμφέροντα γνώσεσθαι, διήτησαν ἡμᾶς ἀποστῆναι ὧν οὗτος ἠμφισβήτησε καὶ δοῦναι δωρεάν· οὐ γὰρ ἔφασαν εἶναι ἄλλην ἀπαλλαγὴν οὐδεμίαν, εἰ μὴ μεταλήψονται οὗτοι τῶν ἐκείνου. ἐκ δὲ τοῦ λοιποῦ χρόνου ἔγνωσαν ἡμᾶς εὖ ποιεῖν ἀλλήλους καὶ λόγῳ καὶ ἔργῳ, καὶ ταῦτα ὀμόσαι ἠνάγκασαν ἡμᾶς ἀμφοτέρους πρὸς τῷ βωμῷ ἢ μὴν ποιήσειν· καὶ ἡμεῖς ὠμόσαμεν εὖ ποιεῖν ἀλλήλους ἐκ τοῦ ἐπιλοίπου χρόνου, κατὰ δύναμιν εἶναι, καὶ λόγῳ καὶ ἔργῳ. καὶ ὡς ὅ τε ὅρκος ἐγένετο, καὶ ἔχουσιν οὗτοι ἃ ἐγνώσθη αὐτοις ὑπὸ τῶν οἰκείων τῶν τούτου, εἶτα νυνὶ ταυτὶ τὰ ἀγαθὰ ποιοῦσιν ἡμᾶς, τὸν μὲν τεθνεῶτα ἄπαιδα βουλόμενοι καταστῆσαι, ἐμὲ δ' ἐκβάλλειν ὑβρί-

Ὄντας αὐτοῦ] Leg. ὄντας αὐτοὺς, scil. Meneclem et fratrem ejus. BREMIUS.

Ὥστε δηώμεθα] Forte leg. ὡς ἐδεόμεθα. EDITOR GŒTT.

Κεφαλαίωσιν] Scrib. f. Κεφαλαίας, ut intelligatur Venus in pago, cui nomen Κεφαλὴ, constituta. Κεφαλὴ δῆμος τῆς Ἀκαμαντίδος. Harpocrat. TYRWHITT.

Εἰ μὴ] F. leg. ἢ εἰ μὴ —. CASP. ORELLIUS.

Ἀπὸ τῶν οἰκείων] F. ὑπὸ τῶν οἰκείων. TYRWHITT.

σαντες ἐκ τοῦ οἴκου, τοὺς γνόντας αὐτοὺς ὑμῖν παρέξομαι μαρτυρας, ἐὰν ἐθέλωσιν ἀναβαίνειν — εἰσὶ γὰρ τούτων οἰκεῖοι —, εἰ δὲ μή, τοὺς παραγενομένους. καί μοι τὰς μαρτυρίας ἀνάγνωθι ταυτασί· σὺ δ' ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΙΑΙ.

ια. Λάβε δή μοι τὰς μαρτυρίας ἐκείνας, ὡς τό τε χωρίον ἑβδομήκοντα μνῶν ἐπράθη, καὶ ὡς ἀπέλαβεν ὁ ὀρφανὸς ἑπτὰ καὶ ἑξήκοντα μνᾶς πραθέντος τοῦ χωρίου.

ΜΑΡΤΥΡΙΑΙ.

ὁ θεῖος τοίνυν οὗτοσί, ὦ ἄνδρες, κεκληρονομηκὼς τῶν ἐκείνου ἔργῳ καὶ οὐ λόγῳ ὥςπερ ἐγώ, καὶ ἔχων ἐμοῦ πολλῷ πλείονα· ἐγὼ μὲν γὰρ τὰς τριακοσίας δραχμὰς ἔλαβον τὰς περιλειφθείσας ἀπὸ τῆς τιμῆς τοῦ χωρίου, καὶ οἰκίδιον ὅ ἐστιν οὐκ ἄξιον τριῶν μνῶν· οὗτος δὲ πλεῖον ἢ δέκα μνῶν χωρίον ἔχων, εἶτα προσέτι νῦν ἥκει τὸν οἶκον αὐτοῦ ἐξερημώσων. καὶ ἐγὼ μὲν ὁ ποιητὸς ἐκεῖνόν τε ζῶντα ἐθεράπευον, καὶ αὐτὸς καὶ ἡ ἐμὴ γυνή, θυγάτηρ οὖσα τουτουὶ Φιλωνίδου, καὶ τῷ ἐμῷ παιδίῳ ἐθέμην τὸ ὄνομα τὸ ἐκείνου, ἵνα μὴ ἀνώνυμος ὁ οἶκος αὐτοῦ γένηται, καὶ τελευτήσαντα ἔθαψα ἀξίως ἐκείνου τε καὶ ἐμαυτοῦ, καὶ ἐπίθημα καλὸν ἐπέθηκα, καὶ τὰ ἔνναται καὶ τἆλλα πάντα ἐποίησα τὰ περὶ τὴν ταφὴν ὡς οἷόν τε κάλλιστα, ὥςτε τοὺς δημότας ἐπαινεῖν ἅπαντας· οὗτος δὲ ὁ συγγενής, ὁ ἐπιτιμῶν αὐτῷ ὅτι υἱὸν ἐποιήσατο, ζῶντος μὲν τὸ χωρίον τὸ περιλειφθὲν αὐτῷ περιείλετο, τελευτήσαντα δ' αὐτὸν ἄπαιδα καὶ ἀνώνυμον βούλεται καταστῆσαι. τοιοῦτός ἐστιν οὗτος. καὶ ὡς ἔθαψά τ' ἐγὼ αὐτὸν, καὶ τὰ τρίτα καὶ τὰ ἔνναται ἐποίησα καὶ τἆλλα περὶ τὴν ταφὴν, τὰς μαρτυρίας ὑμῖν τῶν εἰδότων ἀναγνώσεται.

Οἴκου, τοὺς γνόντας] Caspar. Orellius sic interpungit: οἴκου. τοὺς γνόντας. Fortassis post τοὺς excidit δέ. Orellius.

Τούταν] Legendum videtur τούτου, scil. τοῦ θείου. Si τούτων legas, intelligendus θεῖος cum filio cujus mentio supra §. ζ'. Idem.

Ἐπίβαλλε] Ἐπίλαβε. Tyrwhitt. Vid. Pollux Onom. viii. §. 115. et Rader ad Martial. vi. 25. p. 650. seq. Orellius.

Τὰ τρία] Scrib. f. τὰς τριακάδας. V. Harpocrat. in voc. τριακάς. Tyrwhitt. Tyrwhittus postea correctionem suam retractavit, τὰ τρίτα restituens in glossa marginali, citans Polluc. Onom. viii. 146. et Aristoph. Lysistr. 614. Vid. Wyttenbach. Bibl. Crit. Amst. Tom. iii. p. ii. p. 135. Orellius.

ΜΑΡΤΥΡΙΑΙ.

ιβ'. Ὅτι τοίνυν ὁ Μενεκλῆς, ὦ ἄνδρες, ἐποιήσατό με οὐ παρανοῶν οὐδὲ γυναικὶ πειθόμενος, βούλομαι ὑμῖν καὶ αὐτοὺς τούτους μάρτυρας παρασχέσθαι, καὶ ἐμοὶ μαρτυροῦντας ἔργῳ καὶ οὐ λόγῳ, ἐξ ὧν ἔπραξαν αὐτοί, ὅτι ἐγὼ τἀληθῆ λέγω. τὰς γὰρ διαλύσεις φαίνονται πρὸς ἐμὲ ποιησάμενοι ἀμφότεροι οὗτοι, καὶ οὐ πρὸς τὸν Μενεκλέα, καὶ ὀμόσαντες ὅρκους [ἐμοὶ] καὶ ἐγὼ τούτοις. καίτοι εἴ γε μὴ κατὰ τοὺς νόμους ἐγεγένητο ἡ ποίησις, μηδὲ κληρονόμος ἦν ἐγὼ τῶν Μενεκλέους ὑπ' αὐτῶν τούτων δεδοκιμασμένος, τί ἔδει αὐτοὺς ὀμνύναι ἐμοὶ ἢ παρ' ἐμοῦ λαμβάνειν ὅρκους; οὐδὲ ἓν δήπου. οὐκοῦν ὁπότε ἐποίησαν ταῦτα, φαίνονται αὐτοὶ οὗτοι ἐμοὶ μαρτυροῦντες ὅτι κατὰ τοὺς νόμους ἐποιήθη ἡ ποίησις καὶ δικαίως εἰμὶ κληρονόμος τῶν Μενεκλέους. ἐγὼ δ' οἶμαι καταφανὲς ὑμῖν ἅπασι τοῦτ' εἶναι, ὡς καὶ παρὰ τούτων αὐτῶν ὁμολογούμενόν ἐστιν ὅτι Μενεκλῆς οὐ παρεφρόνει, ἀλλὰ πολὺ μᾶλλον οὗτος νυνί, ὅς γε ποιησάμενος τῆς ἔχθρας διάλυσιν πρὸς ἡμᾶς καὶ ὀμόσας ὅρκους πάλιν ἰὼν ἥκει τὰ ὁμολογηθέντα καὶ ὀμοθέντα παραβάς, καὶ ἀφελέσθαι με ἀξιοῖ ταυτὶ τὰ λοιπά, οὕτως ὄντα μικρά.

ιγ'. Ἐγὼ δὲ εἰ μὴ πάνυ τὸ πρᾶγμα αἰσχρὸν εἶναι ἐνόμιζον καὶ ἐπονείδιστον, προδοῦναι τὸν πατέρα οὗ εἶναι ὠνομάσθην καὶ ὃς ἐποιήσατό με, ταχὺ ἂν ἀπέστην αὐτῷ τῶν ἐκείνου· ἔστι γὰρ ὑπόλοιπον οὐδὲ ἕν, ὡς καὶ ὑμᾶς οἴομαι αἰσθάνεσθαι. νυνὶ δὲ δεινὸν τὸ πρᾶγμα καὶ αἰσχρὸν εἶναι τῇδε νομίζω, εἰ, ἡνίκα μὲν ὁ Μενεκλῆς εἶχέ τι, τότε μὲν ἔδωκα ἐμαυτὸν υἱὸν αὐτῷ ποιήσασθαι, καὶ ἀπὸ τῆς οὐσίας τῆς ἐκείνου, πρὶν πραθῆναι τὸ χωρίον, ἐγυμνασιάρχουν ἐν τῇ δήμῳ καὶ ἐφιλοτιμήθην ὡς υἱὸς ὢν ἐκείνου, καὶ τὰς στρατείας, ὅσαι ἐγένοντο ἐν τῷ χρόνῳ τούτῳ, ἐστράτευμαι ἐν τῇ φυλῇ τῇ ἐκείνου καὶ ἐν τῷ δήμῳ· ἐπειδὴ δὲ ἐκεῖνος ἐτελεύτησεν, εἰ προδώσω καὶ ἐξερημώσας αὐτοῦ τὸν οἶκον ἀπιὼν οἰχήσομαι, πῶς οὐκ ἂν δεινὸν τὸ πρᾶγμα εἶναι καὶ καταγέλαστον δοκοίη, καὶ τοῖς βουλομένοις περὶ ἐμοῦ βλασφημεῖν πολλὴν ἐξουσίαν παράσχομαι; καὶ οὐ μόνον ταῦτ' ἔστι τὰ ποιοῦντά

Πρός με] Leg. πρὸς ἐμὲ. Bremius. Ὅρκους] Pronomen ἐμοὶ add. Idem.

με ἀγωνίζεσθαι τὸν ἀγῶνα τοῦτον, ἀλλ' εἰ οὕτω φαῦλος ἄνθρωπος δοκῶ εἶναι καὶ μηδενὸς ἄξιος, ὥςτε ὑπὸ μὲν εὐφρονοῦντος μηδ' ὑφ' ἑνὸς ἂν ποιηθῆναι τῶν φίλων, ὑπὸ δὲ παραφρονοῦντος, ταῦτ' ἔστι τὰ λυποῦντά με.

ιδ'. Ἐγὼ οὖν δέομαι ὑμῶν πάντων, ὦ ἄνδρες, καὶ ἀντιβολῶ καὶ ἱκετεύω ἐλεῆσαί με καὶ ἀποψηφίσασθαι τοῦ μάρτυρος τουτουί. ἀπέφηνα δ' ὑμῖν πρῶτον μὲν ποιηθέντα ἐμαυτὸν ὑπὸ τοῦ Μενεκλέους ὡς ἄν τις δικαιότατα ποιηθῇ, καὶ οὐ λόγῳ οὐδὲ διαθήκῃ τὴν ποίησιν γεγενημένην, ἀλλ' ἔργῳ· καὶ τούτων ὑμῖν τούς τε φράτορας καὶ τοὺς δημότας καὶ τοὺς ὀργεῶνας παρεσχόμην μάρτυρας· καὶ ἐκεῖνον ἐπέδειξα τρία καὶ εἴκοσιν ἐπιβιοῦντα ἔτη. εἶτα τοὺς νόμους ἐπέδειξα ὑμῖν, τοὺς ἅπασι τοῖς ἀνθρώποις ἐξουσίαν διδόντας υἱεῖς ποιεῖσθαι. καὶ ἔτι πρὸς τούτοις ζῶντά τε φαίνομαι θεραπεύων αὐτὸν καὶ τελευτήσαντα θάψας. οὗτος δὲ νυνὶ ἄκληρον μὲν ἐμὲ ποιεῖ τοῦ κλήρου τοῦ πατρῴου, εἴτε μείζων ἐστὶν οὗτος εἴτε ἐλάττων, ἄπαιδα δὲ τὸν τελευτήσαντα καὶ ἀνώνυμον βούλεται καταστῆσαι, ἵνα μήτε τὰ ἱερὰ τὰ πατρῷα ὑπὲρ ἐκείνου μηδεὶς τιμᾷ, μήτ' ἐναγίζῃ αὐτῷ καθ' ἕκαστον τὸν ἐνιαυτὸν, ἀλλ' ἀφαιρεῖται τὰς τιμὰς τὰς ἐκείνου· ἃ προνοηθεὶς ὁ Μενεκλῆς, κύριος ὢν τῶν ἑαυτοῦ, ἐποιήσατο υἱὸν ἑαυτῷ, ἵνα τούτων ἁπάντων τυγχάνῃ. μὴ οὖν, ὦ ἄνδρες, πεισθέντες ὑπὸ τούτων ἀφέλησθέ μου τὸ ὄνομα τῆς κληρονομίας, ὃ ἔτι μόνον λοιπόν ἐστιν,
37.30 ἄκυρον δὲ τὴν ποίησιν αὐτοῦ καταστήσητε· ἀλλ' ἐπειδὴ τὸ 13
πρᾶγμα εἰς ὑμᾶς ἀφῖκται καὶ ὑμεῖς κύριοι γεγόνατε, βοηθήσατε καὶ ἡμῖν καὶ ἐκείνῳ τῷ ἐν ᾅδου ὄντι, καὶ μὴ περιίδητε, πρὸς θεῶν καὶ δαιμόνων δέομαι ὑμῶν, προπηλακισθέντα αὐτὸν ὑπὸ τούτων, ἀλλὰ μεμνημένοι τοῦ νόμου καὶ τοῦ ὅρκου ὃν ὀμωμόκατε καὶ τῶν εἰρημένων ὑπὲρ τοῦ πράγματος, τὰ δίκαια καὶ τὰ εὔορκα κατὰ τοὺς νόμους ψηφίσασθε.

Μηδ' ἐναγίζῃ] Scribend. μήτ' ἐναγίζῃ. IDEM.

Λοιπὸν ἔσται] Λοιπόν ἐστι. TYRWHITT.

Ἄκυρον δὲ] Ἄκυρόν τε. BREMIUS.

Ἀλλ' ἐπειδὴ - - - ψηφίσασθε.] Particula hæc, quæ in Editionibus Isæi annexa est orationi de Cleonymi hereditate, ubi alienam esse quisque videt, nunc demum quasi postliminio suo loco redditur. Reiskius lacunam esse suspicabatur, quam explere etiam utcunque conatus est. Sed mihi videtur oratio ista in fine esse mutila. Forsan ex eo Codice, e quo profluit Aldina editio, exciderant folia intermedia, quæ istius orationis finem et nostram fere totam continebant, unde factum ut extremæ utriusque partes coalescerent. EDITOR GOTT.

Γ.

ΙΣΑΙΟΥ

ΠΕΡΙ ΤΟΥ ΠΥΡΡΟΥ ΚΛΗΡΟΥ.

Pag. ed. eph. — Pag. ed. Reisk.

ΥΠΟΘΕΣΙΣ.

38 Πύῤῥου τὸν ἕτερον [1] τῆς ἀδελφῆς [2] υἱὸν υἱοποιησαμένου Ἔνδιον, καὶ τούτου πλέον ἢ εἴκοσιν ἔτη 13
τὸν κλῆρον κατασχόντος, εἶτα ἀποθανόντος, Ξενοκλῆς λαχὼν τῶν χρημάτων ὑπὲρ Φίλης, τῆς 14
ἑαυτοῦ γυναικὸς, διεμαρτύρησεν εἶναι αὐτὸν [3] γνησίαν Πύῤῥου θυγατέρα, ἀμφισβητούσης τοῦ
κλήρου τῆς Ἐνδίου μητρός· καὶ ἑάλω ψευδομαρτυριῶν, Νικοδήμου καὶ αὐτοῦ μαρτυρήσαντος
ἐγγυῆσαι Πύῤῥῳ τὴν ἀδελφὴν κατὰ τοὺς νόμους, ἐξ ἧς γεγονέναι τὴν Φίλην. ὁ Ἐνδίου δὲ ἀδελ-
φὸς νίθην εἶναι φησὶν, ἐξ ἑταίρας Πύῤῥῳ γενομένην, καὶ οὕτως ὑπὸ Ἐνδίου ἐκδοθῆναι Ξενοκλεῖ.
Ἡ στάσις στοχασμὸς, τὸ δὲ ἔγκλημα ψευδομαρτυριῶν κατὰ τοῦ Νικοδήμου.

1 α΄. ΑΝΔΡΕΣ δικασταὶ, ὁ ἀδελφὸς τῆς μητρὸς τῆς
ἐμῆς, Πύῤῥος, ἄπαις ὢν γνησίων παίδων, ἐποιήσατο Ἔν-
διον τὸν ἀδελφὸν τὸν ἐμὸν υἱὸν [4] ἑαυτῷ· ὃς κληρονόμος ὢν τῶν
ἐκείνου ἐβίω πλείω ἔτη ἢ εἴκοσι, καὶ ἐν χρόνῳ τοσούτῳ
ἔχοντος ἐκείνου τὸν κλῆρον οὐδεὶς πώποτε προσεποιήσατο 15
5 οὐδ' ἠμφισβήτησε τῆς κληρονομίας ἐκείνῳ. τελευτήσαντος
δὲ τοῦ ἀδελφοῦ πέρυσιν, ὑπερβᾶσα τὸν τελευταῖον κληρο-
νόμον, γνησία θυγάτηρ τοῦ ἡμετέρου θείου ἥκει φάσκουσα
εἶναι Φίλη, καὶ κύριος Ξενοκλῆς Κύπριος τοῦ Πύῤῥου κλήρου

[1] τῶν τῆς [2] υἱῶν [3] Πύῤῥου γνησίαν [4] αὐτῷ

Τῶν τῆς ἀδελφῆς] Priorem articulum, quo vulgatæ carent e schedis Brul. addidi. Aliter instituerat rationem Taylor, pro υἱῶν sufficiens υἱόν. Admonebat idem in fine argumenti adjuncta hæc esse in Aldina: τοῦ Πύῤῥου κλήρου κατὰ ποιήσιν πρὸς τὸ γένος διαμαρτυρίαν. Personarum in hac causa inter se contendentium hic est nexus stemmaticus:

Pyrrho
super cujus hereditate certatur, erat

Soror,
e qua nati

Endius et actor

verum Pyrrhus e Nicodemi sorore filiam notham susceperat, cujus filiæ maritus Xenocles ab actore injustæ possessionis postulatur. Reisk.

Ἄπαις παίδων] De hac dictione Taylor ad Euripidem ejusque interpretem Barnesium ablegat. Idem.

Ὑπερβᾶσα] Ὑπερβῆναι κληρονόμον dicitur is, qui, cum solus jus hereditatis adeundæ verum et legitimum habuisset, tamen alium aut nullo aut infirmiore jure munitum passus fuisset illam hereditatem cernere atque possidere, neque obloquendo et protestando intercessisset. Idem.

Κύριος] Subaudi αὐτῆς ἄν. Adscripserat hic loci Taylor istæc: "V. Petit. 3. 6. Heins. Exerc. 18. 2. v. post p. 56. 4." Idem.

Κύπριος] Non ex insula Cypro oriundus, sed e demo, seu municipio quodam

λαχεῖν τὴν λῆξιν ἠξίωσεν, ὃς τετελευτήκει πλείω ἢ εἴκοσιν
ἔτη, τρία τάλαντα [1]τίμημα τῷ κλήρῳ ἐπιγραψάμενος.
ἀμφισβητούσης δὲ τῆς μητρὸς τῆς ἡμετέρας, ἀδελφῆς δὲ τοῦ 10
Πύῤῥου, ὁ κύριος τῆς εἰληχυίας τοῦ κλήρου γυναικὸς ἐτόλ-
μησε διαμαρτυρῆσαι μὴ ἐπίδικον τῇ ἡμετέρᾳ μητρὶ τὸν
16 τοῦ ἀδελφοῦ κλῆρον εἶναι, ὡς οὔσης γνησίας θυγατρὸς Πύῤ-
ῥῳ, οὗ ἦν ἐξ ἀρχῆς ὁ κλῆρος. ἐπισκηψάμενοι δὲ ἡμεῖς, καὶ
εἰς ὑμᾶς εἰσαγαγόντες τὸν διαμαρτυρῆσαι τολμήσαντα
[2]κατὰ ταῦτα, ἐκεῖνόν τε ἐξελέγξαντες περιφανῶς τὰ ψευδῆ
μεμαρτυρηκότα τὴν τῶν ψευδομαρτυριῶν δίκην εἱλόμεν παρ' 15
ὑμῖν, καὶ τουτονὶ Νικόδημον παραχρῆμα ἐξηλέγξαμεν ἐν
τοῖς αὐτοῖς δικασταῖς ἀναισχυντότατον τῇ μαρτυρίᾳ ὄντα
17 ταύτῃ, ὅς γε ἐτόλμησε μαρτυρῆσαι ἐγγυῆσαι τῷ θείῳ τῷ
ἡμετέρῳ τὴν ἀδελφὴν τὴν ἑαυτοῦ γυναῖκα εἶναι κατὰ τοὺς
νόμους. ὅτι μὲν οὖν καὶ ἐν τῇ προτέρᾳ δίκῃ ἡ τούτου μαρ-
τυρία ψευδὴς ἔδοξεν εἶναι, ὁ τόθ' ἑαλωκὼς μάρτυς σαφέ-
στατα τοῦτον ἐξελέγχει. εἰ γὰρ μὴ ἐδόκει οὗτος τὰ ψευδῆ 20
τότε μαρτυρῆσαι, δῆλον ὅτι ἐκεῖνός τ' ἂν ἀποφυγὼν τὴν
διαμαρτυρίαν ἀπῆλθε, καὶ κληρονόμος [3]ἂν τῶν τοῦ θείου ἡ
διαμαρτυρηθεῖσα γνησία θυγάτηρ εἶναι, ἀλλ' οὐκ ἂν ἡ ἡμε-
τέρα [4]κατέστη μήτηρ. ἁλόντος δὲ τοῦ μάρτυρος καὶ ἀπο-

[1] τίμημα om. [2] μετὰ ταῦτα [3] ἦν [4] κατέστενε

Attico, illi insulæ celeberrimæ cognomine. V. ad Demosthen. or. pro Corona p. 147. 24. a nobis dicenda. Idem.

Τρία τάλαντα τῷ κλήρῳ ἐπιγραψάμενος] Xenocles in libello petitorio, quem judicibus tradens eam hereditatem sibi ut heredi soli legitimo adjudicari petierat, illam hereditatem tribus talentis æstimaverat, hac lege, ut si contrapetitorem, actorem hujus causæ, judicio vinceret, is sibi, Xenocli, tria talenta pro mulcta numeraret, ipse, si causa caderet, vincenti nihil. Idem.

Ἐπισκεψάμενοι] Ἐπισκηψάμενοι. Taylor.

Κατὰ ταῦτα] Bene si habet, significare debet *hoc ex titulo*. Ego vero suspicor præpositionem κατὰ esse delendam. dicitur enim διαμαρτυρεῖν τι, non κατά τι. *interponenda sua intercessione* vel *interpellatione confirmare* vel *asseverare aliquid ut vere factum*. Vel rectius κατὰ mutabis in μετὰ et leg., μετὰ ταῦτα ἐκεῖνον κ. τ. λ. *eoque facto non illum modo* etc. Reisk.

Τουτονὶ Νικόδημον] Interponunt, sine ulla sive gratia sive necessitate, τὸν schedæ Brulart. Idem.

Τῇ μαρτυρίᾳ ὄντα ταύτῃ] Duriuscule dictum, fateor. bene si habet, accipiendum erit ὄντα pro φανέντα, vel γεγονότα. Suspicabatur Taylor in schedis leg. esse: τῇ μαρτυρίᾳ αὐτῇ ταύτῃ, adscripto [scil. Xenoclis], quod minus satisfacit. Mihi videtur ὄντα bene quidem habere, verum aliquid ei cohærens atque anteponendum excidisse, e. c. σύμμαχον, vel ὁμόφωνον. Idem.

Τούτου] Si ad Nicodemum refertur, bene habet μαρτυρία. sin autem ad Xenoclem redit, malim διαμαρτυρία legi. Sed vulgata bene habet. Idem.

Ὁ τόθ' ἑαλωκὼς μάρτυς] Xenocles. Idem.

Τοῦτον] Scil. Nicodemum. Sed annon præstet τοῦτο legi? Idem.

Κατέστενε] Reliqui hoc, qualecunque est, quod libri dant, tametsi haud probo. Num κατέστη, *facta fuisset heres*. Nam, quod olim suspicabar leg. esse κατέσθενε, dubito nunc, primum sitne Græcum vo-

στάσης τοῦ κλήρου τῆς ἀμφισβητούσης γνησίας θυγατρὸς 18
Πύῤῥῳ εἶναι, μεγάλη ἀνάγκη ἅμα καὶ τὴν τούτου μαρτυ-
25 ρίαν ἐαλωκέναι. περὶ γὰρ αὐτοῦ τούτου [1]διαμαρτυρήσας
τὴν τῶν ψευδομαρτυριῶν δίκην ἠγωνίζετο, πότερον ἐξ ἐγ-
γυητῆς ἢ ἐξ ἑταίρας ἡ ἀμφισβητοῦσα τοῦ κλήρου τῷ θείῳ
γυναικὸς εἴη. γνώσεσθε δ' ἀκούσαντες καὶ ὑμεῖς τῆς τε
ἀντωμοσίας τῆς ἡμετέρας καὶ τῆς τούτου μαρτυρίας καὶ
τῆς ἁλούσης διαμαρτυρίας. ἀναγίνωσκε λαβὼν ταυσδὶ
αὐτοῖς.

ΑΝΤΩΜΟΣΙΑ. ΜΑΡΤΥΡΙΑ. ΔΙΑΜΑΡΤΥΡΙΑ.

30 β'. Ὡς μὲν ἔδοξε παραχρῆμα εὐθὺς τότε τὰ ψευδῆ
μαρτυρῆσαι Νικόδημος, ἐπιδέδεικται τότε πᾶσι· προσήκει 19
δὲ καὶ παρ' ὑμῖν τοῖς περὶ αὐτοῦ τούτου τὴν δίκην μέλλουσι
ψηφιεῖσθαι, ἐξελεγχθῆναι τὴν τούτου μαρτυρίαν. ἐπιθυμῶ
δὲ πρῶτον μὲν [2]περὶ αὐτοῦ τούτου πυθέσθαι, ἥν τινά ποτε
προῖκα φησὶν ἐπιδοὺς ἐκδοῦναι τὴν ἀδελφὴν ὁ μεμαρτυρηκὼς
τῷ τὸν τριτάλαντον οἶκον κεκτημένῳ, εἶτα πότερον ἡ ἐγ-
35 γυητὴ γυνὴ ἀπέλιπε τὸν ἄνδρα ζῶντα ἢ τελευτήσαντος
τὸν οἶκον αὐτοῦ, καὶ παρ' ὅτου ἐκομίσατο τὴν τῆς ἀδελφῆς
προῖκα οὗτος, ἐπειδὴ τετελευτηκὼς ἦν ᾧ μεμαρτύρηκεν

[1] ὁ διαμαρτυρήσας [2] παρ'

cabulum καταστένειν, deinde si sit, eane significatione usurpetur, quæ huic loco convenit, scil. *obtinuisset litem, stetisset causa, eamque vicisset.* In schedis Brulart. invenio annotatum κατέμενε, hoc est, ni fallor, *mansisset heres.* Idem.

Ἀμφισβητούσης γνησίας θυγατρὸς Πύῤῥῳ εἶναι] Id est, ἀμφισβητούσης ὅτι θυγάτης γνησία Πύῤῥῳ ἐστί. malim tamen sic legi: τῆς ἀμφισβητούσης [subaudi τοῦ κλήρου] γνησίας θυγατρὸς Πύῤῥῳ φασκούσης εἶναι, id est, διότι φάσκει θυγάτης εἶναι. *super hereditate eo ex titulo contendentis, quod se filiam Pyrrhi legitimam ferat.* Idem.

Τούτου] Nicodemi puta. Idem.

Εὐθὺς] Deletum ierat, quisquis fuit, a quo annotatiunculæ schedarum Brulart. profectæ sunt. Verum solet Isæus εὐθὺς cum παραχρῆμα copulare. ut si Latine dicas, *statim e vestigio*, vel *statim re adhuc recente*, vel *protinus actutum.* V. dicta ad p. 36. 8. Idem.

Διαμαρτυρῆσαι] Imo vero simpliciter μαρτυρῆσαι. Nicodemus enim solummodo testem agebat, Xenocles autem διεμαρτύρει, seu actione διαμαρτυρίας utebatur, h. e. intercedebat interponenda protestatione, nomine uxoris, quominus actor noster, cujus nomen nescimus, nomine matris suæ, hereditatem avunculi adiret. Ausus itaque sum præpositionem delere. Idem.

Ἐπιδέδεικται] Convenire melius videtur ἐπεδέδεικτο. Idem.

Παρ' αὐτοῦ] Sic dedi de meo, pro vulgari περὶ αὐτοῦ. *ab* vel *ex hoc ipso Nicodemo percontari.* Taylorum reperi postmodum idem quoque censuisse. Idem.

Τῷ τ. τρ. ο. κεκτημένῳ] Cohærent hi dativi, non cum μεμαρτυρηκὼς (dixerat enim Nicodemus testimonium, non Pyrrho, dudum ante mortuo, qui hic dicitur substantiam trium talentorum possedisse, sed Xenocli, penes quem erat filia e sorore Nicodemi nata), sed cohærent cum ἐκδοῦναι. Pari modo versu ult. ᾧ cohæret, non cum proximo μεμαρτύρηκεν, sed cum ἐγγυῆσαι. Idem.

οὗτος αὐτὴν ἐγγυῆσαι, ἢ εἰ μὴ ἐκομίζετο, ὁποίαν δίκην σί-
του ἢ τῆς προικὸς αὐτῆς ἐν εἴκοσιν ἔτεσι τῷ ἔχοντι τὸν κλῆ-
ρον δικάσασθαι ἠξίωσαν, ἢ εἴ του ἀνθρώπων ἐναντίον προσ- 39. 1
ῆλθεν ἐγκαλῶν τῷ κληρονόμῳ περὶ τῆς προικὸς τῆς ἀδελφῆς
20 ἐν χρόνῳ τοσούτῳ. περί τε οὖν τούτων ἡδέως ἂν πυθοίμην,
ὅ τι ποτ' [1]ἦν τὸ αἴτιον τοῦ μηδὲν τούτων γεγενῆσθαι περὶ
τῆς ἐγγυητῆς — ὡς μεμαρτύρηκεν οὗτος — γυναικὸς, καὶ
πρὸς τούτοις εἴ τις ἄλλος ἐγγυητὴν ἔσχε τὴν τούτου ἀδελ-
φὴν γυναῖκα, ἢ τῶν πρότερον χρησαμένων πρὶν γνῶναι τὸν 5
ἡμέτερον θεῖον αὐτὴν, ἢ ὅσοι ἐκείνου γιγνώσκοντος ἐπλησίαζον
αὐτῇ, ἢ ὅσοι ὕστερον ἐπλησίαζον τετελευτηκότος ἐκεί-
νου· δῆλον γὰρ ὅτι τὸν αὐτὸν τρόπον ὁ ἀδελφὸς αὐτὴν
ἅπασι τοῖς πλησιάζουσιν [2]ἐκδεδώκει. περὶ ὧν εἰ δεήσειε
καθ' ἕκαστον διελθεῖν, οὐκ ἂν πάνυ μικρὸν ἔργον γένοιτο.
ἐὰν μὲν οὖν ὑμεῖς κελεύητε, περὶ ἑνίων μνησθείην ἂν αὐτῶν·
εἰ δέ τισιν ὑμῶν ἀηδὲς ἀκούειν ἐστὶν, ὥσπερ ἐμοὶ λέγειν τι 10
περὶ τούτων, αὐτὰς τὰς μαρτυρίας ὑμῖν παρέξομαι τὰς
μαρτυρηθείσας ἐν τῇ προτέρᾳ δίκῃ, ὧν οὐδεμιᾷ ἐπισκήψα-
21 σθαι ἠξίωσαν οὗτοι. καίτοι ὅπου κοινὴν αὐτὴν ὡμολογήκασιν
εἶναι τοῦ βουλομένου τὴν γυναῖκα, πῶς ἂν εἰκότως ἡ αὐτὴ
γυνὴ ἐγγυητὴ δόξειεν εἶναι; ἀλλὰ μὴν ὁπότε μὴ ἐπεσκημ-
μένοι εἰσὶ ταῖς περὶ αὐτοῦ τούτου μαρτυρίαις, ὡμολογη- 15
κότες εἰσὶ ταῦτα. ἀκούσαντες δὲ καὶ ὑμεῖς αὐτῶν τῶν μαρ-
τυριῶν γνώσεσθε ὡς οὗτός τε περιφανῶς τὰ ψευδῆ μεμαρτύ-
ρηκε, καὶ ὀρθῶς καὶ κατὰ τοὺς νόμους οἱ δικάσαντες τὴν
δίκην ἔγνωσαν τὴν κληρονομίαν μὴ προσήκειν τῇ μὴ ὀρθῶς
γεγενημένῃ γυναικί. ἀναγίνωσκε· σὺ δ' ἐπίλαβε τὸ ὕδωρ.

[1] οὖν

[2] ἐνδεδώκει

Ἠξίωσαν] Num ἠξίωσεν. ut ad solum Nicodemum referatur. Pluralem si servabimus, aiemus una cum Nicodemo sororem ejus, hujusque sororis filiam, et filiæ maritum, Xenoclem, designari. Idem.

Ὅ, τι ποτ' οὖν] Subaudi ἐστὶ vel ἦν. Taylor οὖν cum ἦν mutandum censebat. Idem.

Περὶ] Bene si habet, accipi debet pro ὑπέρ. *in causa*, vel *ad emolumentum fœminæ*. Alias leg. sit παρὰ, vel ὑπέρ. Idem.

Ἐνδεδώκει] Imo vero ἐξεδεδώκει, aut ἐκδεδώκει. Idem.

Λέγειν τι περὶ τούτων] Videatur τι delendum, ut e proximo π natum, et ὥσπερ καὶ ἐμοὶ legendum. Idem.

Αὐτὰς] *sola, mera testimonia*, omissa præfatione et expositione historica. Sic Cicero in causa Verrina, temporis exclusus angustiis, satis habuit testes producere. Idem.

Οὗτοι] Nicodemus puta, soror ejus, filia spuria Pyrrhi, et hujus maritus, Xenocles. Idem.

Τοῦ βουλομένου] Subaudi αὐτῇ πλησιάζειν, vel αὐτῇ χρῆσθαι. Idem.

Ἡ αὐτὴ] Malim ἡ τοιαύτη. Idem.

Ἐπίλαβε] Sic correxi vitium vulgarium editionum ἐπίβαλε exhibentium. probante

[1] ΜΑΡΤΥΡΙΑΙ.

ὡς μὲν ἑταίρα ἦν τῷ βουλομένῳ καὶ οὐ γυνὴ τοῦ ἡμε- 22
τέρου θείου, ἣν οὗτος ἐγγυῆσαι ἐκείνῳ μεμαρτύρηκεν, ὑπὸ
τῶν ἄλλων οἰκείων καὶ ὑπὸ τῶν γειτόνων τῶν ἐκείνου με-
μαρτύρηται πρὸς ὑμᾶς· οἱ μάχας καὶ κώμους καὶ ἀσέλγειαν
πολλὴν, ὁπότε ἡ τούτου ἀδελφὴ εἴη παρ' αὐτῷ, μεμαρτυρή-
κασι γίνεσθαι περὶ αὐτῆς. καίτοι οὐ δήπου γε ἐπὶ γαμε-
τὰς γυναῖκας οὐδεὶς ἂν κωμάζειν τολμήσειεν· οὐδὲ αἱ γα-
μεταὶ γυναῖκες ἔρχονται μετὰ τῶν ἀνδρῶν ἐπὶ τὰ δεῖπνα,
οὐδὲ συνδειπνεῖν ἀξιοῦσι μετὰ τῶν ἀλλοτρίων, καὶ ταῦτα
μετὰ τῶν ἐπιτυχόντων. ἀλλὰ μὴν τῷ γε μεμαρτυρηκότι
οὐδ' ἐπισκήψασθαι οὗτοι ἠξίωσαν. καὶ ὡς ἀληθῆ λέγω,
ἀναγίνωσκε πάλιν αὐτοῖς τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

ἀνάγνωθι δὴ καὶ τὰς περὶ τῶν πλησιασάντων αὐτῇ 23
μαρτυρίας, ἵνα εἰδῶσιν ὅτι ἑταίρα τε ἦν τοῦ βουλομένου,
καὶ ὅτι οὐδ' ἐξ ἑνὸς ἄλλου φαίνεται τεκοῦσα. ἀναγίνωσκε
αὐτοῖς.

ΜΑΡΤΥΡΙΑΙ.

ὡς μὲν τοίνυν ἦν κοινὴ τῷ βουλομένῳ, ἣν οὗτος ἐγγυῆσαι
τῷ ἡμετέρῳ θείῳ μεμαρτύρηκε, μνημονεύειν χρὴ ὑφ' ὅσων

[1] ΜΑΡΤΥΡΙΑ.

Tayloro quoque factum, et ad Lysiam suum ablegante. Scaliger quoque pari modo vitium correxit. *inhibe, sustine aquam clepsydræ, ne fluere pergat.* Idem.

ΜΑΡΤΥΡΙΑ] Malim ΜΑΡΤΥΡΙΑΙ. Sunt enim testimonia complura. Idem.

Ὡς μὲν] Post ὡς μὲν addi velim οὖν. quæ particula tametsi apud Lysiam quoque sæpe numero similibus in locis desideratur, aio tamen eam, non oratorum ipsorum voluntate, sed librariorum culpa desiderari. Idem.

Τῷ γε μεμαρτυρηκότι οὐδ' ἐπισκήψασθαι] Malim: τῶν γε μεμαρτυρηκότων οὐδενὶ οὐδ' ἐπισκ. Idem.

Οὐδ' ἐπισκήψασθαι] Ne actionem quidem falsi dicti testimonii instituere, ne hac quidem exceptione uti, ne tentare quidem hoc subterfugium, nedum, ut testium quenquam falsitatis convincerent. Idem.

Τὴν μαρτυρίαν] Dubium est, utrum testimonium Nicodemi designetur, aientis, sororem suam Pyrrhi uxorem fuisse rite desponsam atque nuptam, et filiam ex ea natam Pyrrhi esse legitimam; an testimonium confirmantium sororem Nicodemi scortum publicum fuisse. Sed de hoc quidem confirmat insequens testimonium. Idem.

Τεκοῦσα] Vult dicere, neminem alium ex ea liberos legitime natos, ut ex uxore rite desponsa, suscepisse. Idem paulo post dicit his verbis: οὐδενὶ ἄλλῳ ἐγγυηθεῖσα, οὐδὲ συνοικήσασα φαίνεται. Meretrix nemini, neque συνοικεῖ, neque τίκτει. Etiamsi pariat, tamen nemini parit. Nam liberi e scorto nati pro nullis habentur; patre carent; de trivio arrepti sunt. οὐ τίκτει ἑταίρα, ἀλλὰ μόνη ἡ γαμετή. Idem.

ὑμῖν μεμαρτύρηται, καὶ ὅτι οὐδενὶ ἄλλῳ ἐγγυηθεῖσα οὐδὲ συνοικήσασα φαίνεται.

γ'. Σκεψώμεθα δὲ καὶ ἐξ ὧν ἄν τις ὑποπτεύσειεν ἐγγύην γενέσθαι τοιαύτης γυναικός, εἰ ἄρα καὶ τῷ ἡμετέρῳ θείῳ τοιοῦτόν τι συμβέβηκεν. ἤδη γάρ τινες νέοι ἄνθρωποι, ἐπιθυμήσαντες τοιούτων γυναικῶν καὶ ἀκρατῶς ἔχοντες αὐτῶν, ἐπείσθησαν ὑπ' ἀνοίας εἰς αὐτοὺς τοιοῦτόν τι ἐξαμαρτεῖν. πόθεν οὖν ἄν τις σαφέστερον γνοίη περὶ τούτων, ἢ ἔκ τε τῶν μαρτυριῶν τῶν τούτοις μεμαρτυρημένων ἐν τῇ προτέρᾳ δίκῃ καὶ ἐκ τῶν εἰκότων τῶν περὶ αὐτὸ τὸ πρᾶγμα σκεψά-
24 μενος; ἐνθυμεῖσθε δὲ τὴν ἀναίδειαν ὧν λέγουσιν. ὁ μὲν γὰρ ἐγγυᾶν μέλλων εἰς τὸν τριτάλαντον οἶκον, ὥς φησι, τὴν ἀδελφήν, διαπραττόμενος τηνικαῦτα ἕνα μάρτυρα παρεῖναι αὐτῷ Πυρετίδην προσεποιήσατο. καὶ τούτου ἐκμαρτυρίαν ἐπ' ἐκείνῃ τῇ δίκῃ [1]παρέσχοντο οὗτοι· ἣν Πυρετίδης οὐκ
25 ἀναδέδεκται αὐτοῖς, οὐδ' ὁμολογεῖ μαρτυρῆσαι οὐδὲ εἰδέναι τούτων ἀληθὲς ὂν οὐδέν. μέγα δὲ τεκμήριον ὡς περιφανῶς ψευδῆ τὴν μαρτυρίαν οὗτοι [1]παρέσχοντο ταύτην· ἴστε γὰρ πάντες ὡς, ὅταν μὲν ἐπὶ προδήλους πράξεις ἴωμεν, ἃς δεῖ μετὰ μαρτύρων γενέσθαι, τοὺς οἰκειοτάτους καὶ οἷς ἂν τυγχάνωμεν χρώμενοι μάλιστα, τούτους παραλαμβάνειν εἰώθαμεν ἐπὶ τὰς πράξεις τὰς τοιαύτας, τῶν δὲ ἀδήλων

[1] παρέσχον

Τούτοις] In horum gratiam, favorem et commodum, Nicodemi puta et consortium. ὑπὲρ τούτων. IDEM.

Τηνικαῦτα] Adscripserat Taylor τηλικαῦτα. Sed falsus fuit. Bene habet vulgata. Cohæret τηνικαῦτα non cum proximo διαπραττόμενος, sed cum remotiore παρεῖναι. magna vis inest huic particulæ. affuisse in tali tempore, quod tempus esset tanti momenti. Admodum improbabile est, actui, unde pendet legitimitas et jus hereditatum prolis universæ post nascendæ, non adhiberi nisi unum testem; cui actui, qui sapiunt, quam plurimos testes corrogant, et quo plures adhibent, hoc melius. Et ille ipse testis non fecerat ultro, ut adesset, sed malis artibus mercede et impostura Nicodemi perductus. id quod v. διαπραττόμενος subjicit. Denique testis ille commentitius non coram, non ore suo, testatus fuerat, sed absens, scripto, imo ne scripserat quidem, sed Nicodemus subjecerat. IDEM.

Οὐκ ἀναδέδεκται αὐτοῖς] Id est, ἀπ' αὐτῶν, vel παρ' αὐτῶν. *recusat ab ipsis sibi imponi dedecus scripti hujus testimonii falsi. negat a se scriptum esse, quod illi velut ab ipso scriptum protulissent et in judicio exhibuissent.* ἀναδέχομαί σοι τοῦτο idem est, atque δέχομαι παρά σου, ὃ σύ μοι δίδας. *suscipio id quod tu mihi porrigis. patior humeris meis imponi sarcinam quam tu mihi injunctum is.* Alias facile sit αὐτὸς corrigere. *ne ipse quidem Pyretides hoc testimonium suscipit*, h. e. pro suo agnoscit. Sed bene habet vulgata. IDEM. Proprium verbum est τὸ ἀναδέχεσθαι, quo utebantur, quando is, qui testimonii auctor dicebatur, testimonium agnoscebat, et eo pacto falsi periculum in se recipiebat. HERALDUS.

Μαρτυρίαν] Π. μαρτυριῶν. Ἢ μαρτύρων. H. STEPHAN. Schedæ Brulart. μαρτύραν dabant. quod utique est rectius. REISK.

καὶ ἐξαίφνης γινομένων τοὺς προστυχόντας ἕκαστοι μάρτυρας ποιούμεθα. καὶ ἐπὶ μὲν ταῖς μαρτυρίαις αὐταῖς τοῖς παραγενομένοις αὐτοῖς, ὁποῖοί τινες ἂν ὦσι, τούτοις μάρτυσι 26
χρῆσθαι ἀναγκαῖον ἐστιν ἡμῖν· παρὰ δὲ τῶν ἀσθενούντων ἢ τῶν ἀποδημεῖν μελλόντων ὅταν τις ἐκμαρτυρίαν ποιῆται, τοὺς ἐπιεικεστάτους τῶν πολιτῶν καὶ τοὺς ἡμῖν γνωριμωτάτους ἕκαστος ἡμῶν παρακαλεῖ μάλιστα, καὶ οὐδὲ μεθ' ἑνὸς οὐδὲ μετὰ δυοῖν, ἀλλ' ὡς ἂν μετὰ πλείστων δυνώμεθα τὰς ἐκμαρτυρίας πάντες ποιούμεθα, ἵνα τῷ τε [1]ἐκμαρτυρήσαντι μὴ ἐξείη ὕστερον ἐξάρνῳ γενέσθαι τὴν μαρτυρίαν, ὑμεῖς τε πολλοῖς καὶ καλοῖς κἀγαθοῖς ταὐτὰ μαρτυροῦσι 27
πιστεύοιτε μᾶλλον. Ξενοκλῆς τοίνυν [2]Βήσαζε μὲν ἰὼν εἰς τὸ ἐργαστήριον τὸ ἡμέτερον εἰς τὰ ἔργα, οὐχ ἡγήσατο 28

[1] μαρτυρήσαντι

[2] Θήβαζε

Μαρτυρίαις αὐταῖς, τοῖς παραγενομένοις αὐτοῖς, ὁποῖοι] Sic exaratum et interstinctum circumferunt hunc locum libri vulgares. Mihi vero sedes pronominum permutandæ videntur, ut locus sic procedat: μαρτυρίαις, αὐτοῖς τοῖς παραγενομένοις αὐταῖς, scil. ταῖς ἀδήλοις πράξεσι. *factis quæ nemo eventura prævidere potuit.* καὶ ταῖς ἐξαίφνης γεγενημέναις. *et subitis.* Pro αὐταῖς dant Schedæ Brulart. ταύταις, sed male. IDEM.

Ἡμῖν] Malim ὑμῖν. *vobis, judices, notissimis atque probatissimis.* vulgata tamen quoque sententiam dat haud alienam, neque contemnendam. *qui nobis maxime sint familiares.* IDEM.

Ἐκμαρτυρίαν ποιῆται] Locus a multis citatus, sed a paucis quod sciam intellectus; sane nec a S. Petito nec ab ejus umbra Salmasio. Ibi igitur ait Isæus testes a nobis adhiberi, homines notissimos et fidei atque amicitiæ expertæ, si liberum id nobis est; si quid autem subito nec ante provisum contingit, eos adhibere nos quos possumus, quique se nobis exhibent. At, inquit, si testimonium sit ab iis petendum, qui valetudine sint infirma aut peregre profecturi, probissimos quosque et nobis probatissimos adhibere solemus, ne is, cujus testimonium allegatur, possit ea quæ dixit abnegare. Οἱ ἀσθενοῦντες et οἱ ἀποδημεῖν μέλλοντες sunt, quos lex appellat ἀδυνάτους et ὑπερορίους. His duobus casibus licebat ἀκὴν μαρτυρεῖν, nempe μαρτυρεῖν ἀκὴν τοῦ τεθνεῶτος, ἐκμαρτυρεῖν ἀκὴν τοῦ ἀδυνάτου καὶ ὑπερορίου. *In Anim. ad Jus A. et R.* l. vi. c. 11. §. 7. HERALDUS.

Μαρτυρήσαντι et μαρτυρίαν] Hic usurpavit Isæus pro ἐκμαρτυρήσαντι et ἐκμαρτυρίαν. Non decet nos in usu horum vocabulorum nimis severos et acerbos esse. REISK.

Ταὐτὰ] Sic dedi de meo, pro vulgari ταῦτα, quam pari modo correctam in schedis Brul. postmodum reperi. *fidem judices testimonio habent hoc promptiorem, quo plures testes idem,* ταὐτὰ, *confirmant uno velut ore.* IDEM.

Εἰς τὸ ἐργαστήριον τὸ ἡμέτερον, εἰς τὰ ἔργα] Occurrunt h. l. dubia quædam non facile expedienda. 1. utrum ista vocabula εἰς τὸ ἐργαστήριον τὸ ἡμέτερον idem dicant, atque εἰς τὰ ἔργα. quod si est, amputandum erit alterutrum, et forte prius, ut scholium posterioris. 2. quid significet ἐργαστήριον. num prædium rusticum, an tabernam metallicam. 3. si diversa sunt τὸ ἐργαστήριον et τὰ ἔργα, qui differant. 4. denique, quid negotii, aut peculii Atheniensibus in agro Thebano fuerit. ἐργαστήριον et ἔργα si differunt, erit illud locus, ubi seu ager colitur, seu metalla fodiuntur, et hoc, ἔργα puta, erunt sive operæ, homines operantes, sive opera eorum manibus elaborata. Sententia dictionis εἰς τὰ ἔργα tum erit, ad spectandum operas, et quid elaborarint. Atqui neque ἐργαστήριον pro prædio rustico usurpatur, sed possit potius pro taberna metallica usurpatum esse, ubi metalla humo egesta excoquantur, cudantur. *Schmelzhütte, Hammerwerk* [*a smeltinghouse, forge*]. neque erat ager Thebanus metallorum ferax, neque Thebani Atheniensibus amici sed infestissimi erant, ut haud videantur passuri fuisse Athenienses peculii quicquam in Thebano agro possidere, sive villa esset sive officina

δεῖν τοῖς ἀπὸ [1]τοῦ αὐτομάτου ἐκεῖ [2]ἐντυχοῦσι μάρτυσι χρῆσθαι περὶ τῆς ἐξαγωγῆς, ἀλλ᾽ ἧκεν ἔχων ἔνθεν Διόφαντον τὸν Σφήττιον μεθ᾽ ἑαυτοῦ, ὃς ἔλεγε τὴν δίκην ὑπὲρ
29 τούτου, καὶ Δωρόθεον τὸν Ἐλευσίνιον καὶ τὸν ἀδελφὸν αὐτοῦ Φιλοχάρη καὶ ἄλλους πολλοὺς μάρτυρας, παρακεκληκὼς ἐνθένδε σταδίους εὐθὺς τριακοσίους ἐκεῖσε· περὶ δὲ τῆς ἐγγύης τῆς τήθης τῶν παίδων τῶν ἑαυτοῦ ἐν τῷ ἄστει ἐκμαρτυρίαν — ὥς φησι — ποιούμενος, τῶν μὲν οἰκείων

[1] ταὐτομάτου [2] τυχοῦσι

metallica. Ego equidem hoc e loco me non expedio. Cæterum colligit a minori ad majus, ad hunc modum: Ad rem minutam testandam, qui testes quam plurimos anxie conquisivit in eaque sollicitudinem atque diligentiam quam maximam demonstravit, eum credibile non est secordem et segnem in re gerenda summi momenti fuisse. Sed idem Xenocles, qui ita navum et circumspectum in operum et operarum inspectione se gessit, in quærendo testimonio, e cujus auctoritate status civilis et fortunæ omnes liberorum suorum aptæ essent, tumultuarie et perfunctorie est versatus. Unde suspicio, non illa probabilis modo, sed vel certissima quoque exsistit, illud testimonium commentitium esse. Idem.

Περὶ τῆς ἐξαγωγῆς] Εἰσαγωγῆς adscripsit Scaliger, quo hilum non proficimus. Nihilo dilucidius subjecit, quam quod in vulgata est, et vereor, ne deterius quoque subjecerit. ἐξαγωγὴν in foro novi usurpatum, minus εἰσαγωγήν. Videtur hæc causa fuisse. Mancipia Xenocles in illud prædium seu in illam officinam immiserat, ut qui contenderet Pyrrhi heres nomine uxoris suæ esse. Actor, qui negaret Xenoclem heredem Pyrrhi, sed se contenderet esse, mancipia Xenoclis inde vi manuque deduxerat. Hæc est ἐξαγωγή. Hujus volentiæ contra se usurpatæ testes adduxerat Xenocles. Aut si mavis ἐξαγωγὴν accipere de exportatione seu annonarum seu metallorum, adduxerat Xenocles secum Athenis Thebas testes, testaturos ab actore exportatas fuisse seu annonas e prædio seu metalla ex officina, quæ non ipsius, actoris, sed sua, Xenoclis, esset. Idem.

Ἧκεν] Thebas puta. Idem.

Ἔνθεν] *hinc*, Athenis nempe. Idem.

Ἔλεγε] Taylor ἔλαχε suadebat. Ego vero vulgatam tuebor. Diophantus Nicodemi advocatos fuerat, ejusque causam oratione defenderat. Idem.

Τὴν δίκην] Sed quamnam? illamne περὶ τῆς ἐξαγωγῆς, de mancipiorum Xenoclis ex agro, qui Pyrrhi quondam fuisset, deductione, an hanc περὶ τοῦ κλήρου, qua contendebat Xenocles uxorem suam Pyrrhi filiam legitimam eoque heredem bonorum ejus esse. Si prius est, tum illa de servorum dejectione actio accessio quædam fuit causæ primariæ de hereditate Pyrrhi. Idem.

Εὐθὺς] Bene si habet, quod aio, significat *planissime*, vel, ut vulgo usurpant *plene, rotunde, exacte, præcise. volle* 300 *stadia* [*full* 300 *stadia*]. Idem.

Ἐγγύης] Id est, ἐγγυήσεως. circa desponsionem ejus fœminæ, vel circa ritum illum, quo legitimi matrimonii ergo desponsa fuit futuro marito illa mulier, quæ liberorum suorum avia est, seu uxoris suæ mater. Idem.

Ἐν τῷ ἄστει] Absurditatis demonstrandæ ergo hoc addit. Præsentes in urbe adducimus ipsos ad judices, ut coram ipsis ore suo testentur. ἐκμαρτυρίας autem exhibemus pæne solummodo ab urbe absentium, rarius eorum, qui, cum sint in urbe, tamen aut ægri decumbant, ut surgere nequeant, aut in procinctu sint itineris longinqui, dilationem haud ferentis. Atqui Pyretides, cujus exhibitum fuerat testimonium, sed illud subjectum, neque ab urbe abfuerat neque ægrotaverat neque se ad profectionem comparaverat. Cur igitur ejus extestimonium proferebant? Rursus, extestimonium si esset exhibendum, necesse erat, ut ejus consignationi testes interessent, et quam plurimi, et viri spectatæ fidei et imprimis familiares atque necessarii, qui judicibus auctores essent, cum extestimonium conscriberetur in gratiam exhibentis, se interfuisse; et illum, cujus nomine illud extestimonium perhiberetur, illa revera scripsisse aut scribenda jussisse, quæ in illo extestimonio scripta essent; ne qua fraus interveniret in ejusmodi causis, in quibus absque illa præcautione facillimum cuique fuisset quicquid vellet comminisci et subjicere. sed horum nihil fecerat Xenocles. Idem.

οὐδένα τῶν ἑαυτοῦ παρακεκληκὼς φαίνεται, Διονύσιον δὲ
Ἐρχιέα καὶ Ἀριστόλοχον τὸν Αἰθαλίδην. μετὰ δυοῖν τού-
τοιν ἐν τῷ ἄστει [1] αὐτοῦ τὴν ἐκμαρτυρίαν ποιήσασθαι φασὶν
οὗτοι. τοιαῦτα μὲν τὰ τούτων· οἷς οὐδ' ἂν περὶ ὁτουοῦν
20 πιστεύσειεν ἄλλου οὐδείς. ἴσως γὰρ ἦν νὴ Δία πάρεργον
καὶ φαῦλον, περὶ οὗ τὴν ἐκμαρτυρίαν παρὰ τοῦ Πυρετίδου
φασὶ ποιήσασθαι οὗτοι, ὥςτε οὐδὲν θαυμαστὸν ὀλιγωρηθῆναι
ἦν τὸ πρᾶγμα, καὶ πῶς; ᾧ γε περὶ αὐτοῦ τούτου ὁ ἀγὼν 31
ἦν ὁ τῶν ψευδομαρτυριῶν, ὃν Ξενοκλῆς ἔφευγεν, ἢ ἐξ ἑταίρας
ἢ ἐξ ἐγγυητῆς τὴν ἑαυτοῦ γυναῖκα εἶναι. εἶτα ἐπὶ ταύτην
ἂν τὴν μαρτυρίαν, εἰ ἦν ἀληθής, οὐκ ἂν ἅπαντας τοὺς οἰ-
25 κείους τοὺς ἑαυτοῦ παρακαλεῖν ἐκεῖνος ἠξίωσε; ναὶ μὰ Δία,
ὡς ἔγωγε ὤμην, εἴ γε ἦν ἀληθὲς τὸ πρᾶγμα. οὐ τοίνυν φαί-
νεται, ἀλλ' ὁ μὲν Ξενοκλῆς πρὸς τοὺς ἐπιτυχόντας δύο ἐκ-
μαρτυρησάμενος τὴν μαρτυρίαν [2] ταύτην, Νικόδημος δὲ
οὗτος ἕνα μόνον μάρτυρα παρακαλέσας μεθ' ἑαυτοῦ τῷ τὸν
τριτάλαντον οἶκον κεκτημένῳ ἐγγυῆσαι φησὶ τὴν ἀδελφήν.
καὶ οὗτος μὲν τὸν Πυρετίδην μόνον, οὐχ ὁμολογοῦντα,
30 προσεποιήσατο μετ' αὐτοῦ παραγενέσθαι· ὑπὸ δὲ τοῦ ἐγ- 32
γυήσασθαι μέλλοντος τὴν τοιαύτην Λυσιμένης καὶ οἱ ἀδελ-
φοὶ αὐτοῦ, Χαίρων καὶ Πυλάδης, φασὶ παρακληθέντες [3] τῇ
ἐγγύῃ παραγενέσθαι, καὶ ταῦτα θεῖοι ὄντες τῷ ἐγγυωμένῳ.
ὑμέτερον οὖν ἔργον σκέψασθαι νῦν, εἰ δοκεῖ πιστὸν εἶναι τὸ

[1] αὐτὸν [2] ταύτην ἦν [3] τῇ om.

Μετὰ δυοῖν τούτοιν] Post δυοῖν addi velim γὰρ. Idem.

Αὐτὸν] Sic dedi pro vulgari αὐτοῦ. In schedis Brul. sic annotatum ad h. l. reperi: ἴσ. αὐτῷ. imo αὐτόν. unde veniatur in suspicionem, non unius, sed duorum pluriumve esse conjecturas, in schedis illis relatas, quas Brulartianas usurpare soleo. Idem.

Ὀλιγωρηθῆναι ἦν] Schedæ Brul. delent ἦν. Ego nil causæ video, cur id fiat. Solummodo transpositum est. Si quid mutandum sit, quod nego esse, commodius utique sit ita legi: θαυμαστὸν ἦν, ὀλιγωρηθῆναι τὸ πρᾶγμα. Idem.

Καὶ πῶς ὥστε περὶ] Π. καὶ πῶς; ὅτε περί. H. Stephan.

Φαίνεται] Scil. τοὺς οἰκείους παρακεκληκὼς, aut τοῦτο πεποιηκώς. Reisk.

Ἐκμαρτυρησάμενος τ. μ.] Sententia est: non multos, non necessarios, non familiares, non claros viros, sed ignotos et obscuros et fortuito sibi oblatos, eosque non multos, sed duos solummodo, secum adduxit, ut ait, ad Pyretidem, cum ad illum adiret, testimonium literis consignatum ab eo exacturus. Idem.

Ἦν] Videtur amputandum, ut perperam e fine vocabuli proximi ταύτην iteratum. Pendet ille nominativus ἐκμαρτυρησάμενος e. v. φαίνεται. Idem.

Μόνον οὐχ ὁμολογοῦντα] Ne duo ista vocabula μόνον et οὐχ ab incauto lectore in unum longe notissimum μονονοὐχ tantum non contraherentur, eoque loci sententia perturbaretur, ideo commate interponendo ea dispescui. solum, et non confitentem. Non solum ait Nicodemus Pyretidem unum solum, non plures, a se ad hunc actum invitatum esse eique interfuisse, sed etiam Pyretides negat unquam id factum esse. Idem.

πρᾶγμα. ἐγὼ μὲν γὰρ νομίζω, ἐκ τῶν εἰκότων σκοπούμενος,
πολὺ ἂν μᾶλλον τὸν Πύῤῥον πάντας ἂν τοὺς οἰκείους βούλε-
σθαι λεληθέναι, εἴ τι παρεσκευάζετο ὁμολογεῖν ἢ πράττειν 35
ἀνάξιον τῶν αὐτοῦ, ἢ παρακαλέσαι μάρτυρας τοὺς θείους
τοὺς ἑαυτοῦ ἐπὶ ἁμάρτημα τηλικοῦτον.

δ'. Ἔτι δὲ καὶ περὶ ἐκείνου θαυμάζω, εἰ μηδεμίαν προῖ-
κα μήθ' ὁ διδοὺς μήθ' ὁ λαμβάνων διωμολογήσαντο ἔχειν
ἐπὶ τῇ γυναικί. τοῦτο μὲν γὰρ εἴ τινα ἐδίδου, εἰκὸς ἦν καὶ
τὴν δοθεῖσαν ὑπὸ τῶν παραγενέσθαι φασκόντων μαρτυρεῖ-
σθαι· τοῦτο δ' εἰ δι' ἐπιθυμίαν τὴν ἐγγύην ὁ θεῖος ἡμῶν
ἐποιεῖτο τῆς τοιαύτης γυναικὸς, δῆλον ὅτι κἂν ἀργύριον 40
33 πολλῷ μᾶλλον ὁ ἐγγυῶν διωμολογήσατο ἔχειν αὐτὸν ἐπὶ τῇ
γυναικὶ, ἵνα μὴ ἐπ' ἐκείνῳ γένοιτο ῥᾳδίως ἀπαλλάττεσθαι,
ὁπότε βούλοιτο, τῆς γυναικός· καὶ μάρτυράς γε πολλῷ
πλείους τὸν ἐγγυῶντα παρακαλεῖν ἢ τὸν ἐγγυώμενον τὴν
τοιαύτην. οὐδεὶς γὰρ ὑμῶν ἀγνοεῖ, ὅτι [1] ὀλίγα διαμένειν εἴω-
34 θε τοιούτων. ὁ μὲν τοίνυν ἐγγυῆσαι φάσκων μετὰ ἑνὸς
μάρτυρος καὶ ἄνευ ὁμολογίας προικὸς εἰς τὸν τριτάλαντον 41. 1
οἶκον ἐγγυῆσαι φησὶ τὴν ἀδελφήν· οἱ δὲ θεῖοι τῷ ἀδελφιδῷ

[1] ὁ λόγος οὐ διαμένειν

Ἐγγύην] Post ἐγγύην videtur ἄπροικον deesse. Idem.

Δηλονότι - - - μᾶλλον ἢ ὁ] Π. δῆλον ὅτι - - - μᾶλλον ὁ. H. Stephan. Et schedæ Brulart. Aut alias ἢ cum τι erit mutandum. In πολλῷ μᾶλλον subauditur, quam si dotem ingentem accepisset Pyrrhus, aut Nicodemus dedisset. Aut si ἢ servamus, leg. erit: μᾶλλον ὁ ἐγγυῶν, ἢ ὁ ἐγγυώμενος, διωμολογήσατο. *multo magis despondens mulierem, quam is, cui ea desponderetur, operam dedisset, ut adipisceretur confessionem sponsi de data et accepta dote.* Reisk.

Αὐτὸν] Pyrrhum puto. Qui dotem accepit ea conditione, ut eam mulierem, cujus illa dos est, pro uxore legitima et matrefamilias habeat, convenienter tractet, omnibusque juribus matrisfamilias uti frui patiatur, is ἔχειν προῖκα ἐπὶ γυναικὶ dicitur. Idem.

Πλείους ἢ τὸν] Rursus delent ἢ schedæ Brulart. me et hoc probante. Idem.

Παρακαλεῖν] Π. παρακαλεῖν ἔδει. Ἢ παρεκάλεσεν. H. Stephan. Ego neutro arbitror opus esse, cum δῆλον a communi possit tacite repeti. Foret tamen utique planior locus, si sic legeretur: πολλῷ πλείους εἰκὸς ἦν τὸν ἐγγυῶντα παρακαλεῖν. Reisk.

Ὁ λόγος] Schedæ Brul. subjiciunt ὁ γάμος. Ego malim ὁ τρόπος. mores talium, sive amantium qui meretrices matrimonio duxerint, sive mulierum quæ ex quæstu meretricio factæ fuerint honestæ matronæ. Neutrius partis mores manent iidem post contractum conjugium, atque fuerunt ante nuptias. Et maritorum refrigescit amor, resipiscunt, redeunt ad se velut e crapula, mentem sanam recuperant, et intelligere incipiunt, quantam ipsi sibi maculam imposuerint, quam securim cruri suo impegerint; et rursus ejusmodi mulieres desinunt viris blandiri, imperiosæ, contumaces fiunt et protervæ, ut securæ jurium suorum. Ejusmodi impudicæ mulieres quos adolescentes exquisitis lenociniis irretiissent, eos, nodo conjugali constrictos ubi tenent, indignis modis accipiunt, odio, importunitate, contemptu, imposturis, injuriis omnis generis excruciant. Aut alias λόγος, si bene habet, accipi debet h. l. pro διάνοια, λογισμὸς, et τρόπος. mens antiqua ipsis non manet. vel λόγος est *valor, pretium, dignitas, existimatio.* Idem.

ἄπροικον τὴν τοιαύτην ἐγγυωμένῳ μεμαρτυρήκασι παραγενέσθαι.

ε΄. Καὶ οἱ αὐτοὶ θεῖοι οὗτοι ἐν τῇ δεκάτῃ τῆς θυγατρὸς ἀπωφανθείσης εἶναι ὑπὸ τοῦ ἀδελφιδοῦ κληθέντες μεμαρτυ-
5 ρήκασι παραγενέσθαι. ἐφ᾽ ᾧ δὴ καὶ δεινῶς ἀγανακτῶ, ὅτι ὁ μὲν ἀνὴρ λαγχάνων ὑπὲρ τῆς γυναικὸς τῆς αὐτοῦ τοῦ 35
κλήρου τοῦ πατρῴου Φίλην ὄνομα εἶναι ἐγράψατο τῇ γυναικί, οἱ δὲ τοῦ Πύῤῥου θεῖοι ἐν τῇ δεκάτῃ φάσκοντες παραγενέσθαι τὸ τῆς τήθης ὄνομα Κλειταρέτην τὸν πατέρα ἐμαρτύρησαν θέσθαι αὐτῇ. θαυμάζω οὖν εἰ ὁ ἀνὴρ ὁ συνοικῶν πλείω ἢ ὀκτὼ ἔτη ἤδη μὴ ᾔδει τοὔνομα τῆς ἑαυτοῦ γυναι-
10 κός. εἶτα οὐδὲ παρὰ τῶν [1] αὐτοῦ μαρτύρων πρότερον ἐδυνήθη πυθέσθαι, οὐδ᾽ ἡ μήτηρ τῆς γυναικὸς τὸ τῆς θυγατρὸς ὄνομα τῆς αὐτῆς ἐν χρόνῳ τοσούτῳ ἔφρασεν αὐτῷ, οὐδ᾽ ὁ θεῖος αὐτὸς Νικόδημος, ἀλλ᾽ ἀντὶ τοῦ τῆς τήθης ὀνόματος — εἴ τις ᾔδει τοῦθ᾽ ὑπὸ τοῦ πατρὸς [2] κείμενον ταύτῃ — Φίλην ὁ ἀνὴρ ὄνομα ἐπεγράψατο εἶναι αὐτῇ, καὶ ταῦτα λαγχάνων αὐτῇ τοῦ κλήρου τοῦ πατρῴου. τίνος ἕνεκα; ἢ ἵνα καὶ τοῦ τῆς τήθης ὀνόματος τοῦ ὑπὸ τοῦ πατρὸς τε- 36
15 θέντος ἄκληρον ὁ ἀνὴρ καταστήσειεν εἶναι τὴν αὐτοῦ γυναῖκα; ἆρά γε οὐχὶ δῆλον, ὦ ἄνδρες, ὅτι ἃ πάλαι οὗτοι μαρτυροῦσι γενέσθαι, πολλῷ πλέον τῆς λήξεως τοῦ κλήρου σύγκειται αὐτοῖς; οὐ γὰρ ἄν ποτε οἱ μὲν εἰς τὴν δεκάτην — ὥς φασι — κληθέντες τῆς τοῦ Πύῤῥου θυγατρὸς, ἀδελ-

[1] αὐτῶν

[2] κείμενον) ταύτην

Εἶναι] In codice Tophanis expunctum fuisse testatur Taylor in schedis. Sed bene habet, servarique debet. τῆς θυγατρὸς ἀποφανθείσης εἶναι. idem est, atque si planius et incomptius dixisset: τῆς κόρης, περὶ ἧς ἀπεφαίνετο, ὅτι Πύῤῥου θυγάτης ἐστί. Idem.

Δὴ] Malim δὲ. Idem.

Ἀνὴς] Maritus mulieris, hereditate, velut paterna, mecum contendentis. Idem.

Τοῦ πατρῴου] Hereditatis, quam uxor sua a patre suo prætenso, Pyrrho, contenderet ad se devolutam. Idem.

Τήθης] Aviæ paternæ, matris puta Pyrrhi. Idem.

Αὐτῶν] Malim αὐτοῦ. *suis testibus.* Idem.

Αὐτὸς] Malim αὐτῆς. avunculus ejus, mulieris puta, quæ se Pyrrhi filiam ferret. Idem.

Κείμενον] Id est, ἐπιτεθειμένον, *impositum.* Pro proximo ταύτην malim αὐτῇ legi, et sic distingui κείμενον αὐτῇ) Φίλην ὁ ἀνὴς. Nam alias constructio erit admodum impedita. Idem.

Ἐπεγράψατο] Paulo ante usurpaverat simplex ἐγράψατο, quod etiam melius videtur convenire, aut etiam ἀπεγρ. Idem.

Αὐτῇ] Id est, ὑπὲρ αὐτῆς, ut modo dixerat pro uxore, loco et nomine et ad commodum ejus. Idem.

Πολλῷ πλέον] Secundum vocabulum, πλέον puta, huc nil pertinet, sed ad p. 66. ult. deducendum est, ut ibi demonstrabo, eique sufficiendum ὕστερον. ut sit πολλῷ [scil. χρόνῳ] ὕστερον τῆς λήξεως. *multo tempore post susceptam demum hujus causæ actionem ab his excogitata et inter se comparata esse.* Idem.

φιδῆς δὲ τούτου, ἐξ ἐκείνης τῆς ἡμέρας, ἥτις ἦν ποτὲ, ἀκρι-
βῶς εἰς τὸ δικαστήριον ἥκον μεμνημένοι ὅτι Κλειταρέτην ὁ
πατὴρ ἐν τῇ δεκάτῃ ὠνόμηνεν· οἱ δ' οἰκειότατοι τῶν ἁπάν- 20
των, ὁ πατὴρ καὶ ὁ θεῖος καὶ ἡ μήτηρ οὐκ ἂν ᾔδει τὸ
ὄνομα τῆς θυγατρὸς — ὥς φησι — τῆς αὐτοῦ. πολύ γε
μάλιστ' ἂν, εἰ ἦν ἀληθὲς τὸ πρᾶγμα. ἀλλὰ περὶ μὲν τού-
37 των καὶ ὕστερον ἐγχωρήσει εἰπεῖν.

ϛ'. Περὶ δὲ τῆς τούτου μαρτυρίας οὐ χαλεπὸν καὶ ἐξ
αὐτῶν τῶν νόμων ἐστὶ γνῶναι ὅτι φαίνεται περιφανῶς τὰ
ψευδῆ μεμαρτυρηκὼς οὗτος. ὅπου γὰρ, ἐάν τίς τι ἀτίμη-
38 τον δῷ ἕνεκα τοῦ γάμου, ἐὰν ἀπολίπῃ ἡ γυνὴ τὸν ἄνδρα ἢ 25
ἐὰν ὁ ἀνὴρ ἐκπέμψῃ τὴν γυναῖκα, οὐκ ἔξεστι πράξασθαι
τῷ δόντι ὃ μὴ [1] ἐν προικὶ τιμήσας ἔδωκεν, ἤτου, ὅστις γέ
φησιν ἄνευ ὁμολογίας προικὸς τὴν ἀδελφὴν ἐγγυῆσαι, περι-
φανῶς ἀναίσχυντος ὢν ἐλέγχεται. τί γὰρ ἔμελλεν [2] ὄφελος

[1] ἐν om. [2] ὄφελος om.

Οὐκ ἂν ᾔδει — τῆς αὐτοῦ] Verba hæc, si sic, ut prostant, servabimus atque tuebimur, redibunt ad solum patrem. Malim tamen ᾔδεσαν — τῆς αὐτῶν. ut una ad matrem quoque referatur, quo oratio cum planior tum etiam fortior atque gravior fiet. Idem.

Πολύ γε μάλιστ' ἂν] Subaudi ᾔδεσαν οὗτοι τοὔνομα τῆς ἑαυτῶν θυγατρός. Idem.

Μαρτυρίας] Testimonium illud significatur, quo Nicodemus affirmaverat, sororem suam Pyrrho fuisse rite desponsam, ab eoque in loco legitimæ matrisfamilias habitam. Idem.

Ἀτίμητον δῷ] Si quis alicui, mulierem quandam domum suam matrimonii ergo ducenti, donum aliquod det gratuitum [hoc enim est τὸ ἀτίμητον], non in dotis loco habendum, et cui æquivalentem aliquam portionem bonorum mariti in tabulis desponsalibus haud curet mulieri oppigneratam quasi scribi [hoc enim est τιμᾶσθαι], ejusmodi donum dicitur *non æstimatum*, aut *non compensatum*. Colligit sic: Si quis hoc modo datum quid per leges repetere non potest (et non posse constat), multo minus dotem repetere poterit eam, quæ in tabulis contractus matrimonialis expressis verbis stipulata non fuerit, ut a despondente data, et a desponso accepta. Quod si ergo revera Pyrrho desponsa fuisset Nicodemi soror, constat, operam daturum fuisse Nicodemum, etiamsi dotem sorori nullam addidisset, ut tamen in tabulis sponsalibus mentio dotis tanquam datæ fieret. Atqui negat Nicodemus, neque dotem datam, neque tabulas ejusmodi scriptas esse, in quibus mulieri de reddenda dote caveretur. Ergo probabile, quid? quod plus quam probabile, et prorsus necessarium est, Pyrrho nunquam desponsam fuisse Nicodemi sororem, neque in manus ei convenisse. Fieri enim nequit, ut Nicodemus in re tam gravi, unde aut detrimenta aut commoda ingentia ad se redirent, tanta secordia uteretur. Idem. Cf. Petit. in Legg. Att. l. vi. tit. ii. §. 7.

Ἀναίσχυντος] Est enim impudentiæ, rebus ipsis et factis prodere, tametsi verbis dissimules, te credere, judicibus tantam inesse tarditatem atque cœcitatem mentis, ut aienti solummodo, neque comprobanti, facile credant ea, quæ nullus alius sanæ mentis homo credat. Reisk.

Ἔμελλεν] Π. ἔμελεν. H. Stephan. Quod vitium loci magis indicat, quam sanat. Recte utique habet ἔμελλεν, verum addendum ei est πλέον, quod e p. 65. antep. tollendum, et huc deducendum esse, jam ibi admonui. *quid enim profuisset ipsi sponsionem nuptialem curare faciendam?* si commisisset, ut in ejus, cui despondisset sororem, potestate atque arbitrio esset, uxorem quandocunque vellet domo rursus expellere; quod fuisset futurum, si nil curasset de dote sibi caveri. Erit itaque locus hic ita leg. τί γὰρ ἔμελλεν αὐτῷ πλέον εἶναι. Reisk.

εἶναι αὐτῷ τῆς ἐγγύης, εἰ ἐπὶ τῷ ἐγγυησαμένῳ ἐκπέμψαι 39
ὁπότε βούλοιτο τὴν γυναῖκα [1]ἣν; ἣν δ' ἂν ἐπ' ἐκείνῳ, ὦ
ἄνδρες, δῆλον ὅτι, εἰ μηδεμίαν προῖκα διωμολογήσατο ἔξειν
30 ἐπ' αὐτῇ. εἶτ' ἐπὶ τούτοις ἂν Νικόδημος [2]ἐνεγύησε τῷ ἡμε-
τέρῳ θείῳ τὴν ἀδελφήν; καὶ ταῦτα εἰδὼς τὸν ἅπαντα χρό-
νον ἄτοκον οὖσαν αὐτὴν, καὶ τῆς ὁμολογηθείσης προικὸς ἐκ 40
τῶν νόμων γινομένης εἰς αὐτὸν, εἴ τι ἔπαθεν ἡ γυνὴ πρὶν
γενέσθαι παῖδας αὐτῇ; ἆρ' οὖν δοκεῖ τῷ ὑμῶν ὀλιγώρως
οὕτως ἔχειν χρημάτων Νικόδημος, ὥστε παραλιπεῖν ἄν τι
τῶν τοιούτων; ἐγὼ μὲν γὰρ οὐ νομίζω. εἶτα παρὰ τούτου ὁ
35 ἡμέτερος θεῖος ἠξίωσεν ἂν ἐγγυήσασθαι τὴν ἀδελφὴν, ὃς
αὐτὸς ξενίας φεύγων ὑφ' ἑνὸς τῶν φρατόρων, ὧν φησὶν αὐτοῦ
εἶναι, παρὰ τέτταρας ψήφους μετέσχε τῆς πόλεως; καὶ
ὡς ἀληθῆ λέγω, ἀναγίνωσκε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

οὗτος τοίνυν τῷ ἡμετέρῳ θείῳ ἄπροικον τὴν ἀδελφὴν τὴν
ἑαυτοῦ μεμαρτύρηκεν ἐγγυῆσαι, καὶ ταῦτα τῆς προικὸς εἰς 41
αὐτὸν γινομένης, εἴ τι ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας
40 αὐτῇ. λάβε δὴ καὶ ἀνάγνωθι τοὺς νόμους τουσδὶ αὐτοῖς.

ΝΟΜΟΙ.

δοκεῖ ἂν ὑμῖν οὕτως ὀλιγώρως ἔχειν χρημάτων Νικόδημος,

[1] ἣν om. [2] ἐνεγύησε

Εἰ ἐπὶ τῷ ἐγγυησαμένῳ] Π. εἰ εἴη ἐπὶ τῷ ἐγγ. H. Stephan. Scaliger addi vult ἣν post ἐγγυησαμένῳ. Rectius utique addetur ἣν, quam εἴη, sive post dativum hunc, ut voluit Scaliger, addatur, sive post γυναῖκα, quod ideo mihi habetur probabilius, quia facile fieri potuit, ut ἣν cum eodem vocabulo concurrens in calce periodi prioris, et capite insequentis, a supino librario semel prætervideretur. Reisk.

Τὸν ἅπαντα χρόνον ἄτοκον οὖσαν] Qui Nicodemus sciret, sororem suam sterilem esse. Poterat autem hoc nosse. Nam quæ mulier e congressibus cum tot viris, quibus consuevisset, tamen gravida facta non abisset, credibile non erat, ut ea e Pyrrho pareret. Ergo sine prole decessura videbatur esse. Quod si fieret ante Pyrrhi decessum, verendum Nicodemo erat, ne sibi perisset quicquid dotis nomine sorori addidisset, nisi curaret, ut in tabulis contractus conjugalis expressis verbis de dote sibi reddenda caveretur. Idem.

Εἰς αὐτὸν] *et dote illi obtingente*, Nicodemo puta, et ad eundem redeunte, qui dotem dedisset, non autem penes maritum manente, si mulier ante maritum sine prole vivis excederet. Idem. Ratio est, quia lege cavetur, ne qua femina testamento det leget πέρα μεδίμνου κριθῶν. *In Legg. Att.* l. vi. tit. ii. §. 5. Petit.

Ὧν φησὶν αὐτοῦ εἶναι] Id est, οὓς ἑαυτοῦ φράτορας εἶναι φησίν. Ita marte meo dedi, pro ὃν φ — quod est in vulgatis. Fuit aliquando cum suspicarer, si ὃν e vulgatis servaretur, addendum esse ἐχθρὸν sive post ὃν, sive post φησὶν, sive post αὐτοῦ. Sed prætuli alteram rationem, pro ὃν sufficientem ὧν, præsertim cum Taylor testaretur, ὧν se in Tophanis quoque libro reperisse correctum. Reisk.

Νόμοι] Caput illud juris Attici designatur, quo cautum fuit, ut, uxore improle

ὥστε, εἰ ἦν ἀληθὲς τὸ πρᾶγμα, οὐκ ἂν σφόδρα διακριβώσασθαι περὶ τῶν ἑαυτῷ συμφερόντων; ναὶ μὰ Δία, ὡς ἔγωγ' οἶμαι, ἐπεὶ καὶ οἱ ἐπὶ παλλακίδι διδόντες [1]τὰς ἑαυτῶν πάντες πρότερον διομολογοῦνται περὶ τῶν δοθησομένων ταῖς παλλακαῖς· Νικόδημος δὲ ἐγγυᾶν μέλλων — φησὶ —
42 τὴν ἀδελφὴν τὴν αὐτοῦ μόνον τὸ κατὰ τοὺς νόμους ἐγγυῆσαι 42. 1
διεπράξατο; ὃς ἐπ' ὀλίγῳ ἀργυρίῳ, οὗ ἐπιθυμῶν λέγει πρὸς ὑμᾶς, σφόδρα βούλεται πονηρὸς εἶναι.

ζ'. Περὶ μὲν οὖν τῆς τούτων πονηρίας καὶ σιωπῶντος ἐμοῦ πολλοὶ γινώσκουσιν ὑμῶν, [2]ὥστ' οὐκ ἀπορῶ γε μαρτύρων, ὅταν τι λέγω περὶ αὐτοῦ· βούλομαι δὲ πρῶτον ἐκ τῶν τοιῶνδε ἐξελέγξαι τοῦτον ἀναισχυντότατον τῇ μαρτυρίᾳ ὄντα 5
ταύτῃ. φέρε [3]γάρ, ὦ Νικόδημε, εἰ ᾔσθα [4]ἐγγεγυηκὼς τῷ Πύῤῥῳ τὴν ἀδελφὴν καὶ εἰ ᾔδεις ἐξ αὐτῆς θυγατέρα γνησίαν καταλειπομένην, πῶς ἐπέτρεψας τῷ ἡμετέρῳ ἀδελφῷ ἐπιδικάσασθαι τοῦ κλήρου ἄνευ τῆς γνησίας θυγατρὸς, ἣν φὴς τῷ ἡμετέρῳ θείῳ καταλειφθῆναι; ἢ οὐκ ᾔδεις ἐν τῇ ἐπιδικασίᾳ τοῦ κλήρου νόθην καθισταμένην τὴν ἀδελφιδῆν τὴν σαυτοῦ; ὁπότε γάρ [5]τις ἐπεδικάζετο τοῦ κλήρου, νόθην 10
43 τὴν θυγατέρα τοῦ καταλιπόντος τὸν κλῆρον καθίστη. ἔτι δὲ πρότερον ὁ Πύῤῥος ὁ ποιησάμενος τὸν ἀδελφὸν τὸν ἐμὸν

[1] τὰ [2] ὥστ' - - - αὐτοῦ om. [3] γὰρ om. [4] ἐγγυηκὼς [5] [τις]

decedente ante maritum, dos ejus apud maritum ne maneret, sed ad eum rediret, a quo data primitus fuisset. IDEM.

Ναὶ μὰ Δία] Imo vero οὐ μὰ Δία, scil. δοκεῖ ὑμῖν Νικόδημος οὕτως ὀλιγάργυρος ἔχειν χρημάτων, εἰ τὸ πρᾶγμα ἦν ἀληθές. IDEM.

Ἐπὶ παλλακίδι διδόντες τὰ ἑαυτῶν] Ergo etiam pellices, id quod hoc e loco videtur colligi posse, cum dote elocabantur, tabulæque condebantur, quibus caveretur, quid emolumentorum essent, pellicatu finito, habituræ. Lege παλλακίσι in plur. IDEM. παλλακία dedit Bekkerus.

Φησὶ] Id est, ὥς φησι. quanquam hoc utique mallem. REISK.

Μόνον —] Sententia loci est hæc: aliud nihil spectavit, et egit Nicodemus, quam hoc, ut sororem suam Pyrrho legitime desponderet, de dote secure collocanda et aliquando recuperanda parum sollicitus. IDEM.

Ἐπιθυμῶν] Π. ἐπιθυμεῖν. H. STEPHAN. Vulgata, bene habens, significat Nicodemum causas forenses actitasse, et inde quæstum fecisse. REISK.

Ἐκ τῶν τοιῶνδε] Subaudi, quæ mox dicam, ἃ νῦν ἐρῶ. IDEM.

Ἐγγυηκὼς] Interrogat Stephanus in margine, num ἐγγεγυηκὼς præstet. Idem tamen ipse sese quasi revocat, et judicium suspendit, admonens, in insequentibus occurrere ἐγγυημένος et ἐγγυήκει, quæ huic sunt similia. IDEM.

Τις] Ut supervacaneum et amputandum uncis inclusi, quod si relinquatur, necesse sit non ἐπεδικάζετο sed ἐπιδικάζεται, non καθίστη sed καθίστησι legi. Requiri autem hic loci, non tempus præsens, sed imperfectum, apparet ex insequentibus ἔτι δὲ πρότερον ὁ Πύῤῥος, ubi tacite repetendum est καθίστη τὴν θυγατέρα ἑαυτοῦ νόθην. redit ergo ἐπεδικάζετο et καθίστη non ad infinitam aliquam et incertam personam, sed ad Endium, actoris fratrem, vita jam defunctum. IDEM.

Πρότερον] Sic de meo dedi pro vulgari πότερον. et adhuc multo ante, quam frater noster, illam mulierem pro spuria declaravit Pyrrhus ipse, qui pater hujus mulieris jactatur esse, eo quod ipse adhuc

υἱὸν αὐτῷ· οὔτε γὰρ διαθέσθαι οὔτε δοῦναι οὐδενὶ οὐδὲν ἔξεστι τῶν ἑαυτοῦ ἄνευ τῶν θυγατέρων, ἐάν τις καταλιπὼν γνησίας τελευτᾷ. γνώσεσθε δὲ αὐτῶν ἀκούσαντες τῶν νόμων ἀναγινωσκομένων. ἀναγίνωσκε [1] τούσδε αὐτοῖς.

ΝΟΜΟΙ.

15 δοκεῖ ἂν ὑμῖν ὁ μεμαρτυρηκὼς ἐγγυῆσαι ἐπιτρέψαι ἄν τι τούτων γίγνεσθαι, καὶ οὐκ ἂν ἐπὶ τοῦ κλήρου τῇ λήξει, ἣν ὁ Ἔνδιος λαχὼν ἐπεδικάζετο, ἀμφισβητῆσαι ἂν ὑπὲρ τῆς ἀδελφιδῆς τῆς ἑαυτοῦ καὶ οὐκ ἂν διαμαρτυρῆσαι οὐκ ἐπίδικον τῷ Ἐνδίῳ τὸν ἐκείνης πατρῷον κλῆρον εἶναι; ἀλλὰ μήν, ὥς γε ἐπεδικάσατο ὁ ἡμέτερος ἀδελφὸς τοῦ κλήρου καὶ οὐκ ἠμφισβήτησεν οὐδεὶς ἐκείνῳ, ἀναγίνωσκε τὴν μαρτυρίαν. 44

ΜΑΡΤΥΡΙΑ.

20 γενομένης τοίνυν τῆς ἐπιδικασίας ταύτης οὐκ ἐτόλμησεν ἀμφισβητῆσαι τοῦ κλήρου Νικόδημος, οὐδὲ διαμαρτυρῆσαι τὴν ἀδελφιδῆν τὴν ἑαυτοῦ γνησίαν θυγατέρα Πύρρῳ καταλειφθῆναι.

ή. Περὶ μὲν οὖν τῆς διαδικασίας ἔχοι ἄν [2] τις ψεῦδος προφασίσασθαι πρὸς ὑμᾶς· ἢ γὰρ λαθεῖν ἡμᾶς προσποιήσαιτ' ἂν οὗτος, ἢ [3] καὶ ψεύδεσθαι αἰτιῶτ' ἂν ἡμᾶς. τοῦτο μὲν οὖν παρῶμεν. ἐπειδὴ δὲ τῷ Ξενοκλεῖ [4] ἐνεγύα ὁ Ἔνδιος 25 τὴν ἀδελφιδῆν σου, ἐπέτρεψας ἄν, ὦ Νικόδημε, τὴν ἐκ τῆς ἐγγυητῆς τῷ Πύρρῳ γεγενημένην ὡς ἐξ ἑταίρας ἐκείνῳ οὖσαν ἐγγυᾶσθαι; καὶ οὐκ ἂν εἰσήγγελλες πρὸς τὸν ἄρχοντα κακοῦσθαι τὴν ἐπίκληρον ὑπὸ τοῦ εἰσποιήτου οὕτως ὑβριζομένην καὶ ἄκληρον τῶν [5] ἑαυτῆς πατρῴων καθιστα-

[1] τουσδὶ [2] τι [3] καὶ om. [4] ἐνεγγύα [5] αὐτῆς

superstes filium sibi arrogavit fratrem nostrum; quo facto negavit prolem sibi legitimam aliam esse. IDEM.

Ἀδελφιδῆς] Sic dedi de meo, pro vulgari ἀδελφῆς. *pro filia sororis suæ.* Corrigendum ita esse vulgatorum librorum h. l. vitium ex illis patet insequentibus τὸν ἐκείνης πατρῷον κλῆρον. quæ indicant, non de matre mulieris hic agi, sed de muliere ipsa. IDEM.

Διαδικασίας] Illa de contentione, qua certabatur, uter deberet hereditatem adire, Endiusne a Pyrrho adoptatus, an mulier, de cujus statu controversia agitabatur, essetne filia legitima, an spuria. Malim tamen ἐπιδικ. IDEM.

Λαθεῖν ἡμᾶς] Addendumne sit ἑαυτὸν ἐπιδικαζομένους, an satis sit illud subaudiri, in dubio relinquam. *se ignorasse quid ageretur, cum nos illam hereditatem curaremus a judicibus nobis adjudicari.* v. p. 70. 15. IDEM.

Ψεύδεσθαι] Aientes nempe, nobis adjudicatam esse hereditatem, quæ non fuisset. IDEM.

μένην; ἄλλως τε καὶ μόνων τούτων τῶν δικῶν ἀκινδύνων
τοῖς διώκουσιν οὐσῶν, καὶ ἐξὸν τῷ βουλομένῳ βοηθεῖν ταῖς
45 ἐπικλήροις; οὔτε γὰρ ἐπιτίμιον ταῖς πρὸς τὸν ἄρχοντα εἰσ- 30
αγγελίαις ἔπεστιν, οὐδ' ἐὰν οὐδεμίαν τῶν ψήφων οἱ εἰσαγ-
γείλαντες μεταλάβωσιν οὔτε πρυτανεῖα οὔτε παράστασις
οὐδεμία τίθεται τῶν εἰσαγγελιῶν· ἀλλὰ τοῖς μὲν διώκου-
σιν ἀκινδύνως εἰσαγγέλλειν ἔξεστι, τῷ βουλομένῳ, τοῖς δ'
ἀλισκομένοις ἐσχάται τιμωρίαι ἐπὶ ταῖς εἰσαγγελίαις ἔπεισ-
ιν. [ἔπειτα εἰ ἦν ἐξ ἐγγυητῆς ἡ τούτου ἀδελφιδῆ τῷ ἡμετέ-
ρῳ θείῳ γεγενημένη, ἐπέτρεψεν ἂν Νικόδημος ὡς ἐξ ἑταίρας 35
οὖσαν αὐτὴν ἐγγυᾶσθαι; καὶ γενομένων αὐτῶν οὐκ ἂν εἰσ-
ήγγελλε πρὸς τὸν ἄρχοντα ὑβρίζεσθαι τὴν ἐπίκληρον ὑπὸ
τοῦ οὕτως ἐγγυήσαντος αὐτήν;] καὶ εἰ ἦν ἀληθῆ, ἃ νυνὶ τε-
τόλμηκας μαρτυρῆσαι, παραχρῆμα εὐθὺς τότε ἐτιμωρήσω
ἂν τὸν ἀδικοῦντα, ἢ καὶ ταῦτα λαθεῖν σεαυτὸν προσποιή-
46 σῃ; ἔπειτ' οὐδ' ἐκ τῆς ἐπιδοθείσης αὐτῇ προικὸς ἤσθου;
ὥστε καὶ δι' αὐτὸ τοῦτο ἀγανακτήσαντι δήπου σοὶ εἰσαγ- 40
γεῖλαι τὸν Ἔνδιον προσῆκεν, [1] εἰ αὐτὸς μὲν τριτάλαντον
οἶκον ἔχειν ἠξίου ὡς προσῆκον αὐτῷ, τῇ δὲ γνησίᾳ οὔσῃ τρισ-
χιλίας δραχμὰς προῖκα ἐπιδοὺς ἐκδοῦναι ἠξίωσεν ἄλλῳ.
εἶτ' ἐπὶ τούτοις οὐκ ἀγανακτήσας εἰσήγγειλεν ἂν τὸν Ἔν-

[1] εἰ om.

Ἔπεστιν] Sic dedi de meo, pro vulgari ἔνεστι. Ita paulo post: ἔσχαται τιμωρίαι ἐπὶ ταῖς εἰσαγγελίαις ἔπεισι. IDEM.

Τοῖς μὲν διώκουσιν — τῷ βουλομένῳ] Postrema hæc per epexegesin apposita sunt; vulgaris enim et plana constructio postulabat τῶν διωκόντων τῷ βουλομένῳ. IDEM.

Ἔπειτα — ἐγγυήσαντος αὐτὴν] Totam hanc sententiam, ut supervacaneam et e præmissis perperam iteratam, cum quibus idem dicit, uncis inclusi. IDEM.

Προσποιήσῃ] Π. ἐπροσποιήσω. H. STEPHAN. Si semel decreveras ita emendare, cur non potius προσεποιήσω dabas, quod saltim esset usitatius et analogiæ convenientius? Verum nil opus erat h. l. quicquam moveri. Bene habet vulgata. REISK.

Ἥισθου] Subaudi σε [aut τὴν σὴν ἀδελφιδῆν] ἀδικεῖσθαι ὑπὸ τοῦ Ἐνδίου. IDEM.

Προσῆκεν αὐτὸς] Interponendum est aut ὅτι, aut εἰ. Prius volebat etiam H. Stephanus. IDEM.

Αὐτὸς μὲν — ἠξίωσεν ἄλλῳ] Cum liqueat ex p. 71. v. 11. decimam saltem τῶν πατρῴων partem dandam sorori fuisse a fratre in dotem, error est in τρισχιλίας. Nam negat Isæus ex Endii persona dedisse se Philæ in dotem τὸ δέκατον μέρος τῶν πατρῴων, quia soror scilicet legitima non erat, sed notha. Quare ei in dotem dedisse non potest drachmas ter mille. Habebat enim Endius in bonis tria tantum talenta, sive octodecim millia drachmarum: ergo decima pars τοῦ τριταλάντου οἴκου, non sunt drachmæ ter mille, multo minus dos Philæ dicta. Præterea desponsatam ab Endio Philam docet, tanquam sororem nothan e pellice susceptam a Pyrrho, idque probari et demonstrari contendit e dote, quam Philæ dixit dedit Endius p. 71. v. 17. ὁ μὲν τοίνυν - - - ἠγανάκτησεν οὐδέν. Itaque reponendum puto χιλίας δραχμάς. Tot enim drachmas dotem dixit dedit, quot nothis solvebantur e bonis paternis, mille nempe drachmæ [Harpocrat. in v. νοθεῖα]. *In Legg. Att.* l. vi. tit. ii. §. 1. PETIT. Cf. Iac. Perizon. Dissert. ii. p. 124. WESSELING.

διον οὗτος; ναὶ μὰ Δία, εἴ γ' ἦν ἀληθὲς τὸ πρᾶγμα. οἶμαι δὲ οὐδ' ἂν τὴν ἀρχὴν ἐκεῖνον οὐδ' ἄλλον δὲ τῶν εἰσποιήτων οὐδένα οὕτως εὐήθη οὐδ' ἂν ὀλίγωρον τῶν νόμων τῶν
. 1 κειμένων γίνεσθαι, ὥςθ' ὑπαρχούσης γνησίας θυγατρὸς τῷ τὸν κλῆρον καταλιπόντι ἑτέρῳ δοῦναι ταύτην ἀνθ' ἑαυτοῦ. ἀκριβῶς γὰρ ᾔδει διότι τοῖς γε ἐκ τῆς γνησίας θυγατρὸς παισὶ γεγονόσιν ἁπάντων τῶν παππῴων κληρονομία προσήκει. εἶτα εἰδὼς ἄν τις ταῦτα ἑτέρῳ παραδοίη τὰ αὐ-
5 τοῦ, καὶ ταῦτα τηλικαῦτα ὄντα ὅσων ἠμφισβήτησαν οὗτοι; δοκεῖ δ' ἄν τις ὑμῖν οὕτως ἀναιδὴς ἢ τολμηρὸς εἰσποίητος γενέσθαι, ὥςτε μηδὲ τὸ δέκατον μέρος ἐπιδοὺς ἐκδοῦναι τῇ 47
γνησίᾳ θυγατρὶ τῶν πατρῴων; γενομένων δὲ τούτων δοκεῖ ἂν ὑμῖν ὁ θεὸς ἐπιτρέψαι, ὃ ἐγγυῆσαι μεμαρτυρηκὼς αὐτῆς τὴν μητέρα; ἐγὼ μὲν γὰρ οὐ νομίζω, ἀλλὰ καὶ ἠμφισβήτησεν ἂν τοῦ κλήρου καὶ διεμαρτύρησε καὶ εἰσήγγειλεν ἂν
10 πρὸς τὸν ἄρχοντα, καὶ ἄλλο εἴ τι ἦν ἰσχυρότερον τούτων, ἅπαντ' ἂν διεπράξατο. ὁ μὲν τοίνυν Ἔνδιος ὡς ἐξ ἑταίρας οὖσαν [1]ἐνεγύησεν, ἣν φησιν ἀδελφιδῆν Νικόδημος εἶναι αὐτῷ· οὗτος δὲ οὔτε τῷ Ἐνδίῳ τοῦ Πύρρου κλήρου ἀμφισβητῆσαι ἠξίωσεν, οὔτ' ἐγγυήσαντα τὴν ἀδελφιδῆν [2][ὡς] οὖσαν ἐξ ἑταίρας εἰσαγγεῖλαι πρὸς τὸν ἄρχοντα ἠξίωσεν, οὔτ' ἐπὶ τῇ δοθείσῃ προικὶ αὐτῇ ἠγανάκτησεν οὐδέν, ἀλλὰ πάντα ταῦτα 48
15 εἴασε γενέσθαι. οἱ δὲ νόμοι περὶ ἁπάντων διορίζουσι τούτων. ἀναγνώσεται οὖν πρῶτον ὑμῖν τὴν περὶ τῆς ἐπιδικασίας τοῦ

[1] ἐνεγγύησεν

[2] [ὡς] om.

Ἀνθ' ἑαυτοῦ] Id est, ἀντὶ τοῦ λαβεῖν αὐτὸς αὐτήν. Reisk.

Μηδὲ τὸ δέκατον μέρος] Non concilio locum hunc cum illo, qui p. 70. 19. legitur, ubi Endius sororem spuriam Xenocli in matrimonium elocans, dicitur ei dotis loco termille drachmas, seu semitalentum addidisse. Jam universa hereditas erat τριτάλαντος trium talentorum, quod sæpe numero hac in oratione inculcatur. Ergo detractum tribus talentis unum semitalentum, non est decima pars, sed sexta. Ergone pro δέκατον leg. est ἕκτον. Verum ipsam adeo sextam partem negat ei datam. Ergo minus quam sextam dedit. Ergo non τρισχιλίας δραχμὰς, sed forsitan χιλίας. quæ summa ad totam substantiam se habet, ut 1 ad 18. Et profecto semitalentum erat dos pro filiabus ingenuis mediocris fortunæ sat splendida. Ut parum absim a suspicando δέκατον h. l. bene habet, sed paulo ante pro τρισχιλίας leg. esse solummodo χιλίας. Debebat utique in dote danda discrimen observari inter filias ingenuas et spurias. Idem.

Καὶ εἰσήγγειλεν ἂν πρὸς τὸν ἄρχοντα] *et injuriarum postulasset Endium apud archontem eponymum* (nam apud hunc λαγχάνονται δίκαι ὀρφανῶν, κλήρων, καὶ ἐπικλήρων), eo quod contumelia affecisset Philen, quæ et legitima filia atque unica Pyrrhi heres esset: id docent quæ paulo ante dixerat p. 42. 33. ed. Steph. ἔπειτα εἰ ἦν - - - αὐτήν. *In Legg. Att.* l. vi. tit. vi. §. 3. Petit.

Ἄλλῳ] Π. ἄλλο. H. Stephan.

Οὖσαν] Fort. ὡς οὖσαν. Reisk.

κλήρου μαρτυρίαν πάλιν, ἔπειτα τὴν περὶ τῆς ἐγγυήσεως τῆς γυναικός. ἀναγίνωσκε αὐτοῖς.

ΜΑΡΤΥΡΙΑ.

ἀνάγνωθι [1] δὴ καὶ τοὺς νόμους.

ΝΟΜΟΙ.

λάβε δὴ καὶ τὴν τούτου μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

49 πῶς οὖν τις σαφέστερον [2] ἐξελέγχει ψευδομαρτυριῶν διώκων ἢ ἔκ τε τῶν πεπραγμένων αὐτοῖς τούτοις ἐπιδεικνύων 20
καὶ ἐκ τῶν νόμων ἁπάντων τῶν ἡμετέρων;

Θ'. Περὶ μὲν οὖν τούτου σχεδὸν εἴρηται τὰ πολλά· σκέψασθε δὲ καὶ περὶ [3] τοῦ ἔχοντος τὴν ἀδελφιδῆν τὴν τούτου γυναῖκα, ἐὰν ἄρα τι γένηται καὶ ἐκ τούτου τεκμήριον ὡς ἔστι ψευδῆ τὰ μεμαρτυρημένα Νικοδήμῳ. ὡς μὲν οὖν [4] ἐνεγυήσατο καὶ ἔλαβεν ὡς οὖσαν ἐξ ἑταίρας τὴν γυναῖκα, ἐπιδέδεικται καὶ μεμαρτύρηται· ὡς δ' ἀληθὴς ἡ μαρτυρία ἐστὶν 25
αὕτη, ὁ Ξενοκλῆς αὐτὸς ἔργῳ οὐκ ὀλίγον χρόνον ἤδη [ἀληθῆ ταῦτα] μεμαρτύρηκε. δῆλον γὰρ ὅτι εἰ μὴ [5] ἐνεγεγύητο παρὰ τοῦ Ἐνδίου ὡς ἐξ ἑταίρας οὖσαν τὴν γυναῖκα, ὄντων αὐτῷ παίδων ἤδη τηλικούτων ἐκ τῆς γυναικὸς, ζῶντι ἂν τῷ Ἐνδίῳ ἠμφισβήτησε περὶ τῆς γνησίας θυγατρὸς τῶν πα-
50 τρῴων, ἄλλως τε καὶ παρεσκευασμένος μὴ ὁμολογεῖν τὴν τοῦ

[1] δὴ om. [2] ἐξελέγχοι [3] μὲν τοῦ [4] ἐνεγγυήσατο [5] ἐγγεγύητο

Πάλιν] Nam jam antea recitatum fuerat hoc testimonium p. 69. 13. IDEM.

Τῆς γυναικὸς] Philæ puta, sive Clearetæ, quodcunque ille nomen fuit. quod scil. Endius hanc mulierem, ut sororem suam, sed spuriam, Xenocli nuptui elocarit. IDEM.

Μαρτυρία] Malim in plurali μαρτυρίαι. Sunt enim, quæ hic recitantur, duo testimonia, alterum, quod Nicodemus passus sit Eudium Pyrrhi hereditatem, ceu filium legitime adoptatum, adire, neque contradixerit judicum sententiæ, qua Endio, ut soli legitimo heredi, hereditatem illam adjudicarant: alterum quod Endius Xenocli elocarit mulierem, quam sororem suam, sed spuriam, diceret esse. IDEM.

Μαρτυρία] Hoc est illud testimonium, jam ante bis recitatum, supra quo tota hæc versatur actio, quo Nicodemus confirmarat, sororem suam Pyrrho legitime desponsam matrem familias fuisse. IDEM.

Τούτου] De hoc Nicodemo, et adversus eum. IDEM.

Τὰ πολλὰ] Subaudi ἃ εἶχεν εἰπεῖν. Bene si habet, æquivalet τῷ, τὰ πλεῖστα. IDEM.

Περὶ μὲν] Latet in particula μὲν sine dubio vitiosa nomen Xenoclis, neque dubito leg. esse: περὶ Ξενοκλέους τοῦ ἔχοντος. Ab actione adversus Nicodemum et ab argumentis causæ suæ ab eo repetitis, transit nunc ad argumenta a Xenocle repetita. IDEM.

Ἀληθῆ ταῦτα] Suspicabar aliquando hæc duo vocabula in unum ἀληθεστάτῳ, vel ἀληθέστατα, adverbialiter, esse contrahenda. Postmodum autem visum fuit ea potius uncis includere, ut inducenda et exterminanda. IDEM.

Παρεσκευασμένος] Ambigo utrum rectius

30 Ἐνδίου ποίησιν τῷ Πύῤῥῳ γενέσθαι· ὡς δὴ οὐχ ὁμολογῶν [1]πῶς ἐπεσκήπτετο τοῖς μεμαρτυρηκόσιν ἐπὶ τῇ διαθήκῃ τοῦ Πύῤῥου παραγενέσθαι. καὶ ὡς ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὴν μαρτυρίαν τὴν μαρτυρηθεῖσαν. ἀναγίνωσκε αὐτοῖς.

ΜΑΡΤΥΡΙΑ.

ἀλλὰ μὴν κἀκεῖνό γε δῆλον, ὡς [οὐχ] ὁμολογοῦσι τὴν τοῦ Ἐνδίου ποίησιν ὑπὸ τοῦ Πύῤῥου γενέσθαι. οὐ γὰρ ἂν ὑπερβάντες τὸν τελευταῖον τοῦ οἴκου γεγενημένον κληρονό-
35 μον ὑπὲρ τῆς γυναικὸς τοῦ Πύῤῥου κλήρου λαχεῖν τὴν λῆξιν 51
ἠξίωσαν οὗτοι. ὁ μὲν γὰρ Πύῤῥος πλείω ἢ εἴκοσιν ἔτη τετελεύτηκεν ἤδη, ὁ δὲ Ἔνδιος τοῦ Μεταγειτνιῶνος μηνὸς πέρυσιν, ἐν ᾧ ἔλαχον τοῦ κλήρου τὴν λῆξιν τρίτῃ ἡμέρᾳ εὐθέως οὗτοι. ὁ δὲ νόμος πέντε ἐτῶν κελεύει δικάσασθαι τοῦ κλήρου, ἐπειδὰν τελευτήσῃ ὁ κληρονόμος. οὐκοῦν δυοῖν τὰ ἕτερα προσῆκε τῇ γυναικὶ, ἢ ζῶντι τῷ Ἐνδίῳ ἀμφισβητῆσαι τῶν
40 πατρῴων, ἢ ἐπειδὴ τετελευτηκὼς ἦν ὁ εἰσποίητος, τῶν τοῦ ἀδελφοῦ τὴν ἐπιδικασίαν ἀξιοῦν ποιεῖσθαι· ἄλλως τε καὶ εἰ, ὡς φασὶν οὗτοι, [2]ἠγγυήκει αὐτὴν τῷ Ξενοκλεῖ ὡς γνησίαν ἀδελφὴν οὖσαν [3]αὐτοῦ. ἀκριβῶς γὰρ ἐπιστάμεθα πάντες, ὅτι ἀδελφῶν μὲν κλήρων ἐπιδικασία πᾶσίν ἐστιν [4]ἡμῖν· ὅτῳ δὲ [5]γόνῳ γεγόνασι γνήσιοι παῖδες, οὐδενὶ ἐπιδι- 52

[1] [πῶς] [2] ἐγγυήκει [3] αὐτῷ [4] ὑμῖν [5] μόνῳ

interpreter, *præsertim qui paratus esset*, vel, ita se comparasset — an, *pr. qui* a Nicodemo et ejus factione *impulsus et subornatus esset*. Idem.

Πῶς] Delendum videtur, aut cum πᾶσιν mutandum. Idem.

Τὴν μαρτυρίαν τὴν μαρτυρηθεῖσαν] Subaudi ὑπὸ τῶν μεμαρτυρηκότων ἑαυτοὺς παραγενέσθαι Πύῤῥῳ διατιθεμένῳ. Idem.

Κἀκεῖνο] Aut κἀκείνῳ leg. videtur, id est ἐν κἀκείνῳ, aut, quod ad sententiam eandem redit, ἐκ κἀκείνου. Idem.

Οὐχ] Uncis inclusi, suspicans aut plane delendum esse, ut sententiæ repugnans, aut cum οὗτοι mutandum. Idem.

Οὐ γὰρ ἂν] Subaudi εἰ οὐκ ὡμολόγουν. Idem.

Κληρόνομον] Post κληρονόμον videtur νῦν deesse. Iuspice insequentia, quæ me hanc in suspicionem induxerunt. Idem.

Τρίτῃ ἡμέρᾳ εὐθέως] Subaudi μετὰ τὴν Ἐνδίου τελευτήν. Idem.

Ὁ κληρονόμος] Imo vero ὁ κληροδότης. Non Endius hic designatur, h. e. hères, sed Pyrrhus, legator hereditatis. Idem.

Τῶν τοῦ ἀδελφοῦ] Non Pyrrhi hereditatem petere, sed Endii, utpote quæ sola soror esset ejus, nullo præter ipsam alio neque fratre, neque sorore ei relicta. Idem.

Καὶ ὡς] Π. καὶ εἰ ὡς. H. Stephan.

Ἐγγυήκει] Endius puta. Rursus hic admonet Stephanus, ut jam antea fecerat, leg. esse ἐγγεγυήκει, quod in dubio relinquam. Reisk.

Ὑμῖν] Imo vero ἡμῖν. Idem.

Μόνῳ] Obscure et perplexe sententiam hoc modo prodidit, vel adumbravit magis quam expressit, quæ planius et dilucidius ad hunc modum enuntietur: εἰ δέ τῳ εἰσὶ παῖδες γνήσιοι, τούτοις μόνοις οὐ προσήκει ἐπιδικάζεσθαι, vel ἐπὶ τούτοις μόνοις χώραν οὐκ ἔχει ἡ ἐπιδικασία. *liberi autem si cui sunt rite quæsiti, necesse non est neque convenit, ut hi super hereditate paterna cum*

κάζεσθαι τῶν πατρῴων προσήκει. καὶ περὶ τούτων οὐδένα
λόγον λεχθῆναι δεῖ· ἅπαντες γὰρ ὑμεῖς καὶ οἱ ἄλλοι πολῖ- 44. 1
ται ἀνεπῴδικα ἔχουσι τὰ ἑαυτῶν ἕκαστοι πατρῷα. οὗτοι
τοίνυν εἰς τοῦτο τόλμης ἀφιγμένοι εἰσίν, ὥστε τῷ μὲν εἰσ-
ποιήτῳ οὐκ ἔφασαν ἐπιδικάσασθαι προσήκειν τῶν δοθέντ-
των, τῇ δὲ Φίλῃ, ἣν φασι θυγατέρα γνησίαν τῷ Πύῤῥῳ
καταλελεῖφθαι, λαχεῖν τοῦ κλήρου τοῦ πατρῴου [1] τὴν λῆ-
ξιν ἠξίωσαν. καίτοι — ὅπερ εἶπον καὶ πρότερον — ὅσοι 5
μὲν καταλίπωσι γνησίους παῖδας ἐξ αὐτῶν, οὐ προσήκει
τοῖς παισὶν ἐπιδικάσασθαι τῶν πατρῴων· ὅσοι δὲ διαθήκαις
αὐτοὶ εἰσποιοῦνται, τούτοις ἐπιδικάζεσθαι προσήκει τῶν
δοθέντων. τοῖς μὲν γὰρ, ὅτι γόνῳ γεγόνασιν, οὐδεὶς ἂν δή-
που ἀμφισβητήσειε περὶ τῶν πατρῴων· πρὸς δὲ τοὺς εἰσ-
53 ποιήτους ἅπαντες οἱ κατὰ γένος προσήκοντες ἀμφισβητεῖν
ἀξιοῦσιν. ἵνα οὖν μὴ παρὰ τοῦ ἐντυχόντος τῶν κλήρων αἱ 10
λήξεις τοῖς ἀμφισβητεῖν βουλομένοις γίγνωνται, καὶ μὴ ὡς
ἐρήμων τῶν κλήρων ἐπιδικάζεσθαί τινες τολμῶσι, τούτου
ἕνεκα τὰς ἐπιδικασίας οἱ εἰσποιήτοι πάντες ποιοῦνται. μη-
δεὶς οὖν ὑμῶν [2] ἡγείσθω, εἰ ἐνόμιζε γνησίαν εἶναι τὴν ἑαυτοῦ
γυναῖκα Ξενοκλῆς, λαχεῖν ἂν ὑπὲρ αὐτῆς τὴν λῆξιν τοῦ
κλήρου τοῦ πατρῴου, ἀλλ' ἐβάδιζεν ἂν ἡ γνησία εἰς τὰ ἑαυ-
τῆς πατρῷα, καὶ εἴ τις αὐτὴν ἀφῃρεῖτο ἢ ἐβιάζετο, ἐζῆγεν 15
ἂν ἐκ τῶν πατρῴων, καὶ οὐκ ἂν ἰδίας μόνον δίκας ἔφευγεν ὁ
54 διαζόμενος, ἀλλὰ καὶ δημοσίᾳ εἰσαγγελθεὶς εἰς τὸν ἄρχον-

[1] τὴν λῆξιν om.

[2] ἡγείσθω om.

aliis in jure certent, eamve sibi curent a judicibus adjudicari. Ejusmodi actio plane in ejusmodi causa locum non habet. Vel sic poterat dicere: ὅτῳ δὲ γνήσιοι παῖδες εἰσὶ, τούτου μόνου ὁ κλῆρός ἐστιν ἀνεπιδικάσιμος. Verumtamen dubium nullum superest Isæum h. l. ita, ut in libris prostat, reliquisse. IDEM.

Οὐδενὶ] Subaudi τούτων. IDEM.

Παρὰ τοῦ ἐντυχόντος] *ab obvio quoque.* rarius ita usurpant. vulgatius est παρὰ τοῦ τυχόντος. neque tamen ideo verbum compositum h. l. damnem. IDEM.

Τοῖς ἀμφισβητεῖν βουλομένοις] Id est, τοῖς κληρονομεῖν β. *hereditatem petentibus.* Nam quicunque hereditatem in jure petit, ἀμφισβητεῖ ὑπὲρ αὐτῆς, *contendit super ea cum aliis.* IDEM.

Μηδεὶς οὖν ὑμῶν] Post hæc verba Scaliger addi vult ὑπολαμβανέτω. quod si probatur, subaudiendum ad λαχεῖν ἂν erit αὐτόν. Potest hoc aut οἰήσεται interea teneri, donec e melioribus atque integrioribus codicibus certiora discamus, unde loci hujus, quem hiulcum esse constat, lacuna expleatur. Mihi visus aliquando fuit Isæus ad hunc ferme modum dedisse: μηδεὶς οὖν ὑμῶν οὕτως ἐμοὶ δοκεῖ ἀναίσθητος εἶναι, ὥστε οἴεσθαι, εἰ ἐνομίζε — λαχεῖν ἂν αὐτὸν ὑπὲρ αὐτῆς. Taylor in libro Tophanis ad ὑμῶν adscriptum reperit νομίζοι. IDEM.

Λαχεῖν ἂν] Π. λαχεῖν ἂν ἠθέλησεν. Ἢ λαχεῖν ἂν ἐκέλευσεν. H. STEPHAN.

Εἰς τὸν ἄρχοντα] Male habet sine dubio præpositio, repetita perperam e fine vocabuli proximi εἰσαγγελθείς. Suffice aut ὡς, aut πρός. V. p. 80. 2. REISK.

τα ἐκινδύνευεν ἂν περὶ τοῦ σώματος καὶ τῆς οὐσίας ἁπάσης τῆς ἑαυτοῦ.

ι'. Ἔτι δ' ἂν [1]πρότερον τοῦ Ξενοκλέους οἱ τοῦ Πύῤῥου θεῖοι, εἰ ᾔδεσαν γνησίαν θυγατέρα τῷ ἑαυτῶν ἀδελφιδῷ καταλειπομένην καὶ ἡμῶν μηδένα λαμβάνειν ἐθέλοντα αὐτὴν, 20 οὐκ ἄν ποτε ἐπέτρεψαν Ξενοκλέα, τὸν μηδαμόθεν μηδὲν γένει προσήκοντα Πύῤῥῳ, λαβόντα ἔχειν τὴν κατὰ γένος προσήκουσαν αὐτοῖς γυναῖκα. ἢ δεινόν γ' ἂν εἴη. τὰς μὲν ὑπὸ τῶν [2]πατέρων ἐκδοθείσας καὶ συνοικούσας ἀνδράσι γυναῖκας, περὶ ὧν τίς ἂν ἄμεινον ἢ ὁ πατὴρ βουλεύσαιτο; καὶ τὰς οὕτω δοθείσας, ἂν ὁ πατὴρ αὐτῶν [3]τελευτήσῃ μὴ καταλιπὼν αὐταῖς γνησίους ἀδελφοὺς, τοῖς ἐγγύτατα γένους 56 25 ἐπιδίκους ὁ νόμος εἶναι κελεύει, καὶ πολλοὶ συνοικοῦντες ἤδη ἀφῄρηνται τὰς ἑαυτῶν γυναῖκας. εἶτα τὰς μὲν ὑπὸ τῶν [2]πατέρων ἐκδοθείσας διὰ τὸν νόμον ἐξ ἀνάγκης ἐπιδίκους εἶναι προσήκει· Ξενοκλεῖ δὲ ἄν τις [4]τόδ' ἐπέτρεψε τῶν τοῦ Πύῤῥου θείων, εἰ ἦν γνησία θυγάτηρ ἐκείνῳ καταλειπομένη,

[1] πρότεροι [2] πατρῴων [3] τελευτήσαι [4] τῷδ'

Πρότεροι] Sic dedi de meo pro vulgari πρότερον, subaudi ὄντες. quod addere ausus non fui, tametsi addendum necessario videtur. avunculi Pyrrhi, cum essent jure propiores, quam Xenocles, jure puta Pyrrhi filiam in matrimonium ducendi. Idem.

Εἴη τὰς] Stephanus εἰ interponendum esse arbitratur. Ego satis esse censeo, ut puncto interponendo insequentia ab antecedentibus dispescantur. De formula δεινόν γ' ἂν εἴη sic abrupta et singularem per se sententiam efficiente, dixi jam ad Lysiam. Proferenda est cum gestu mirantis et stomachantis. Idem.

Πατρῴων] Et hic, et paulo post versu antep. ubi idem vocabulum recurrit, leg. esse πατέρων et ratiocinium docet, colligit enim orator a majori ad minus, et additum illud enthymema περὶ ὧν τις ἂν ἄμεινον ἢ ὁ πατὴρ βουλεύσαιτο. quod ὁ πατὴρ prorsus absurdum et abhorrens esset futurum, si πατρῴων recte haberet. Ratiocinatur sic: Jus Atticum sic præcipit de hereditatibus et matrimoniis filiarum. Si pater decesserit, relicta alia nulla prole præter unam filiam, quæ filia ab ipso patre adhuc superstite alicui nuptui elocata fuerit; ut ea filia maritum, quem habet, ab ipso patre sibi datum, relinquat, et in manum ejus conveniat, qui sanguine ipsi sit proximus; et si ille nolit habere, ut ea nubat illi, qui secundum istum sanguine sit proximus. Quod si ergo matrimonia ab ipsis patribus commissa (tametsi nemo est alius, qui videatur puellis melius consulere aut posse, aut velle), tamen a jure in ejusmodi causa rescinduntur, quanto minus avunculi Pyrrhi poterant defugere necessitatem filiam Pyrrhi ducendi. Etiamsi voluissent eam Xenocli elocare, tamen non poterant id facere, quippe prorsus ab isto genere alieno, sed ipsi debuissent eam ducere. Idem. Sic quoque Petitus in Leg. Att. l. vi. tit. i. §. 11. et Heraldus Anim. ad Jus A. et R. l. iii. c. 15. §. 4.

Καὶ τὰς οὕτω δοθείσας] Quid hæc sibi verba velint in ista compositione, hoc est, post illa ὑπὸ τῶν πατέρων ἐκδοθείσας, haud liquet. Præterea de filiabus elocandis aut elocatis matrimonio non usurpatur simplex δοθῆναι, sed compositum ἐκδοθῆναι. Penes me quidem dubium nullum est Isæum dedisse: καὶ τὰς οὔπω ἐκδοθείσας. Filiabus jam a patribus matrimonio elocatis adjungit τὰς οὔπω ἐκδοθείσας, *filias nondum elocatas*, seu virgines, scil. eo tempore quo pater e vivis excessit. Reisk.

Τελευτήσαι] Sic de meo dedi pro participio τελευτήσας, *ubi pater decesserit.* Taylor in libro Tophanis reperit τελευτήσῃ. Idem.

λαβόντα ἔχειν τὴν κατὰ γένος προσήκουσαν αὐτοῖς γυναῖκα, καὶ τοσαύτης οὐσίας τοῦτον καταστῆναι κληρονόμον ἀνθ' ἑαυτῶν; μὴ νομίσητε ὑμεῖς, ὦ ἄνδρες. οὐδεὶς γὰρ 30
[1]ἀνθρώπων μισεῖ τὸ λυσιτελοῦν, οὐδὲ περὶ πλείονος τοὺς ἀλλοτρίους ἑαυτοῦ ποιεῖται. ἐὰν οὖν προφασίζωνται διὰ τὴν τοῦ Ἐνδίου ποίησιν μὴ ἐπίδικον εἶναι τὴν γυναῖκα, καὶ
57 διὰ ταῦτα μὴ φῶσιν ἀμφισβητῆσαι αὐτῆς, πρῶτον μὲν ἐκεῖνα αὐτοὺς ἐρέσθαι χρὴ, εἰ ὁμολογοῦντες τὴν τοῦ Ἐνδίου ποίησιν ὑπὸ τοῦ Πύῤῥου γενέσθαι ἐπεσκημμένοι εἰσὶ τοῖς μεμαρτυρηκόσι ταῦτα· εἶτα [2][τί] παρελθόντες τὸν τελευταῖον τοῦ οἴκου γεγενημένον κληρονόμον τοῦ Πύῤῥου 35
[3]κλήρου τὴν λῆξιν λαχεῖν ἠξίωσαν παρὰ τὸν νόμον, πρὸς δὲ τούτοις ἐκεῖνο αὐτοὺς ἔρεσθε, εἴ τις τῶν γνησίων [4]αὐτοῦ ἐπιδικάζεσθαι ἄξιοῖ. ταῦτα πρὸς τὴν ἀναίδειαν αὐτῶν
58 συνθάνεσθε. ὡς δ' ἦν ἐπίδικος ἡ γυνὴ, εἴπερ γνησία [5]καταλειφθείη, ἐκ τῶν νόμων σαφέστατα μαθεῖν ἐστὶ τοῦτο. ὁ γὰρ νόμος διαῤῥήδην λέγει ἐξεῖναι διαθέσθαι ὅπως ἂν ἐθέλῃ τις τὰ αὐτοῦ, ἐὰν μὴ παῖδας γνησίους καταλίπῃ ἄῤῥενας· ἂν δὲ θηλείας καταλίπῃ, [6]σὺν ταύταις. οὐκοῦν 40

[1] ἄλλους περὶ πλείονος ἑαυτοῦ
[2] [τί] om.
[3] κλήρου om.
[4] τῶν αὐτοῦ
[5] κατελείφθη
[6] ἐπὶ

Καταστῆναι] Sic dedi de meo, pro vulgari καταστῆσαι. Suspicabar aliquando de καταστῆσαι penacute, quæ est tertia persona optativi aor. I. *constituisset*. et bene conveniret sententiæ. verum eo admisso, debuisset orator paulo ante, non ἐπέτρεψε, sed ἐπιτρέψαι item in optativo dixisse. Aut, si ibi ἐπέτρεψε bene haberet, etiam hic debuisset κατέστησε usurpasse. In hac ambiguitate facillimum factu visum fuit σ cum ν permutare, h. e. καταστῆναι, exhibere — avunculorum quisquam permisisset hunc Xenoclem compotem fieri tantæ substantiæ? Quod autem v. θεῖοι per *avunculos* reddo, non *patruos*, induxit me locus, qui p. 78. 4. legitur. ubi vide. Idem.

Ἀνθ' ἑαυτῶν] Imo vero ἀνθ' ἑαυτοῦ. ab illa præmissa Ξενοκλεῖ δ' ἄν τις ἐπέτρεψε τῶν τοῦ Πύῤῥου θείων. Idem.

Φῶσιν] Avunculi Pyrrhi puta. Idem.

Ταῦτα] Subaudi γενέσθαι. adoptationem Endii puta. Idem.

Εἶτα παρελθόντες] Aut εἰ, aut potius τί, cur, est interponendum. Idem.

Τῶν γνησίων τῶν αὐτοῦ] Posteriorem articulum, qui vulgatis deest, de meo addidi, ut in τῶν γνησίων subauditur παίδων, ita in τῶν αὐτοῦ subauditur χρημάτων vel ὑπαρχόντων. *ecquis liberorum legitime natorum contendat in jure de bonis quæ de jure ipsius sunt?* Duo diversi sunt hi genitivi; prior aptus est e τις, posterior ex ἐπιδικάζεσθαι. Nullus legitimorum exspectat donec bona paterna sibi a judicibus adjudicentur, sed ipse ultro, protinus ab excessu patris eorum possessionem capessit. Idem.

Ὡς δ' ἦν] Taylor in libro Tophanis reperit ὡς δ' οὐκ ἦν, quod non commemorassem, nisi legem hanc mihi scripsissem, ut nil eorum, quæ in schedis Tayloranis reperissem, omitterem, excludendæ calumniæ ergo. Nam extra controversiam est, quisquis ille fuit vir doctus, qui οὐκ istud intrusum ivit, eum a vero et ab oratoris sententia toto cœlo aberrasse. Idem.

Ἐπὶ ταύταις] Scil. ἐξεῖναι διαθέσθαι τὰ ἑαυτοῦ. *licere testamentum facere in eoque bona sua cui velit donare.* sed hic ut una quoque rationem filiarum habeat, et quibus bona deleget, iisdem una quoque filias deleget in matrimonio habendas.

μετὰ τῶν θυγατέρων ἔστι δοῦναι καὶ διαθέσθαι τὰ αὐτοῦ· ἄνευ δὲ τῶν γνησίων θυγατέρων οὐχ οἷόν τε οὔτε ποιήσασθαι οὔτε δοῦναι οὐδενὶ οὐδὲν τῶν ἑαυτοῦ. οὐκοῦν εἰ μὲν ἄνευ τῆς γνησίας θυγατρὸς τὸν Ἔνδιον Πύῤῥος ἐποιεῖτο υἱὸν αὐτῷ, ἄκυρος ἂν ἦν αὐτοῦ ἡ ποίησις κατὰ τὸν νόμον· εἰ δὲ τὴν θυγατέρα ἐδίδου καὶ ἐπὶ τούτῳ ποιησάμενος κατέλι-
5. 1 πε, πῶς ἂν ὑμεῖς ἐπετρέψατε ἐπιδικάζεσθαι, τῷ τοῦ Πύῤ- 59
ῥου θείῳ, τὸν Ἔνδιον τοῦ Πύῤῥου κλήρου ἄνευ τῆς γνησίας θυγατρὸς, εἰ ἦν ἐκείνῳ; ἄλλως τε εἰ [1] καὶ ἐμαρτυρήσατε ὡς ἐπέσκηψεν ὑμῖν ὁ ἀδελφιδοῦς ἐπιμελεῖσθαι τούτου τοῦ παιδίου. ἀλλ' ὦ γαθὲ, τοῦτο μὲν καὶ λαθεῖν φήσαιτ' ἂν ὑμᾶς· ὅτε δ' [2] ἐνεγύα καὶ ἐξεδίδου ὁ Ἔνδιος, τῇ γυναικὶ
5 ἐπετρέψετε ὑμεῖς οἱ θεῖοι τὴν τοῦ ἀδελφιδοῦ τοῦ ὑμετέρου 60
αὐτῶν ὡς ἐξ ἑταίρας οὖσαν ἐκείνῳ ἐγγυᾶσθαι, ἄλλως τε καὶ παραγενέσθαι φάσκοντες, ὅτε ὁ ἀδελφιδοῦς ὑμῶν [3] ἐνεγυᾶτο τὴν μητέρα τὴν ταύτης, κατὰ νόμους ἔξειν γυναῖκα, ἔτι δὲ καὶ ἐν τῇ δεκάτῃ [4] τῇ ταύτης κληθέντες συνεστιᾶσθαι· πρὸς δὲ τούτοις — τουτὶ γὰρ τὸ δεινόν ἐστιν —

[1] καὶ om. [2] ἐνεγγύα [3] ἐνεγγυᾶτο [4] τῇ om.

Ipsemet orator hanc legem in continenti sic interpretatur: μετὰ τῶν θυγατέρων ἐστὶ δοῦναι καὶ διαθέσθαι. Qui ergo hereditatem adire cupiebat, ei una quoque filia legatoris erat domum ducenda. Alterum sine altero habere non licebat. Idem.

Ποιήσασθαι] Sententia hæc est: si cui filia legitima est, idemque filium adoptare vult aliunde, facere id ei non licet, nisi si filius adoptatus sororem hanc suam adventitiam in matrimonium ducat. Idem.

Ἄνευ τῆς θυγατρὸς] Si Pyrrhus, habens filiam rite natam, illa filia spreta, posthabita, præterita, et dissimulatione transmissa. Idem.

Ἐπὶ τούτῳ] Aut *post hoc factum*, aut *sub hac conditione*, ut scil. filius adoptatus filiam patris adoptivi sibi datum acciperet et pro uxore haberet. Redibit ergo τούτῳ ad rem designatam. Malim tamen ἐπὶ ταύτῃ, ut paulo ante in formula legis erat ἐπὶ ταύταις, *sub conditione filiæ*, h. e. ut cum bonis etiam filiam aufferret, sin autem hanc recusaret, ut etiam illis careret. Idem.

Τῷ — θείῳ] Sic de meo dedi, dativis τῷ — θείῳ sufficiens vocativos numeri dualis. *vos duo avunculi Pyrrhi.* Idem.

Ἄλλως τε εἰ] Num ἄλλως τε καὶ εἰ. sic certe loqui solent. Idem est ac si dixisset: ἄλλως τε καὶ εἰ ἐπέσκηψεν ὑμῖν Πύῤῥος (ὥς γε ἐμαρτυρήσατε αὐτὸν ὑμῖν ἐπισκῆψαι τελευτῶντα), *præsertim si Pyrrhus moriens vobis mandavit (id quod eum mandasse vos testati estis).* Idem.

Ὦ γαθὲ] Tametsi duos alloquitur, singularem tamen usurpat, quod hac in formula loquendi perinde usitatum est, atque est φέρε cum plurali. Idem.

Τῇ γυναικὶ] Philæ. Cohæret hic dativus cum ἐπετρέψετε. nam si cum ἐξεδίδου cohæreret, deberet τὴν γυναῖκα dixisse, et pro ἐγγυᾶσθαι, item ἐγγυᾶν. Propterea Ἔνδιος separavi a τῇ γυναικὶ commate interponendo. Taylor in Tophanis libro etiam reperit τὴν γυναῖκα, ut aliquando suspicabar leg. esse. Sed redii ab illo errore. Idem.

Τοῦ ἀδελφιδοῦ τοῦ ὑμετέρου] *vestri e sorore vestra nepotis*, Pyrrhi puta. Sic dedi de meo pro vulgati τοῦ ἀδελφοῦ τοῦ ἡμετέρου. *fratris nostri.* Idem.

Οὖσαν] Id est, γεγεννημένην. Idem.

Ἐκείνῳ] *illi*, Pyrrho puta. Idem.

Συνεστιᾶσθαι] Pendet hic infinitivus e præmisso φάσκοντες. malim tamen συνεστιᾶσθαι, in infinit. præteriti passivi, quod hic deponentialiter, seu in significatu activo, accipiendum, *coepulatos esse.* Idem.

ἐπισκῆψαι φάσκοντες ὑμῖν τὸν ἀδελφιδοῦν ἐπιμελεῖσθαι τούτου τοῦ παιδίου, οὕτως ἐπεμελήθητε ὥστ' ἐᾶσαι ὡς ἐξ ἑταίρας οὖσαν αὐτὴν ἐγγυᾶσθαι, ἄλλως τε καὶ ἔχουσαν τοὔνομα τῆς ὑμετέρας αὐτῶν ἀδελφῆς, ὡς ἐμαρτυρεῖτε.

ια'. Ἐκ τοίνυν τούτων, ὦ ἄνδρες, καὶ ἐξ αὐτοῦ τοῦ
61 πράγματος ῥᾴδιόν ἐστι γνῶναι ὅσον ἀναισχυντότατοι ἀνθρώπων εἰσὶν οὗτοι. τίνος γὰρ ἕνεκα, εἰ ἦν γνησία θυγάτηρ τῷ ἡμετέρῳ θείῳ καταλειπομένη, ποιησάμενος ὁ θεῖος κατέλιπε τὸν ἐμὸν ἀδελφὸν υἱὸν ἑαυτῷ; πότερον, ὅτι προσήκοντες αὐτῷ ἐγγυτέρω γένους ἡμῶν ἦσαν ἄλλοι, οὓς βουλόμενος τὴν ἐπιδικασίαν τῆς θυγατρὸς ἀποστερῆσαι ἐποιεῖτο τὸν ἀδελφὸν υἱὸν αὐτῷ; ἀλλ' οὔτε ἐγένετο οὔτ' ἔστι. μὴ γενομένων δὲ παίδων γνησίων ἐκείνῳ ἐγγυτέρω ἡμῶν [1] οὐδὲ εἷς· ἀδελφὸς μὲν γὰρ οὐκ ἦν αὐτῷ οὐδ' ἀδελφοῦ παῖδες, ἐκ δὲ τῆς ἀδελφῆς ἡμεῖς ἦμεν αὐτῷ. ἀλλὰ νὴ Δία ἄλλον τινὰ ποιησάμενος τῶν συγγενῶν ἔδωκεν ἂν ἔχειν τὸν κλῆρον καὶ τὴν θυγατέρα τὴν ἑαυτοῦ; καὶ τί [2] αὐτὸν ἔδει καταφανῶς καὶ ὁτῳοῦν ἀπέχθεσθαι τῶν οἰκείων, ἐξὸν, εἴπερ ἦν ἐγγυημένος τὴν ἀδελφὴν τὴν Νικοδήμου, τὴν θυγατέρα τὴν ἐκ ταύτης ἀποφανθεῖσαν εἶναι εἰς τοὺς φράτορας εἰσαγαγόντι ὡς οὖσαν γνησίαν ἑαυτῷ, ἐπὶ ἅπαντι τῷ κλήρῳ ἐπίδικον καταλιπεῖν αὐτὴν, καὶ ἐπισκῆψαι τῶν γιγνομένων τῆς
62 θυγατρὸς παίδων εἰσαγαγεῖν υἱὸν ἑαυτῷ. δῆλον μὲν γὰρ, ὅτι ἐπίκληρον [3] καταλιπὼν ἀκριβῶς ἂν ᾤδει ὅτι δυοῖν θάτερον ἔμελλεν ὑπάρχειν αὐτῇ· ἢ γὰρ ἡμῶν τινὰ τῶν ἐγγύτατα γένους ἐπιδικασάμενον ἔξειν γυναῖκα, ἢ εἰ μηδεὶς ἡμῶν ἐβούλετο λαμβάνειν, τῶν θείων τινὰ τούτων τῶν [4] νῦν μαρτυρούντων, εἰ δὲ μὴ, τῶν ἄλλων τινὰ συγγενῶν

[1] οὐδείς [2] ἐξῆν αὐτὸν καταφ. [3] μὲν καταλιπὼν [4] νῦν om.

Ἀδελφῆς] Liquido paret ex hoc vocabulo, isterum θείαν, quos hæc oratio crebro commemorat exagitatque, et alloquitur etiam, atque adeo increpat, nepotem fuisse Pyrrhum, non ex fratre, sed ex sorore ipsorum. Recte propterea illos *avunculos* appellavi, non *patruos*. Idem.

Ἐγένετο — ἐστὶ] Scil. Pyrrho filia rite nata. Idem.

Ἐπὶ ἅπαντι τῷ κλήρῳ] *ea lege ut illa sola cuncta hereditate potiretur*. Idem.

Τῶν γιγνομένων τῆς θυγατρὸς παίδων] Subaudi ὀντιναοῦν. sed pro τῆς θυγατρὸς malim ἐκ τῆς θ. tametsi haud infitiabor vulgatam ferri posse. Idem.

Ἐπίκληρον] *Dotalem. In Leg. Att.* l. vi. tit. 1. §. 9. Petit. *Dotalem* verti non possum probare. *Unicas* vulgo [sc. ἐπικλήρους] appellamus et *hereditarias. De Mod. Usur.* c. 4. p. 167. Salmas. Cf. Herald. Anim. in Salmas. ad Jus A. et R. l. iii. c. 15. et Not. in Demosth. or. κ. Στεφ. ψευδομ. Β.

Τούτων τῶν μαρτυρούντων] Num τούτων τῶν Ξενοκλεῖ μαρτυρούντων. aut sic τινὰ τῶν τούτῳ [Xenocli puta] μαρτ. Reisk.

τὸν αὐτὸν τρόπον περὶ πάσης τῆς οὐσίας ἐπιδικασάμενον κατὰ τοὺς νόμους ἕξειν ταύτην γυναῖκα. οὐκοῦν ἐκ μὲν τοῦ τὴν θυγατέρα εἰς τοὺς φράτορας εἰσαγαγεῖν καὶ μὴ ποιή-
30 σασθαι τὸν ἐμὸν ἀδελφὸν υἱὸν αὐτῷ [1] ταῦτα διεπράξατο· ἐκ δὲ τοῦ τὸν μὲν ποιήσασθαι, τὴν δὲ μὴ εἰσαγαγεῖν, τὴν μὲν νόθην, ὥσπερ αὐτῷ προσῆκε, καὶ ἄκληρον κατέστησε, τὸν δὲ κληρονόμον κατέλιπε τῶν ἑαυτοῦ. ἀλλὰ μὴν ὥς γε οὔτε γαμηλίαν εἰσήνεγκεν ὁ θεῖος ἡμῶν, οὔτε τὴν θυγατέρα, ἣν φασι γνησίαν αὐτῷ εἶναι οὗτοι, εἰσαγαγεῖν εἰς τοὺς φράτορας ἠξίωσε, καὶ ταῦτα [2] νόμου ὄντος αὐτοῖς, ἀναγνώ-
35 σεται δὲ ὑμῖν τὴν τῶν φρατόρων τῶν ἐκείνου μαρτυρίαν. 63
ἀναγίνωσκε· σὺ δ' ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΙΑ.

λάβε [3] δὲ καὶ ὡς ἐποιήσατο τὸν ἐμὸν ἀδελφὸν υἱὸν αὐτῷ.

ΜΑΡΤΥΡΙΑ.

ιϛ'. Εἶτα ὑμεῖς τὴν Νικοδήμου μαρτυρίαν τῶν αὐτοῦ τοῦ θείου ἐκμαρτυριῶν πιστοτέραν [4] ἡγήσεσθε εἶναι, καὶ τὴν 64
οὕτω κοινὴν τοῖς βουλομένοις γεγενημένην, ταύτην ἐπιχει-
40 ρήσει τις ὑμᾶς πείθειν ὅτι ἐγγυητὴν γυναῖκα ὁ ἡμέτερος θεῖος ἔσχεν; ἀλλ' ὑμεῖς, [5] ὡς ἔγωγ' οἶμαι, οὐ πιστεύσετε, ἐὰν μὴ ἀποφαίνῃ ὑμῖν, ὅπερ ἀρχόμενος εἶπον τοῦ λόγου,

[1] ταῦτ' ἂν [2] τοῦ νόμου [3] δὲ om. [4] ἡγεῖσθε
[5] ὡς ἔγωγ' οἶμαι om.

Τοῦ νόμου ὄντος αὐτοῖς, ἀναγνώσεται δὲ] Dubium nullum est, quin h. l. nonnulla desint. Nam tametsi αὐτοῖς referas ad φράτορας, ut sententia sit: cum hoc fieri penes eos, phratoras puta, usu et ritu vetusto sancitum sit, tamen videtur, hoc si voluisset dicere, dicturus fuisse non τοῦ νόμου ὄντος αὐτοῖς, sed potius τούτου νομίμου ὄντος αὐτοῖς. Deinde istud δὲ redundaret. Quicquid est, etiamsi serves illa τοῦ νόμου ὄντος αὐτοῖς, et subaudias τοῦ κελεύοντος ταῦτα οὕτω γίγνεσθαι, tamen δὲ foret exterminandum. Magis tamen huc propendet animus, ut leg. suspicer: τοῦ νόμου ὄντος, *cum esset lex ita fieri præcipiens*, αὐτοὶ μεμαρτυρήκασιν, *ipsi phratores testati sunt*. Ἀναγώσεται δὲ ὑμῖν — sic bene omnia secum constat, atque cohærent. Idem.

Ἀναγίνωσκε σὺ δὲ] Prius illud ἀναγίνωσκε ad scribam convertitur, alterum autem σὺ δὲ ad servum publicum clepsydræ adstantem, eamque gubernantem, aquam infundentem, observantem, et inhibentem, ubi juberetur. Idem.

Λάβε καὶ ὡς] Malim λάβε καὶ τὴν [scil. μαρτυρίαν, τὴν ἀγορεύουσαν vel βεβαιοῦσαν], ὡς —. Idem.

Τοῦ θείου] Subaudi τοῦ ἡμετέρου. avunculi nostri Pyrrhi. Idem.

Ἐκμαρτυριῶν] Extestimonia Pyrrhi, ut vita defuncti, eoque haud valentis in judicio adstare et testimonium ore suo perhibere, appellat acta ejus, adoptationem Eudii puta, qua adoptatione Phila pro spuria declarata et ab hereditate Pyrrhi exclusa fuit; item hoc, quod filiam omisit in phratoras inducere. Idem.

Ἡγεῖσθε] Malim in futuro ἡγήσεσθε. Idem.

πρῶτον μὲν ἐπὶ τίνι προικὶ οὗτος ἐγγυῆσαι τῷ Πύῤῥῳ φησὶ
τὴν ἀδελφὴν, ἔπειτα πρὸς ὁποῖον ἄρχοντα ἡ ἐγγυητὴ γυνὴ
65 ἀπέλιπε τὸν ἄνδρα ἢ τὸν οἶκον τὸν αὐτοῦ, εἶτα παρ' ὅτου
ἐκομίσατο τὴν προῖκα αὐτῆς, ἐπειδὴ τετελευτηκὼς ἦν ᾧ φη-
σὶν αὐτὴν ἐγγυῆσαι· ἢ εἰ ἀπαιτῶν μὴ ἐδύνατο κομίσασθαι
ἐν εἴκοσιν ἔτεσιν, ὁποίαν δίκην σίτου ἢ τῆς προικὸς αὐτῆς 46.
ὑπὲρ τῆς ἐγγυητῆς γυναικὸς ἐδικάσατο τῷ ἔχοντι [1]τὸν
Πύῤῥου κλῆρον οὗτος· ἔτι δ' πρὸς τούτοις ἐπιδειξάτω [2]ὅτῳ
πρότερον ἢ ὕστερον [3]ἐνεγύησεν οὗτος τὴν ἀδελφὴν, ἢ εἰ ἐξ
ἄλλου τινὸς γεγενημένοι εἰσὶ παῖδες αὐτῇ. ταῦτα οὖν ἀξιοῦ-
τε συνθάνεσθαι παρ' αὐτοῦ, καὶ περὶ τῆς τοῖς φράτορσι 5
66 γαμηλίας μὴ ἀμνημονεῖτε. οὐ γὰρ τῶν ἐλαχίστων πρὸς
τὴν τούτου μαρτυρίαν τεκμήριόν ἐστι τοῦτο. δῆλον γὰρ ὅτι,
εἰ ἐπείσθη ἐγγυήσασθαι, ἐπείσθη ἂν καὶ γαμηλίαν ὑπὲρ
αὐτῆς τοῖς φράτορσιν εἰσενεγκεῖν καὶ εἰσαγαγεῖν τὴν ἐκ
ταύτης ἀποφανθεῖσαν θυγατέρα ὡς γνησίαν οὖσαν αὐτῷ,
καὶ [ἐν τε τῷ δήμῳ] [4]κεκτημένος τὸν τριτάλαντον οἶκον,
εἰ ἦν γεγαμηκὼς, ἠναγκάζετο ἂν ὑπὲρ τῆς γαμετῆς γυναι- 10

[1] τοῦ [2] ὅτι [3] ἐνεγγύησεν [4] κεκτημένην

Πρὸς ὁποῖον ἄρχοντα ἡ ἐγγυητὴ ἀπέλιπε τὸν ἄνδρα] Quis ille sit Archon Eponymus, ad cujus tribunal mulier Pyrrho nupta, soror Nicodemi, accesserit, denuncians, se decrevisse domum Pyrrhi relinquere, ideoque dotem suam reposcere, atque flagitare, ut Archon operam det, ut ea dos a Pyrrho exigatur sibique restituatur. Arguit orator ex dote, si tua soror, Nicodeme, aiens, reapse Pyrrhi fuit uxor, necesse est ut dotem recuperarit, sive ultro maritum superstitem adhuc deseruit, sive vidua facta per ejus excessum. Sive prius ais factum, nomina Archontem, penes quem tua soror professa est, se sponte sua e domo Pyrrhi, mariti, excedere. Sin posterius, doce illi ab herede Pyrrhi redditam esse dotem e bonis defuncti. IDEM. Cf. Petit. in Legg. Att. l. vi. tit. iii.

Ἐκομίσατο] Nicodemus puta. Quanquam enim in superioribus fingebatur Nicodemus, argumenti gratia, negans dotem a se sorori, Pyrrho nubenti, additam; nunc tamen, item arguendi ergo, fingitur idem sorori dotem addidisse. Nam si negaret se dotem sorori addidisse, tantundem faciebat, ac si planis verbis negaret, inter Pyrrhum et sororem suam matrimonii necessitudinem ullam unquam fuisse. IDEM.

Τοῦ Πύῤῥου] Malim τὸν Π. IDEM.

Ὕστερον ἐνεγγύησεν] Taylor in libro Tophanis ἢ interpositum reperit. quod ἢ cur sit interponendum, ego equidem causæ nil video. IDEM.

Ἢ εἰ] Rursus Tophanes ille, quisquis fuit, ἢ delet. Ego vero, si quid h. l. delendum sit, non ἢ delendum aio, quod potius tenaciter est servandum, sed εἰ. Verum ne hoc ipsum quidem loco est submovendum. nam bene habet, idemque valet, ac si dixisset: ἢ ὅτι ἐξ ἄλλου τινὸς (εἴ τις ἄλλος τοιοῦτός ἐστι) γεγενημένοι εἰσὶ παῖδες αὐτῇ. *aut alium demonstrato, si quis alius est, e quo illa liberos honesto et legitimo modo pepererit.* IDEM.

Ἐν τε τῷ δήμῳ] Quatuor hæc vocabula ut supervacanea et inutilia, et perperam e p. 81. 2., ubi vera eorum sedes est, huc translata, uncis inclusi. IDEM.

Κεκτημένην] Sic dedi de meo pro vulgari κεκτημένῃ. Taylor e libro Tophanis κεκτημένος annotaverat. IDEM.

Ἠναγκάζετο ἂν] Videtur δ' interponendum esse. Necesse vero quoque habuisset, nomine uxoris alias matronas per occasionem Thesmophoriorum lautis et solennibus epulis excipere, aliasque fungi

κὸς καὶ Θεσμοφόρια ἑστιᾶν τὰς γυναῖκας, καὶ τἆλλα ὅσα προσῆκε λειτουργεῖν ἐν τῷ δήμῳ ὑπὲρ τῆς γυναικὸς ἀπό γε οὐσίας τηλικαύτης. οὐ τοίνυν φανεῖται οὐδὲν τούτων γεγενημένον οὐδεπώποτε. οἱ μὲν οὖν φράτορες μεμαρτυρήκασιν 67
ὑμῖν. λάβε δὴ καὶ τὴν τῶν δημοτῶν [1] τῶν ἐκείνου μαρτυρίαν.

[1] τῶν om.

functiones onerosas, quas mariti alii uxorum loco atque nomine obire solent. IDEM.

Ἑστιᾶν τὰς γυναῖκας] Sic correxi, secundum Scaligerum et Canterum Var. Lect. 8, 14. [et Valckenaer. in fin. Diatrib.]vitium vulgatarum ἐστὶ αὐτὰς γυναῖκας. Stephanus in margine admonuit sibi videri leg. ἐς τοιαύτας γυναῖκας. sed hoc foret bonam orationem corrumpere, et sententiam conturbare. IDEM.

Μαρτυρίαν] Adde titulum ΜΑΡΤΥΡΙΑ. IDEM.

Δ.

ΙΣΑΙΟΥ

[1]ΠΕΡΙ ΤΟΥ ΝΙΚΟΣΤΡΑΤΟΥ ΚΛΗΡΟΥ.

Pag. ed. Reisk. 67 — Pag. ed. H. Stepl 46. 20

ΥΠΟΘΕΣΙΣ.

Νικοστράτου ἐν ὑπεροχίᾳ τελευτήσαντος, [2]Ἄγνων καὶ Ἀγνόθεος [3]ὡς ὄντες ἀνεψιοὶ ἐκ [4]πατραδέλφων ἀμφισβητοῦσι τοῦ κλήρου πρὸς Χαριάδην, φάσκοντα κληρονόμον αὐτοῦ εἶναι κατὰ δόσιν, ὅ ἐστι κατὰ διαθήκας. Ἰσαῖος οὖν ὁ ῥήτωρ, ὡς συγγενὴς ὢν τῶν περὶ τὸν Ἄγνωνα, λέγει συνηγορῶν αὐτοῖς. Ἡ στάσις, στοχασμός.

α΄. ΕΠΙΤΗΔΕΙΟΙ μοι τυγχάνουσιν, ὦ ἄνδρες, ὄντες Ἄγνων τε οὗτοσὶ καὶ Ἀγνόθεος, καὶ ὁ πατὴρ αὐτῶν ἔτι
68 πρότερον. εἰκὸς οὖν μοι δοκεῖ εἶναι, ὡς ἂν οἷός τε ὦ, συνεῖπεῖν αὐτοῖς.

β΄. Περὶ μὲν οὖν τῶν ἐν τῇ ὑπεροχίᾳ πραχθέντων οὔτε μάρτυρας ἐξευρεῖν οἷόν τε, οὔτε τοὺς ἀντιδίκους, ἐάν τι ψεύδωνται, ἐλέγχειν ῥᾴδιον, διὰ τὸ μηδέτερον τούτων ἐκεῖσε ἀφῖχθαι· τὰ δ' ἐνθάδε συμβεβηκότα δοκεῖ [5]μοι ὑμῖν ἱκανὰ γενέσθαι ἂν τεκμήρια, ὅτι ἅπαντες οἱ κατὰ τὴν δόσιν [6]τῶν Νικοστράτου ἀμφισβητοῦντες ἐξαπατῆσαι ὑμᾶς βούλονται. πρῶτον μὲν οὖν, ὦ ἄνδρες, περὶ τῆς τῶν ὀνομάτων

[1] ΥΠΕΡ. [2] Ἄγνων — Ἀγνόθεος et sic passim. [3] ὡς om. [4] πατραδέλφων [5] μοι συμβ. δοκεῖ [6] τοῦ

Ἐπιτήδειοί μοι τυγχάνουσιν ὄντες] Ex hoc loco certo colligi nequit, verum esse id, quod auctor argumenti, quisquis fuit, ait, Isæum ipsum hanc causam egisse, ut cognatum eorum quorum causa hic agitur. Nam neque ἐπιτήδειοι sunt cognati, sed solummodo familiares, neque e μοι tuto colligatur, oratorem hic e persona sua loqui; potest enim hæc oratio non minus illi convenire, qui Isæum mercede ad scribendum conduxerat. Reisk.

Ὁ πατὴρ αὐτῶν] Thrasippus, ut e p. 90. 16. constat. Idem.

Μηδέτερον τούτων] Hagnonem designat et Hagnotheum. Idem.

Ἐκεῖσε] *illuc locorum*, ubi Nicostratus diem supremum obiit. Idem.

Μοι] Cohæret, non cum proximo συμβεβηκότα, sed cum remotiore δοκεῖ. Idem.

Τοῦ Νικοστράτου] Malim τῶν N. vulgatam si defendas, ad τοῦ subaudiri debebit κλήρου. Idem.

Περὶ τῆς τῶν ὀνομάτων ἐπιγραφῆς] Quomodo partes de Nicostrati hereditate inter se contendentes, in libellis petitoriis judicio exhibitis Nicostrati nomen ediderint. Nam Hagno quidem atque Hagnotheus in libello suo hereditatem ejus Nicostrati petierant, qui esset filius Thrasymachi. Chariades autem, et advocati ejus, istorum competitores, alium Nicostratum, Smicri filium, ediderant. Poterant itaque actores excusare, non de eadem hereditate agi, neque eandem ab adversariis, atque abs se, peti. Idem.

ἐπιγραφῆς ἄξιόν ἐστιν ἐξετάσαι, καὶ σκέψασθαι ὁπότεροι 69
ἁπλούστερον καὶ κατὰ φύσιν μᾶλλον τὰς λήξεις ἐποιήσαντο. Ἄγνων μὲν γὰρ οὗτοσὶ καὶ Ἀγνόθεος Θρασυμάχου ἐπεγράψαντο τὸν Νικόστρατον, καὶ ἑαυτοὺς ἐκείνῳ ἀνεψιοὺς ἀποφαίνουσι, καὶ τούτων μάρτυρας παρέχονται· Χαριάδης δὲ καὶ οἱ συνδικοῦντες αὐτῷ [1] Σμίκρου μὲν πατρὸς εἶναι φασὶ τὸν Νικόστρατον, ἀμφισβητοῦσι δὲ τοῦ Θρασυμάχου υἱοῦ κλήρου. καὶ οἵδε μὲν οὐδὲ προσποιοῦνται ἐκείνου τοῦ ὀνόματος οὔτε γινώσκειν οὔτε προσήκειν αὐτοῖς· φασὶ μὲν οὖν εἶναι Θρασυμάχου Νικόστρατον, τούτου δὲ ὁμοίως τῆς οὐσίας ἀμφισβητοῦσι. καὶ εἰ μὲν τὸ ὄνομα [2] πατρόθεν τὸ [3] αὐτὸ ὡμολόγουν εἶναι τοῦ Νικοστράτου, περὶ δὲ τοῦ κλήρου μόνου διεφέροντο, οὐδὲν ἂν ἔδει ὑμᾶς σκέψασθαι ἀλλ' εἴ τι διέθετο ἐκεῖνος ὁ Νικόστρατος, ὃν ἀμφότεροι ὡμο- 70
λόγουν· νῦν δὲ πῶς οἷόν τε τῷ ἀνδρὶ δύο πατέρας ἐπιγράψασθαι; τοῦτο γὰρ Χαριάδης πεποίηκεν· αὐτός τε γὰρ ἔλαχε τοῦ [1] Σμίκρου Νικοστράτου, τούτοις δὲ τοῦ Θρασυμάχου λαχοῦσι παρακατέβαλεν ὡς τὸν αὐτὸν ὄντα. ἔστι μὲν οὖν ἅπαντα ταῦτα ἐπήρεια καὶ παρασκευή. ἡγοῦνται γὰρ τούτους, ἀπλοῦ μὲν ὄντος τοῦ πράγματος καὶ μηδε-
47. 1 μιᾶς αὐτοῖς παραχῆς ἐγγιγνομένης, οὐ [4] χαλεπῶς ἐπιδείξειν ὅτι οὐδὲν Νικόστρατος διέθετο· ἐὰν δὲ μὴ τὸν πατέρα τὸν αὐτὸν εἶναι φῶσι, τοῦ δὲ κλήρου μηδὲν ἧττον ἀμφισβητῶσιν, ἀκριβῶς ἴσασιν ὅτι πλείονι λόγῳ εἰπεῖν [5] τουτουσὶ δείσει ὡς

[1] Σμικροῦ [2] πατρόθεν τὸ om. [3] αὐτοῦ
[4] χαλεπὸν [5] τούτοις

Συνδικοῦντες] Pro συναγορεύοντες, συνειπόντες. *In Anim. ad Jus A. et R.* l. iii. c. 10. §. 14. HERALDUS.

Οἵδε] Hagnon et Hagnotheus. REISK.

Οὐδὲ προσποιοῦνται] Π. οὐδὲν προσπ. H. STEPHAN. Nego esse. vulgata bene habet hic loci quidem. *ne affectant quidem*, nedum ut serio contendant. REISK.

Ἐκείνου τοῦ ὀνόματος] Nicostratum Smicri filium. IDEM.

Οὔτε γινώσκειν] Aut οὔτε τι γιν. leg. videtur, aut οὐδὲν οὔτε γιν. IDEM.

Ὁμοίως] Ad ὁμοίως videtur ἄμφω addendum esse. IDEM.

Αὐτοῦ] Malim αὐτό. ipsum solum nomen Nicostrati idem dicerent, sine accessione nominis paterni. IDEM.

Ἀλλ' εἰ] Bene si habet, accipi sic de bet, ac si dixisset: ἀλλὰ τοῦτο μόνον ἔδει σκέψασθαι, εἴ τι —. Neque vitii lectionem hanc incusabo. Dixissent tamen Lysias atque Demosthenes ἀλλ' ἢ εἰ — *nihil aliud, sed hoc solum quærere, num quid in tabulis testamenti præceperit.* Num autem Isaeus hoc, an illo modo scriptum reliquerit, ecquis certo definiet? IDEM.

Ὡς τὸν αὐτὸν ὄντα] Sunt accusativi absoluti. IDEM.

Τούτους] Hagnonem atque Hagnotheum. IDEM.

Οὐ χαλεπὸν] Imo vero οὐ χαλεπῶς. Nam alias constructio lababit; neque enim inter se constabunt τούτους et οὐ χαλεπόν. sed τούτοις dicendum fuisset et ἐπιδεικνύειν. IDEM.

Τούτοις] Imo vero τούτους. IDEM.

Νικόστρατος Θρασυμάχου ἦν ἢ ὡς οὐδὲν διέθετο. ἔτι δὲ καὶ ὁμολογοῦντες Θρασυμάχου μὲν εἶναι τὸν Νικόστρατον οὐκ ἂν εἶχον ἐξελέγξαι τούσδε ὡς οὐκ εἰσὶν ἐκείνῳ ἀνεψιοί· 5
71 ἄλλον δὲ πατέρα τῷ τεθνεῶτι κατασκευάζοντες οὐ μόνον περὶ τῶν διαθηκῶν ἀλλὰ καὶ περὶ τοῦ γένους λόγον ἐμβεβλήκασιν.

γ΄. Οὐκ ἐκ τούτων δὲ μόνον γνοίητ' ἂν ὅτι ἄλλοι τινές εἰσιν οἱ ταῦτα ἐπὶ τουτουσὶ ἐπάγοντες, ἀλλὰ καὶ ἐκ τῶν κατ' ἀρχὰς γεγενημένων. τίς γὰρ οὐκ ἀπεκείρατο, ἐπειδὴ τῷ [1] δύο ταλάντω ἑξάκις ἦλθετον; ἢ τίς οὐ μέλαν ἱμάτιον 10 ἐφόρεσεν, ὡς διὰ τὸ πένθος κληρονομήσων τῆς οὐσίας; ἢ πόσοι συγγενεῖς καὶ υἱεῖς κατὰ δόσιν προσεποιήσαντο τῶν Νικοστράτου; Δημοσθένης μέν γε ἀδελφιδοῦς ἔφη αὐτῷ εἶναι, ἐπειδὴ δ' ἐξηλέγχθη ὑπὸ τούτων, ἀπέστη· Τήλεφος δὲ δοῦναι αὐτῷ Νικόστρατον ἅπαντα τὰ ἑαυτοῦ, καὶ οὗτος
72 οὐ πολλῷ ὕστερον ἐπαύσατο· Ἀμινιάδης δὲ υἱὸν αὐτῷ πρὸς τὸν ἄρχοντα ἧκεν ἄγων οὐδὲ τριετῆ γεγονότα, καὶ ταῦτ' 15 οὐκ ἐπιδεδημηκότος τοῦ Νικοστράτου ἕνδεκα ἐτῶν Ἀθήνησι· Πύρρος δὲ ὁ Λαμπρεὺς τῇ μὲν Ἀθηνᾷ ἔφη τὰ χρήματα ὑπὸ Νικοστράτου καθιερῶσθαι, αὐτῷ δ' ὑπ' αὐτοῦ ἐκείνου δεδόσθαι· Κτῆσις δ' ὁ Βησαιεὺς καὶ Κραναὸς τὸ μὲν πρῶτον

[1] δύω

Θρασυμάχου μὲν] Transponenda videtur hæc duo vocabula. Verumtamem nimis et locis et temporibus, et natura et moribus, aliisque rebus distamus ab illis vetustis Græcis, quam ut certa de numero, seu rhythmo eorum pronunciare queamus. IDEM.

Ταῦτα] Scil. τὰ πράγματα. *has turbas contentionum forensium.* IDEM.

Ἐπὶ τουτουσὶ] Notanda poeticæ dictionis affectatio τουτουσὶ pro τούτους, Atticis non parum frequentata. IDEM.

Ἑξάκις] Commutetur in ἐξ Ἄκης. Ptolemaide, tum Ace dicta, mortuus fuerat mercator Nicostratus; illinc Athenas venere duo talenta. Vid. Harpocrat. in Ἄκη, H. Vales. p. 211., Demosth. p. 681. 29., et H. Relandi Palestina p. 537. *In fin. Diatrib.* VALCKENAER.

Ἤλθετον] Scil. εἰς κείρειν. Ecquis enim tandem non luctum testatus est coma tondenda super excessu Nicostrati, quandoquidem hereditas ab eo relicta, quæ duum est talentum, a sex competitoribus fuit petita, qui sunt hi, Demosthenes, Telephus, Amyniades, Pyrrhus, Ctesias, et Cranaus. Adde septimum Chariadem, et octavum, actorem hujus orationis. IDEM.

Υἱεῖς κατὰ δόσιν] Filii sunt factitii, adoptati per testamentum. Nam ejusmodi filiis patres quoque adoptivi bona sua donabant, seu legabant. IDEM.

Ἀμινιάδης] Π. Ἀμυνιάδης. H. STEPHAN. Quem credo verum vidisse. REISK.

Αὐτῷ] Nicostrato puta. cohæret cum γεγονότα. IDEM.

Λαμπρεὺς] Taylorus si audimus, rectius Λαμπτρεὺς scribetur. IDEM.

Αὐτῷ] *sibi*, Pyrrho puta. IDEM.

Ὑπ' αὐτοῦ ἐκείνου] Deesse videtur μέρος τι. aut, si nihil deest, sed bene h. l. habet, subjicere voluit orator atque derisui exponere prætensionis absurditatem. Ecquis enim sanus, quæ numini consecrata fuisse dixerit, eadem aiat sibi donata esse? IDEM.

Κτῆσις] Græcum nomen si est, forma ejus fœmininum genus potius prodit, quam

δίκην ἔφασαν τοῦ Νικοστράτου ταλάντου καταδεδικάσθαι, ἐπειδὴ δ' οὐκ εἶχον τοῦτο ἀποδεῖξαι, ἀπελεύθερον αὐτὸν
20 ἑαυτῶν προσεποιήσαντο εἶναι· καὶ οὐδ' οὗτοι ἃ ἔλεγον ἀπέδειξαν. καὶ οἱ μὲν εὐθὺς κατὰ τὰ πρῶτα ἐπὶ τὰ Νικοστράτου [1] ἄξαντες οὗτοί εἰσι· Χαριάδης δὲ τότε μὲν οὐδαμοῦ ἠμφισβήτησεν, ὕστερον δὲ οὐ μόνον αὐτὸς ἀλλὰ καὶ τὸ 73
ἐκ τῆς ἑταίρας παιδίον εἰσποιῶν ἦλθε. τοῦτο δ' ἦν αὐτῷ ὡς ἢ τῶν χρημάτων κληρονομήσοντι ἢ τὸ παιδίον ἀστὸν ποιήσοντι. αἰσθόμενος δὲ καὶ οὗτος ὅτι περὶ τοῦ γένους ἐλεγχθήσοιτο, τὴν μὲν τοῦ παιδίου ἀμφισβήτησιν παρέλυσεν,
25 ἑαυτῷ δὲ κατὰ δόσιν παρακατέβαλεν.

δ'. Ἐχρῆν μὲν οὖν, ὦ ἄνδρες, ὅστις κατὰ δόσιν χρημάτων ἀμφισβητῶν ἡττηθείη, μὴ κατὰ τὸ τέλος ζημιοῦσθαι, ἀλλ' ἐφ' ὅσαπερ ληψόμενος ἴη, τοσαῦτα τῇ πόλει ἀποτίνειν· οὕτω γὰρ οὐδ' οἱ νόμοι κατεφρονοῦντο οὔτε τὰ γένη ὑβρίζετο πρὸς τούτων, οὐδ' ἂν τῶν τεθνεώτων οὐδεὶς κατε- 74
ψεύδετο. ἐπειδὴ δὲ ἅπασι καὶ τῶν ἀλλοτρίων ἁπάντων,
30 καθ' ὅ τι ἄν τις βούληται, ἀμφισβητεῖν ἔξεστιν, ὑμᾶς χρὴ περὶ αὐτῶν ὡς οἷόν τε ἀκριβέστατα ἐξετάζειν καὶ μηδὲν εἰς ὅσον δύνασθε παραλείπειν. ἐν μόναις δὲ ταῖς τῶν κλήρων εἰσαγωγαῖς δοκεῖ μοι προσήκειν τεκμηρίοις μᾶλλον ἢ μάρτυσι πιστεύειν. περὶ μὲν γὰρ τῶν ἄλλων συμβολαίων οὐ πάνυ χαλεπὸν τοὺς τὰ ψευδῆ μαρτυροῦντας ἐλέγχειν·

[1] ἄξαντες

masculinum. Num ergo Κτησίας leg. est? Idem.

Ἄξαντες] Num ab ἄγειν, an ab ἀΐσσειν repetendum sit, quærant alii, ego in simpliciore, quod est ἄγειν, acquiesco. Idem.

Αὐτὸς] Subaudi e præmissis ἀμφισβητῶν τοῦ κλήρου. Idem.

Τοῦτο δ' ἦν αὐτῷ] Num sic nude dixerunt, pro τοῦτο δ' ἦν αὐτῷ ἐν νῷ, vel προκείμενον, vel ἐπιτέχνασμα, vel μηχάνημα, vel προὔργου, vel tale quid? *hoc agebat, hoc moliebatur.* Idem.

Κατὰ τὸ τέλος] Locus difficilis. dictio perambigua et inexplicabilis. Suspicabar aliquando tantundem hoc esse, atque κατ' ἐπωβελίαν. non solummodo sexta parte summæ universæ, quam valent bona petita, mulctari, sed tota summa. Nunc dubito, an potius significet, *pro censu.* Censebatur civis quisque, quantum in bonis haberet. atque pro isto censu major aut minor cuique mulcta irrogabatur. Quærant peritiores. Idem. Ionesius juxta Ulpianum τέλος h. l. explicat *auctoritatem magistratus,* et vertit Anglice: *should not be amerced by the limited power of the magistrate.* Citat porro Demosth. c. Macartat. §. ιζ'. fin.

Οὕτω γὰρ] Addi velim ἄν. Reisk.

Πρὸς τούτων] *ab his,* Chariade ejusque advocatis. non mala sententia. Suspicor tamen Isæum dedisse πρὸς τοσούτων. *a tot hominibus,* quot nempe sunt hi, quos toto die videmus in leges grassari. Idem.

Καὶ τῶν ἀλλοτρίων] Haud offendor. foret tamen fortius intortum, si καὶ τῶν ἀλλοτριωτάτων dixisset. Idem.

Ἁπάντων] Non cohæret cum ἀλλοτρίων, sed cum ἀμφισβητεῖν. Dicitur ἀμφισβητεῖν τινὸς pro *hereditatem alicujus in jure petere.* Ergo ἁπάντων ἀμφισβητεῖν est *hereditates hominum omnium quorumcunque tandem sibi vindicare de eoque jure experiri,* vel *totas hereditates.* Idem.

ζῶντος γὰρ καὶ παρόντος τοῦ πράξαντος καταμαρτυροῦσι· περὶ δὲ τῶν διαθηκῶν πῶς ἄν τις γνοίη τοὺς μὴ ταὐληθῆ 35
λέγοντας, εἰ μὴ πάνυ μεγάλα τὰ διαφέροντα εἴη, αὐτοῦ
75 μὲν καθ' οὗ μαρτυροῦσι τεθνεῶτος, τῶν δὲ συγγενῶν μηδὲν
τῶν πεπραγμένων εἰδότων, τοῦ δ' ἐλέγχου μηδαμῶς ἀκρι-
βοῦς γινομένου; ἔτι δέ, ὦ ἄνδρες, καὶ τῶν διατιθεμένων οἱ
πολλοὶ οὐδὲ λέγουσι τοῖς παραγινομένοις ὅ τι διατίθενται,
ἀλλ' αὐτοῦ μόνου τοῦ καταλιπεῖν διαθήκας μάρτυρας παρί-
σταται, τοῦ δὲ συμβαίνοντός ἐστι καὶ γραμματεῖον ἀλ- 40
λαγῆναι καὶ τἀναντία ταῖς τοῦ τεθνεῶτος διαθήκαις μετα-
γραφῆναι· οὐδὲν γὰρ μᾶλλον οἱ μάρτυρες εἴσονται, εἰ ἐφ' αἷς
ἐκλήθησαν διαθήκαις, αὗται ἀποφαίνοιντο. ὁπότε δὲ καὶ
τοὺς ὁμολογουμένως παραγενομένους οἷόν τ' ἐστὶν ἐξαπατῆ-
σαι, πῶς οὐκ ἂν ὑμᾶς γε τοὺς μηδὲν τοῦ πράγματος εἰδό-
τας πολὺ μᾶλλον ἑτοιμότερόν τις παρακρούσασθαι ἐγχει-
ρήσαι; ἀλλὰ μὴν καὶ ὁ νόμος, ὦ ἄνδρες, οὐκ ἐάν τις δια- 48. 1
θῆται μόνον, κυρίας εἶναι κελεύει τὰς διαθήκας, ἀλλὰ ἐὰν
εὖ φρονῶν. σκεπτέον [1] δὴ ὑμῖν πρῶτον μὲν εἰ ἐποιήσατο τὰς
76 διαθήκας, ἔπειτα εἰ μὴ παρανοῶν διέθετο. ἀντιλεγόντων δ'
ἡμῶν μηδὲ τὸ παράπαν γενέσθαι τὰς διαθήκας, ἐκ τίνος
ἂν τρόπου, εἴ τις παρανοῶν διέθετο, γνοίητε, πρὶν περὶ αὐ-
τοῦ τοῦ διαθέσθαι πιστεῦσαι; τοὺς μὲν οὖν κατὰ τὴν 5
δόσιν ἀμφισβητοῦντας ὁρᾶτε ὅσον ἔργον ἐστὶν αἰσθέσθαι
εἰ ἀληθῆ λέγουσι· τοὺς δὲ κατὰ τὸ γένος πρῶτον μὲν [2] οὐ-
δὲν δεῖ μάρτυρας παρασχέσθαι ὡς αὐτῶν ἐστὶν ὁ κλῆρος —
παρὰ πάντων γὰρ ὡμολόγηται τοῖς ἐγγυτάτω γένους τὰ
τοῦ τελευτήσαντος γίνεσθαι —, ἔπειτα οἱ νόμοι οὐ μόνον οἱ
περὶ τῶν γενῶν ἀλλὰ καὶ οἱ περὶ τῶν δόσεων τοῖς συγγε-

[1] δ' [2] οὐ

Τὰ διαφέροντα] Nisi nimium sit, quod altera partium contendentium, ut lucretur, aut perdat; nisi enormis sit discrepantia inter ambarum postulationes, altera parte nimis abhorrentia ab æquo et inconsentanea petente, aut affirmante ea, quæ prorsus sint improbabilia. Idem.

Τοῦ δὲ συμβαίνοντός ἐστι] Dictio rarior et minus crebro usitata, pro qua alius, idem significare volens, dixisset: συμβαίνει καθ' ἑκάστην ἡμέραν. quotidie contingit. est in numero rerum sæpe contingentium. Possit alio quoque modo, qui tamen mihi minus probatur, accipi, ut significet, *unde consequitur*, vel *quapropter consentaneum est*. nam τὸ συμβαῖνον Dialecticis est conclusio, seu id, quod e sumptis colligitur et velut efflorescit. Idem.

Ἀλλὰ ἐὰν] Videtur καὶ addendum esse. Idem.

Σκεπτέον δ' ὑμῖν] Malim σκ. δὴ ὑ. aut σκ. οὖν ὑμῖν. Idem.

Ἐκ τίνος τρόπου] Accipio h. l. pro διὰ τί. cur, *quamobrem*? Idem.

10 νέσι βοηθοῦσι. δοῦναι μὲν γὰρ ὁ νόμος οὐδενὶ ἐᾷ τὰ ἑαυτοῦ, ἐὰν ὑπὸ γήρως ἢ ὑπὸ νόσου ἢ ὑπὸ τῶν ἄλλων ἃ καὶ ὑμεῖς ἴστε παρανοήσῃ· κατὰ δὲ τὸ γένος καὶ τὰ τοῦ ὁπωσοῦν διακειμένου ὁ ἐγγύτατα γένους ἀναμφισβητήτως λαμβάνει. χωρὶς δὲ τούτων ταῖς μὲν διαθήκαις διὰ μαρτύρων ὑμᾶς δεῖ πιστεῦσαι, ὑφ' ὧν ἔνι καὶ ἐξαπατηθῆναι — οὐ γὰρ ἂν ἦσαν ψευδομαρτυριῶν ἐπισκήψεις —, τῇ δ' ἀγχιστείᾳ δι' 15 ὑμῶν αὐτῶν· κατὰ γὰρ τοὺς νόμους οἱ συγγενεῖς ἀμφισβητοῦσιν, οὓς ὑμεῖς ἔθεσθε. πρὸς δὲ τούτοις, ὦ ἄνδρες, εἰ μὲν [1]οἱ κατὰ τὰς διαθήκας ἀμφισβητοῦντες ὁμολογουμένως 77
τελευτήσαντος ἐκείνου δι' αὐτῶν ἔσοιτο ἡ οὐσία. καὶ τί
ποιοῦσιν; ἀπογράφουσι τῷ παῖδε τούτῳ πρὸς τὸν ἄρχοντα
ὡς εἰσποιήτω τοῖς τοῦ Εὐκτήμονος υἱέσι τοῖς τετελευτηκόσιν,
ἐπιγράψαντες σφᾶς αὐτοὺς ἐπιτρόπους, καὶ μισθοῦν ἐκέ-
λευον τὸν ἄρχοντα τοὺς οἴκους ὡς ὀρφανῶν ὄντων, ὅπως ἐπὶ
τοῖς τούτων ὀνόμασι τὰ μὲν μισθωθείη τῆς οὐσίας, τὰ δὲ
ἀποτιμήματα κατασταθείη καὶ ὅροι τεθεῖεν, καὶ ζῶντος 60. 1
142 ἔτι τοῦ Εὐκτήμονος μισθωταὶ δι' αὐτοῦ γενόμενοι τὰς
προσόδους λαμβάνοιεν. καὶ ἐπειδὴ πρῶτον τὰ δικαστήρια
ἐπληρώθη, ὁ μὲν ἄρχων προεκήρυττεν, οἱ δ' ἐμισθοῦντο.
παραγενόμενοι δέ τινες ἐξαγγέλλουσι τοῖς οἰκείοις τὴν ἐπι-
βουλήν, καὶ ἐλθόντες ἐδήλωσαν τὸ πρᾶγμα τοῖς δικα-

[1] ΜΑΡΤΥΡΕΣ. om.

[2] καὶ om.

Πλείονος ἢ τριῶν ταλάντων] Scil. ἀπέδοτο, aut, si mavis ἀπέδοντο. Recte πλείονος ait. poterat πολλῷ πλείονος dicere, *multo pluris, quam 3 talentis*, imo ὀλίγου τεττάρων ταλάντων, *pæne quatuor talentis*. Summæ enim istæ consummatæ conficiunt tria talenta, 45. minas, hoc est, 4. talenta, minus 15. minis. Idem. Arithmeticen Reiskianam minus intelligit Ionesius.

Μάρτυρας] Post μάρτυρας deest titulus ΜΑΡΤΥΡΕΣ. Pro εἶχε malim εἶχον. *habebant*, illi fures. Reisk.

Μισθοῦν ἐκέλευον τὸν ἄρχοντα τοὺς οἴκους] Hoc in loco vides pupillorum οἴκους fuisse pluris licentibus in judicio locatos; οἴκους autem appellari, non agros aut ædes tantum, sed universas pupillorum facultates. οἶκον dixisse Homerum atque alios veterum τὴν οὐσίαν a Plutarcho observatum est. In foro autem Attico οἶκον ita sæpe appellabant: quare pupilli οἴκος sunt ejus facultates; et quia hic duorum pupillorum bona locari petebatur, οἴκους dicebat Isæus, non οἶκον; ac quod οἴκους dixerat, οὐσίαν postea appellat hoc eodem loco, χρήματα autem in ea de Hagniæ hered. p. 87. 25. ed. Steph. Idem de Aristarch. hered. p. 80. 2. ἡ μήτηρ ἡ ἐμὴ ἐν παντὶ τῷ οἴκῳ, i. e. ἐν πάσῃ τῇ οὐσίᾳ, ἐπὶ πᾶσι τοῖς χρήμασι, ἐπίκληρος ἐγένετο. Et de Dicæog. hered. p. 52. 11. ἐγίγνετο τῷ θείῳ τῷ ἡμετέρῳ υἱὸς ποιητὸς ἐπὶ παντὶ τῷ οἴκῳ. Ergo μισθοῦν τὸν οἶκον τῶν ὀρφανῶν est *pupillorum bona fruenda locare*. In Anim. ad Jus A. et R. l. iii. c. 6. §. 10. Heraldus.

Μισθωταὶ] Sic leg. esse, pro vulgari μισθωτὰς dudum ante videram, quam aut Scaligerani libri aut Tophanici excerptis potirer, in quibus ambobus accusativis nominativus est substitutus. Reisk.

Δι' αὐτοῦ] Bene ne sic habeat, an leg. sit δὴ vel δεῦθεν αὐτοῦ, *locatores quasi* vel *quippe ejus*, haud definiam. Idem.

Ἐμισθοῦντο] Ergone *conducebant*? cave sis credere. nullo modo. Imo vero ἐμίσθουν in activo. *aliis mercede annua elocatum ibant*. Sed v. Latina nostra. Idem.

5 σταῖς, καὶ οὕτως ἀπεχειροτόνησαν οἱ δικασταὶ μὴ μισθοῦν τοὺς οἴκους· εἰ δ' ἔλαθεν, ἀπολώλει ἂν ἅπασα ἡ οὐσία, καί μοι κάλει τοὺς παραγενομένους μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ἡ. Πρὶν μὲν τοίνυν τούτους γνωρίσαι τὴν ἄνθρωπον καὶ μετ' ἐκείνης ἐπιβουλεῦσαι Εὐκτήμονι, οὕτω πολλὴν οὐσίαν ἐκέκτητο Εὐκτήμων μετὰ τοῦ υἱέος [1] Φιλοκτήμονος, ὥςθ' ἅμα τε τὰ μέγιστα ὑμῖν λειτουργεῖν ἀμφοτέρους τῶν τε
10 ἀρχαίων μηδὲν πραθῆναι τῶν τε προσόδων περιποιεῖν, ὥςτ' 143
ἀεί τι προσκτᾶσθαι· ἐπειδὴ δ' ἐτελεύτησε Φιλοκτήμων, οὕτω διετέθη ἡ οὐσία, ὥςτε τῶν ἀρχαίων μηδὲ τὰ ἡμίσεα εἶναι λοιπὰ καὶ τὰς προσόδους ἁπάσας ἠφανίσθαι. καὶ οὐδὲ ταῦτα ἐξήρκεσεν αὐτοῖς διαφορῆσαι, ὦ ἄνδρες, ἀλλ' ἐπειδὴ καὶ ἐτελεύτησεν ὁ Εὐκτήμων, εἰς τοῦτο ἦλθον τόλμης ὥςτ' ἐκείνου κειμένου ἔνδον τοὺς μὲν οἰκέτας ἐφύλατ-
15 τον, ὅπως μηδεὶς ἐξαγγείλειε μήτε ταῖν θυγατέροιν μήτε τῇ γυναικὶ αὐτοῦ μήτε τῶν οἰκείων μηδενὶ, τὰ δὲ χρήματα ἔνδοθεν ἐξεφορήσαντο μετὰ τῆς ἀνθρώπου εἰς τὴν ὁμότοιχον οἰκίαν, ἣν ᾤκει μεμισθωμένος εἷς τούτων, Ἀντίδωρος ἐκεῖνος. καὶ οὐδ' ἐπειδὴ ἑτέρων πυθόμεναι ἦλθον αἱ θυγατέρες αὐτοῦ καὶ ἡ γυνὴ, οὐδὲ τότε ἠφίουν εἰσιέναι, ἀλλ' ἀπέκλεισαν τὴν θύραν, φάσκοντες οὐ προσήκειν αὐταῖς θάπτειν
20 Εὐκτήμονα· καὶ οὐδ' εἰσελθεῖν ἐδύναντο, εἰ μὴ μόλις καὶ περὶ ἡλίου δυσμάς. εἰσελθοῦσαι δὲ κατέλαβον ἐκεῖνον μὲν ἔνδον κείμενον δευτεραῖον, ὡς ἔφασαν οἱ οἰκέται, τὰ δ' ἐκ τῆς οἰκίας ἅπαντα ἐκπεφορημένα ὑπὸ τούτων. αἱ μὲν οὖν γυναῖκες, οἷον εἰκὸς, περὶ τὸν τετελευτηκότα ἦσαν· οὗτοι

[1] υἱέως

Ἀπεχειροτόνησαν] *sententia a se lata vetabant, ne fundi locarentur.* v. p. 127. 3. Paulo post malim ἔλαθον. IDEM.

Γνωρίσαι τὴν ἄνθρωπον] Id est, γνωρίμους αὐτῇ καὶ συνήθεις γενέσθαι. IDEM.

Ἅμα] Id est, ἐν ταὐτῷ. *ambos simul, eodem tempore.* Nonnihil conturbata constructio nil est quod quenquam offendat, passivo cum activis alternante. concinnius utique dixisset Demosthenes: ὥστε ἅμα τὰ μέγιστα ὑμῖν λειτουργούντων ἀμφοτέρων, τῶν τε ἀρχαίων μηδὲν πραθῆναι, καὶ τῶν προσόδων περιεῖναι vel περιγενέσθαι. IDEM.

Ἐξαγγείλειε] Scil. τοῦτο, τὸ κεῖσθαι ἔνδον τὸν Εὐκτήμονα τεθνεῶτα. IDEM.

Οὗτοι] Varie et admodum inconstanter usurpat. Hic loci designat Phanostratum et Chærestratum et eorum comites, quos illi secum adduxerant, ut testes rei præsentis esse possent, si opus foret aliquando eorum testimonio. οἱ ἀκολουθήσαντες sunt amici, qui eos ad domum defuncti comitati fuerant. Nam ἀκολουθεῖν non semper est *sequi*, sed etiam crebro *comitari*. Taylor h. l. οὔ τοι reperit in libro Tophanis. IDEM.

144 δὲ τοῖς ἀκολουθήσασι παραχρῆμα ἐπεδείκνυσαν τὰ ἔνδον
ὡς εἶχε, καὶ τοὺς οἰκέτας πρῶτον ἠρώτων ἐναντίον τούτων, 25
ὅποι τετραμμένα εἴη τὰ χρήματα. λεγόντων δ' ἐκείνων
ὅτι οὗτοι ἐξενηνοχότες εἶεν εἰς τὴν πλησίον οἰκίαν, καὶ
ἀξιούντων παραχρῆμα τῶνδε φωρᾶν κατὰ τὸν νόμον, καὶ
τοὺς οἰκέτας ἐξαιτούντων τοὺς ἐκφορήσαντας, οὐκ ἠθέλη-
σαν τῶν δικαίων οὐδὲν ποιῆσαι. καὶ ὅτι ἀληθῆ λέγω, λάβε
ταυτὶ καὶ ἀνάγνωθι.

145 θ'. Τοσαῦτα μὲν τοίνυν χρήματα ἐκ τῆς οἰκίας ἐκφο-
ρήσαντες, τοσαύτης δ' οὐσίας πεπραμένης τὴν τιμὴν ἔχον- 30
τες, ἔτι δὲ τὰς προσόδους τὰς ἐν ἐκείνῳ τῷ χρόνῳ γενομέ-
νας διαφορήσαντες, οἴονται καὶ [1] τῶν λοιπῶν κύριοι γενήσε-
σθαι· καὶ εἰς τοῦτο ἀναιδείας ἥκουσιν, ὥστ' εὐθυδικίᾳ μὲν
οὐκ ἐτόλμησαν εἰσελθεῖν, ἀλλὰ διεμαρτύρουν ὡς [2] ὑπὲρ
γνησίων ἅμα μὲν τὰ ψευδῆ, ἅμα δὲ [3] τἀναντία οἷς αὐ-
τοὶ ἔπραξαν· οἵτινες πρὸς μὲν τὸν ἄρχοντα ἀπέγραψαν
αὐτοὺς ὡς ὄντας, τὸν μὲν Φιλοκτήμονος, τὸν δ' Ἐργαμένους, 35
νῦν δὲ διαμεμαρτυρήκασιν Εὐκτήμονος εἶναι. καίτοι οὐδ' εἰ
γνήσιοι ἦσαν, εἰσποίητοι δὲ, ὡς οὗτοι ἔφασαν, οὐδ' οὕτω
146 προσῆκεν αὐτοὺς Εὐκτήμονος εἶναι· ὁ γὰρ νόμος οὐκ ἐᾷ
ἐπανιέναι, ἐὰν μὴ υἱὸν καταλίπῃ γνήσιον. ὥστε καὶ ἐξ ὧν

[1] τοῦ λοιποῦ [2] ἐπὶ [3] τὰ ἐναντία

Τούτων] H. l. designat adversarios, factionem Alces. Androclem, Antidorum, alios. Ad hos eosdem redit οὗτοι quoque proximum insequens. Idem.

Ἐκείνων] Servis Euctemonis puta. Idem.

Ἀξιούντων] Videtur quidem obiter locum inspicienti hoc ad eosdem redire, ad quos modo λεγόντων redibat. verum ratione loci diligentius pensitata paret, ἀξιούντων redire ad Phanostratum et Chærestratum eorumque comites. Hi sunt quos proximum τῶνδε designat. Idem.

Τῶνδε φωρᾶν] Sic dedi de meo, postmodum Scaligerum quoque nactus auctorem; pro vulgari τῶνδ' ἐφορᾶν. *his*, Chærestrato puta et Phanostrato cum consortibus. *æquum censentibus et urgentibus ut sibi liceret furtum investigare.* nam id est φωρᾶν. Invenio nunc a Petito quoque locum hunc recte emendatum p. 640. ed. Wessel. ubi plura invenies exempla verbi φωρᾶν hoc significatu usurpati. Idem.

Ἀνάγνωθι] Post hoc voc. deest titulus, quicunque est, sive μαρτυρία, testimonium testium confirmantium se interfuisse actui rerum, hic enarratarum, et eas ab actore vere enarratas esse, sive ἀνάγνωσις, sive κατάλογος, sive ἀπογραφὴ, index rerum ex Euctemonis domo furtim exportatarum. Idem.

Πεπραμένης] Sic dedi de meo pro vulgari πεπραγμένης. Nuper in Taylori quoque schedis eandem reperi emendationem, e libro Tophanis relatam. Idem.

Ὡς ἐπὶ γνησίων] Id est, ὡς ὄντων Εὐκτήμονι υἱέων γνησίων. Idem.

Γνήσιοι ἦσαν] Videtur μὲν interponendum. Idem.

Εἰσποιητοὶ δὲ] Subaudi ὑπὸ τοῦ πατρός. a patre emancipati, et collocati in aliena domo, alter quidem in Philoctemonis, alter autem in Ergamenis. Idem.

Ἔφασαν] Scil. αὐτοὺς γεγονέναι εἰσποιήτους. ut hi, spuriorum puta patroni, aiunt hos spurios emancipatos a patre fuisse. Idem.

Οὐκ ἐᾷ] Subaudi τινά. Idem.

Καταλίπῃ] Scil. ὁ ἐπανιών. Idem.

αὐτοὶ ἔπραξαν, ἀνάγκη τὴν μαρτυρίαν ψευδῆ εἶναι. καὶ εἰ μὲν τότε διεπράξαντο μισθωθῆναι τοὺς οἴκους, οὐκ ἂν ἔτι
40 ἦν τοῖσδε ἀμφισβητῆσαι· νῦν δὲ ἀποχειροτονησάντων τῶν δικαστῶν ὡς οὐδὲν αὐτοῖς προσῆκεν, οὐδὲ ἀμφισβητῆσαι τετολμήκασιν, ἀλλὰ πρὸς ὑπερβολὴν ἀναισχυντίας προσμεμαρτυρήκασι τούτους εἶναι κληρονόμους, οὓς ὑμεῖς ἀπεχειροτονήσατε.

ι'. Ἔτι δὲ καὶ τοῦ μάρτυρος αὐτοῦ σκέψασθε τὴν τόλμαν καὶ ἀναίδειαν, ὅστις εἴληχε μὲν αὐτῷ τῆς θυγατρὸς τῆς Εὐκτήμονος ὡς οὔσης ἐπικλήρου, καὶ αὐτοῦ τοῦ κλήρου 147
1. 1 τοῦ Εὐκτήμονος πέμπτου μέρους ὡς ἐπιδίκου ὄντος, μεμαρτύρηκε δ' Εὐκτήμονος υἱὸν εἶναι γνήσιον. καίτοι πῶς οὗτος οὐ σαφῶς ἐξελέγχει αὐτὸς αὑτὸν τὰ ψευδῆ μεμαρτυρηκότα; οὐ γὰρ δήπου γνησίου ὄντος υἱέος Εὐκτήμονι ἐπίκληρος ἂν [1] ἦν ἡ θυγάτηρ αὐτοῦ, οὐδὲ ὁ κλῆρος ἐπίδικος. ὡς τοίνυν ἔλαχε ταύτας τὰς λήξεις, ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

5 τοὐναντίον τοίνυν συμβέβηκεν ἢ ὡς ὁ νόμος γέγραπται· ἐκεῖ μὲν γάρ ἐστι νόθῳ μηδὲ νόθῃ εἶναι ἀγχιστείαν μήθ' ἱερῶν μήθ' ὁσίων ἀπ' Εὐκλείδου ἄρχοντος, Ἀνδροκλείδης δὲ καὶ Ἀντίδωρος οἴονται δεῖν, ἀφελόμενοι τὰς Εὐκτήμονος θυγατέρας τὰς γνησίας καὶ τοὺς ἐκ τούτων γεγονότας, τόν τε Εὐκτήμονος οἶκον καὶ τὸν Φιλοκτήμονος ἔχειν. καὶ ἡ διαφθείρασα
10 τὴν Εὐκτήμονος γνώμην καὶ πολλῶν ἐγκρατὴς γενομένη οὕτως ὑβρίζει σφόδρα πιστεύουσα τούτοις, ὥστε οὐ μόνον

[1] εἶη

Μαρτυρίαν] Rursus h. l. hoc voc. usurpat pro διαμαρτυρίαν. Idem.

Διεπράξαντο] Factio Alces designatur. Idem.

Τοῖσδε] Phanostrato et Chærestrato et consortibus. Idem.

Προσῆκεν οὐδὲ ἀμφισβητῆσαι] Videtur leg. προσήκει, οὐ μόνον ἀμφισβ. *nullum jus in hereditatem Euctemonis ipsis esse, non solummodo ausi sunt eam petere.* Idem.

Ἀλλὰ] Malim ἀλλὰ καὶ —. Idem.

Ἀναισχυντίας] Adde τετραμμένοι. *ad immanem conversi impudentiam.* Idem.

Ἀπεχειροτονήσατε] *latis suffragiis eos rejecistis et exsortes declarastis.* Sic correxi de meo vulgarium vitium ἐπεχ. quod, ut postmodum e Taylori schedis intellexi, liber Tophanis quoque pari modo correxit. Idem.

Τῆς θυγατρὸς] Chæreæ viduam designat. Idem.

Πέμπτου] Malim τοῦ πέμπτου cum articulo. Idem.

Ἀνδροκλείδης] Androclides qui hic appellatur, idem est cum eo, qui in superioribus constanter adhuc Androcles fuit appellatus. Perinde esse et nil differre utra forma, simplex an patronymica, in his usurpetur, alibi sæpe admonitum a nobis fuit. Idem.

Καὶ πολλῶν ἐγκρατὴς] Id est, καὶ οὕτω πολλῶν χρημάτων ἐγκρ. Idem.

Τούτοις] Androcle et Antidoro cæterisque conspiratis. Idem.

148 τῶν Εὐκτήμονος οἰκείων καταφρονεῖ, ἀλλὰ καὶ τῆς πόλεως ἁπάσης. ἀκούσαντες δὲ ἓν μόνον σημεῖον ῥᾳδίως γνώσεσθε τὴν ἐκείνης παρανομίαν. καί μοι λάβε τοῦτον τὸν νόμον.

ΝΟΜΟΣ.

ταυτὶ τὰ γράμματα, ὦ ἄνδρες, ὑμεῖς οὕτω σεμνὰ καὶ εὐσεβῆ ἐνομοθετήσατε, περὶ πολλοῦ ποιούμενοι καὶ πρὸς ταῦτα καὶ πρὸς τοὺς ἄλλους θεοὺς εὐσεβεῖν· ἡ δὲ τούτων 15 μήτηρ, οὕτως ὁμολογουμένη οὖσα δούλη καὶ ἅπαντα τὸν χρόνον αἰσχρῶς βιοῦσα, ἣν [1] οὔτε παρελθεῖν εἴσω τοῦ ἱεροῦ ἔδει [2] οὔτ' ἰδεῖν τῶν ἔνδον οὐδὲν, οὔσης τῆς θυσίας ταύταις ταῖς θεαῖς ἐτόλμησε συμπέμψαι τὴν πομπὴν καὶ εἰσελθεῖν εἰς τὸ ἱερὸν καὶ ἰδεῖν ἃ οὐκ ἐξὸν αὐτῇ. ὡς δὲ ἀληθῆ λέγω, ἐκ τῶν ψηφισμάτων γνώσεσθε, ἃ ἐψηφίσατο ἡ βουλὴ περὶ αὐτῆς. λάβε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

ιά. Ἐνθυμεῖσθαι τοίνυν χρὴ, ὦ ἄνδρες, πότερον δεῖ τὸν 20
149 ἐκ ταύτης τῶν Φιλοκτήμονος εἶναι κληρονόμον καὶ ἐπὶ τὰ μνήματα ἰέναι χεόμενον καὶ ἐναγιοῦντα, ἢ τὸν ἐκ τῆς ἀδελφῆς τοῦτον, ὃν υἱὸν αὐτὸς ἐποιήσατο· καὶ πότερον δεῖ τὴν ἀδελφὴν Φιλοκτήμονος, ἣ Χαιρέᾳ συνῴκησε, νῦν δὲ χηρεύει, ἐπὶ τούτοις γενέσθαι ἢ ἐκδοῦναι ὅτῳ [3] βούλονται ἢ ἐὰν καταγηράσκειν, ἢ γνησίαν οὖσαν ὑφ' ὑμῶν ἐπιδικασθεῖσαν συνοικεῖν ὅτῳ ἂν ὑμῖν δοκῇ. ἡ γὰρ ψῆφός ἐστι περὶ τούτων νυνί. τουτὶ γὰρ αὐτοῖς ἡ διαμαρτυρία δύναται, 25 ἵν' ὁ κίνδυνος τοῖσδε μὲν ᾖ περὶ τούτων, οὗτοι δὲ, κἂν νῦν

[1] οὐδὲ [2] οὐδ' [3] βούλωνται

Ταυτὶ τὰ γράμματα] Particulam nempe juris Attici recitaverat scriba agentem de Thesmophoriis et universe de sacris Cereris atque Proserpinæ. Idem.

Πρὸς ταῦτα] Servare lectionem hanc si volumus, saltim ταύτα penacute scribemus, ut sit accusativus in duali. hæc duo numina, Cererem atque Proserpinam. quia tamen hoc paulo est insolentius, malim, perspicuitatis ergo, et ut errori, aut dubitationi saltim occurratur, ταύτας in plurali exarari. circa has deas, quæ in Thesmophoriis a matronis vere Atticis et ingenuis colebantur, et quarum templum adire, neque ancillæ neque meretrici licebat. Sic paulo post ταύταις ταῖς θεαῖς, non ταύταιν θεαῖν. Idem.

Χεόμενον] Operam dantem, ut nomine suo inferiæ Dis Manibus [Philoctemonis puta] a sacerdote inferantur. Iterum non satis placet præsens tempus cum futuro copulatum. et rursus tamen nescio an χεούμενον minus in usu sit. Idem.

Τοῦτον] Chærestratum puta. Idem.

Ἐπὶ τούτοις] In potestate Alces et spuriorum, necnon Androclis et Antidori similiumque esse. Idem.

Τοῖσδε] Consanguineis Philoctemonis. Idem.

διαμάρτωσι τοῦ ἀγῶνος, δόξῃ δὲ ὁ κλῆρος ἐπίδικος εἶναι, ἀντιγραψάμενοι δὶς περὶ τῶν αὐτῶν ἀγωνίζωνται. καίτοι εἰ μὲν διέθετο Φιλοκτήμων μὴ ἐξὸν αὐτῷ, τοῦτ' αὐτὸ ἐχρῆν διαμαρτυρεῖν, ὡς οὐ κύριος ἦν [1] υἱὸν τόνδε ποιήσασθαι· εἰ δ' ἔξεστι μὲν διαθέσθαι, ἀμφισβητεῖ δὲ ὡς οὐ δόντος οὐδὲ 150
διαθεμένου, μὴ διαμαρτυρίᾳ κωλύειν ἀλλ' εὐθυδικίᾳ εἰσιέναι. νῦν δὲ πῶς ἄν τις περιφανέστερον ἐξελεγχθείη τὰ ψευδῆ μεμαρτυρηκὼς ἢ εἴ τις αὐτὸν ἔροιτο Ἀνδρόκλεις, πῶς οἶσθα Φιλοκτήμων ὅτι οὔτε διέθετο οὔτε υἱὸν Χαιρέστρατον ἐποιήσατο; οἷς μὲν γάρ τις παρεγένετο, δίκαιον, ὦ ἄνδρες, μαρτυρεῖν, οἷς δὲ μὴ παρεγένετο ἀλλ' ἤκουσέ τινος, ἀκοὴν μαρτυρεῖν· σὺ δ' οὐ παραγενόμενος διαῤῥήδην μεμαρτύρηκας ὡς οὐ διέθετο Φιλοκτήμων, ἀλλ' ἄπαις ἐτελεύτησε. καίτοι πῶς οἷόν τε εἰδέναι, ὦ ἄνδρες; ὅμοιον γὰρ ὥςπερ [2] ἂν εἰ φαίη εἰδέναι, καὶ μὴ παραγενόμενος, ὅσα ὑμεῖς πάντες πράττετε. οὐ γὰρ δὴ τοῦτό 151
γε ἐρεῖ, καίπερ ἀναίσχυντος ὢν, ὡς ἅπασι παρεγένετο καὶ πάντ' οἶδεν ὅσα Φιλοκτήμων ἐν τῷ βίῳ διεπράξατο. πάντων γὰρ αὐτὸν ἐκεῖνος ἔχθιστον ἐνόμιζε διά τε τὴν ἄλλην πονηρίαν, καὶ διότι τῶν συγγενῶν μόνος μετὰ τῆς Ἀλκῆς ἐκείνης τούτῳ καὶ τοῖς ἄλλοις συνεπιβουλεύσας τοῖς τοῦ Εὐκτήμονος χρήμασι τοιαῦτα διεπράξατο, οἷάπερ ὑμῖν ἀπέδειξα.

ιβ'. Πάντων δὲ μάλιστα ἀγανακτῆσαί ἐστιν ἄξιον, ὅταν

[1] τοῦδε

[2] ἂν om.

Οὗτοι] Adversarii istorum, cum Alce facientes. IDEM.

Τοῦδε] Imo vero τοῦ τόνδε. *hunc*, Chærestratum puta, *adoptandi*. IDEM.

Ἀμφισβητεῖ δὲ] Scil. prætensus Euctemonis filius, ille spurius, Euctemon junior. aut potius, id quod insequentia subjiciunt, Androcles, patronus ejus designatur. IDEM.

Ἢ τις] Π. ἢ εἴ τις. H. STEPHAN. SCALIG.

Ἀκοὴν μαρτυρεῖν] Sic, partim de meo, correxi vulgatam ἀκοῇ μαρτυρῶν. posterius vocabulum solum correxit H. Stephanus, prius intactum reliquit. Sententia hæc est: Sin autem Androcles ipse rei gestæ haud interfuerit, tum eum decuisset, non simpliciter μαρτυρεῖν, h. e. testari, ut de re sibi suis oculis visa et comperta, sed, cum cautione ἀκοὴν μαρτυρεῖν, auditionem testari, h. e. ut de re ab aliis sibi relata, fama comperta. Quod Taylor e libro Tophanis retulit, μὴ ἀκοῇ, ne commemoratione quidem dignum est; prodit enim, istum, qui id scriptum reliquit, quisquis fuit, a sententia loci aberrasse, eamque prorsus evertisse. REISK.

Οἷόν τε] Adde τοῦτον, aut τούτα. IDEM.

Τῶν συγγενῶν] Ergo Androcles etiam Philoctemonis cognatus erat? Atqui, qui poterat? si frater Alces fuit, id quod, ni fallor, e loco quodam hujus orationis colligi potest. IDEM.

Τούτῳ] Philoctemoni, vel potius Chærestrato. IDEM.

Χρήμασι] Aut παισὶ sufficiendum est huic vocabulo, aut ambo sic copulanda sunt παισὶ καὶ χρήμασι. nam cur alias τοῖς ἄλλοις dixisset? IDEM.

οὗτοι καταχρῶνται τῷ Εὐκτήμονος ὀνόματι τῷ [1]τουδὶ πάππῳ. εἰ γὰρ, ὡς οὗτοι λέγουσι, τῷ μὲν Φιλοκτήμονι μὴ ἐξῆν διαθέσθαι, τοῦ δ' Εὐκτήμονος ἐστὶν ὁ κλῆρος, πότερον δικαιότερον τῶν Εὐκτήμονος κληρονομεῖν τὰς ἐκείνου θυγα-
62. 1 τέρας, [2]ὁμολογουμένως οὔσας γνησίας, καὶ ἡμᾶς τοὺς ἐκ τούτων γεγονότας, ἢ τοὺς οὐδὲν προσήκοντας; οἱ οὐ μόνον 152
ἐξ ἡμῶν ἐλέγχονται, ἀλλὰ καὶ ἐξ ὧν αὐτοὶ οἱ ἐπίτροποι διαπεπραγμένοι εἰσί. τοῦτο γὰρ ὑμῶν δέομαι καὶ ἱκετεύω σφόδρα μεμνῆσθαι, ὦ ἄνδρες, ὅπερ ὀλίγῳ πρότερον ἀπέδειξα ὑμῖν, ὅτι [3]Ἀνδροκλῆς οὗτοσὶ φησὶ μὲν εἶναι ἐπίτροπος αὐ-
5 τῶν ὡς ὄντων γνησίων Εὐκτήμονος, εἴληχε δ' αὐτοῖς ἐφ' ἑαυτῷ τοῦ Εὐκτήμονος κλήρου [4]καὶ τῆς θυγατρὸς αὐτοῦ ὡς οὔσης ἐπικλήρου· καὶ ταῦτα μεμαρτύρηται ὑμῖν. καίτοι πῶς οὐ δεινὸν, ὦ ἄνδρες, πρὸς θεῶν Ὀλυμπίων, εἰ μὲν οἱ παῖδες εἰσὶ γνήσιοι, τὸν ἐπίτροπον ἑαυτῷ λαγχάνειν τοῦ Εὐκτήμονος κλήρου καὶ τῆς θυγατρὸς αὐτοῦ ὡς οὔσης ἐπιδίκου, εἰ δὲ μή εἰσι γνήσιοι, νῦν διαμεμαρτυρηκέναι ὡς εἰσὶ γνήσιοι; ταῦτα γὰρ αὐτὰ ἑαυτοῖς ἐναντία εἰσίν. ὥστ' οὐ
10 μόνον ὑφ' ἡμῶν ἐλέγχεται τὰ ψευδῆ διαμεμαρτυρηκώς, 153
ἀλλὰ καὶ ἐξ ὧν αὐτὸς πράττει. καὶ τούτῳ μὲν οὐδεὶς διαμαρτυρεῖ μὴ ἐπίδικον εἶναι τὸν κλῆρον, ἀλλ' εὐθυδικίᾳ εἰσιέναι· οὗτος δ' ἅπαντας ἀποστερεῖ τῆς ἀμφισβητήσεως. καὶ διαρρήδην μαρτυρήσας [5]γνησίους τοὺς παῖδας εἶναι, οἴεται ἐξαρκέσειν ὑμῖν παρεκβάσεις.

[1] τοῦδε [2] ὁμολογουμένας [3] ὁ Ἀνδρ. [4] καὶ τῆς - - - ἐπικλήρου om. [5] τοὺς παῖδας γνησίους

Τῷ τοῦδε πάππῳ] Imo vero τοῦ τοῦδε πάππου. qui Euctemon hujus Chærestrati avus maternus. Idem.

Ὁμολογουμένας οὔσας γνησίας] Non damnabo. potest ferri et defendi sic, ut dicatur tantundem valere, atque si dixisset: περὶ ὧν ὁμολογεῖται ὅτι εἰσὶ θυγατέρες γνήσιαι. v. p. 61. 15. ed. Steph. usus tamen loquendi potius adverbium ὁμολογουμένως h. l. subjicit. Idem.

Ἐξ ἡμῶν] Pro ὑφ' ἡμῶν, aut pro ἐκ τῶν εἰρημένων παρ' ἡμῶν, ἐκ τῶν ἡμετέρων ἐλέγχων. Idem.

Αὐτοῖς ἐφ' ἑαυτῷ] Malim aut αὐτὸς ἑαυτῷ, aut saltim αὐτὸς ἐφ' ἑαυτῷ. prius illud, simplex ἑαυτῷ, significat, ut ipse solus hereditate potiatur, vel privati sui commodi ergo. posterius autem, cum præpositione puta, ἐφ' ἑαυτῷ, significat, ex auctoritate, et voluntate mera sua, consiliis haud communicatis cum pupillis suis, sponte sua, ultro, proprio motu. Ego vero prius præfero, præsertim, cum statim insequatur τὸν ἐπίτροπον ἑαυτῷ λαγχάνειν. Idem.

Τούτῳ] Chærestrato puta, nemo operam præstat hanc, διαμαρτυρίαν opponat aliis eandem hereditatem petentibus. Idem.

Εἰσιέναι] Aut εἰσεισιν est leg. scil. Chærestratus, *init, capessit hanc actionem.* aut bene si habet infinitivus, addendum est, aut ante, aut post, ἀξιοῖ, aut simile quid, subaudi αὐτὸς αὑτόν. *ipse sibi hoc jus dicit, et æquum atque dignum se censet, ut causam hanc directa petitione capessat.* Idem.

Παρεκβάσεις] Adde λέγειν. vel συνείρειν vel tale quidpiam aliud. *disputationes conserere de rebus a causa alienissimis.* Idem.

ιγ'. Ἐὰν δὲ τοῦτο μὲν [1] μηδ' ἐγχειρήσῃ ἐπιδεικνύναι ἢ [2] καὶ κατὰ μικρόν τι ἐπιμνησθῇ, ἡμῖν δὲ λοιδορήσηται μεγάλῃ τῇ φωνῇ, καὶ λέγῃ ὡς εἰσὶν οἵδε μὲν πλούσιοι, αὐτὸς δὲ πένης, διὰ δὲ ταῦτα δόξειν τοὺς παῖδας εἶναι γνησίους. τῆς δὲ τούτων οὐσίας, ὦ ἄνδρες, εἰς τὴν πόλιν πλείω ἀνα- 154
λίσκεται ἢ εἰς αὐτοὺς τούτους. καὶ Φανόστρατος μὲν τετριηράρχηκεν ἑπτάκις ἤδη, τὰς δὲ λειτουργίας ἁπάσας λελειτούργηκε, καὶ τὰς πλείστας νίκας νενίκηκεν· οὗτοσὶ δὲ Χαιρέστρατος τηλικοῦτος ὢν τετριηράρχηκε, κεχορήγηκε δὲ τραγῳδοῖς, γεγυμνασιάρχηκε δὲ λαμπάδι· καὶ τὰς εἰσφορὰς εἰσενηνόχασιν ἀμφότεροι πάσας ἐν τοῖς τριακοσίοις. καὶ τέως μὲν δύ' ὄντες, νῦν δὲ καὶ ὁ νεώτερος οὗτοσὶ χορηγεῖ μὲν τραγῳδοῖς, εἰς δὲ τοὺς τριακοσίους ἐγγέγραπται καὶ 155
εἰσφέρει τὰς εἰσφοράς. ὥστ' οὐ φθονεῖσθαί εἰσιν ἄξιοι, ἀλλὰ πολὺ μᾶλλον, νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω, οὗτοι, εἰ λήψονται ἃ μὴ προσήκει αὐτοῖς. τοῦ γὰρ Φιλοκτήμονος κλήρου ἂν μὲν ἐπιδικάσηται ὅδε, ὑμῖν αὐτὸν ταμιεύσει, τὰ προσταττόμενα λειτουργῶν ὥσπερ καὶ νῦν, καὶ ἔτι μᾶλλον· ἐὰν δ' οὗτοι λάβωσι, διαφορήσαντες ἑτέροις ἐπιβουλεύσουσι.

ιδ'. Δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες, ἵνα μὴ ἐξαπατηθῆτε, τῇ διαμαρτυρίᾳ τὸν νοῦν προσέχειν περὶ ἧς τὴν ψῆφον οἴ-

[1] μὴ

[2] καὶ om.

Τοῦτο] Alces puta liberos, qui sunt spurii, eos esse, quos se ferunt, Euctemonis puta genuinos. Idem.

Οἵδε] Phanostratus, Chærestratus, eorumque necessarii. Idem.

Διὰ δὲ ταῦτα] *per has offucias et præstigias se effecturum, hi spurii ut vobis videantur genuini esse.* Pro δὲ malebat Stephanus δή. Non improbo. Verum tamen solet Græcis δὲ, cum in præmissis sæpe usurpatum fuit, ut h. l. factum est, etiamsi in apodosi sententiæ iterari. tametsi redundet. Redundat utique, sed ea copia in elegantiis numeratur, et æquivalet isti alteri, τῷ δή. quod si tamen sit, qui Stephano accedere malit, haud intercedam. Vel potius post γνησίους desunt quædam. Idem.

Τούτων] Phanostrati, et filiarum Euctemonis et reliquorum necessariorum. Idem.

Νίκας] Scenicas puta et similes. Idem.

Τηλικοῦτος ὢν] *adhuc puerulus cum esset, adhuc tantillus.* non significat Chærestratum ista ætate, qua causa hæc agebatur, adhuc puerum fuisse, qui erat tum vir jam adultus, sed functum esse muniis sumptuosis etiam tum, cum adhuc esset puer. Idem.

Ἀμφότεροι] Tam Phanostratus, quam filius ejus, Chærestratus. Idem.

Δύ' ὄντες] Scil. ἐχορήγουν ἅμα. munera edebant ambo, seorsim quisque pro se, suo nomine. Idem.

Ὁ νεώτερος] Junior natu filiorum Phanostrati. Idem.

Τοὺς τριακοσίους] Vix operæ pretium est annotare rem nemini non notam et tralatitiam, illos trecentos hic designari, qui, quod civium omnium haberentur locupletissimi, munera edebant, et onera reipublicæ sumptibus de suo faciendis allevabant. Idem.

Οὗτοι] Androcles cum factione. ad quos etiam proximum insequens οὗτοι versu 19. redit. Idem.

Ὅδε] Chærestratus puta. Idem.

σετε· καὶ πρὸς ταύτην αὐτὸν κελεύετε τὴν ἀπολογίαν ποι-
εῖσθαι, ὥσπερ καὶ ἡμεῖς κατηγορήσαμεν. γέγραπται ὡς
οὐκ ἔδωκεν οὐδὲ διέθετο Φιλοκτήμων· τοῦτο ἐπιδέδεικται
ψεῦδος ὄν· καὶ γὰρ ὁ δοὺς καὶ ὁ διαθέμενος, καὶ μαρτυ- 30
156 ροῦσιν οἱ παραγενόμενοι. τί ἔτι; τελευτῆσαι ἄπαιδα Φι-
λοκτήμονα. πῶς οὖν [1] ἄπαις ἦν ὅστις τὸν ἑαυτοῦ ἀδελφι-
δοῦν υἱὸν ποιησάμενος κατέλιπεν, ᾧ ὁμοίως ὁ νόμος τὴν
κληρονομίαν ἀποδίδωσι καὶ τοῖς ἐκ αὐτοῦ [2] γενομένοις;
καὶ διαῤῥήδην ἐν τῷ νόμῳ γέγραπται, ἐὰν ποιησαμένῳ παῖ-
δες ἐπιγένωνται, τὸ μέρος ἑκάτερον ἔχειν τῆς οὐσίας καὶ
κληρονομεῖν ὁμοίως ἀμφοτέρους. ὡς οὖν εἰσὶ γνήσιοι οἱ παῖ- 35
157 δες οἵδε, τοῦτ' αὐτὸ ἐπιδεικνύτω, ὥσπερ ἂν ὑμῶν ἕκαστος.
οὐ γὰρ ἂν εἴπῃ μητρὸς ὄνομα, γνήσιός ἐστιν, ἀλλ' [3] ἐὰν
ἐπιδεικνύῃ ὡς ἀληθῆ λέγει, τοὺς συγγενεῖς παρεχόμενος,
τοὺς εἰδότας συνοικοῦσαν τῷ Εὐκτήμονι, τοὺς δημότας καὶ
τοὺς φράτορας, εἴ τι ἀκηκόασι πώποτε ἢ ἴσασιν ὑπὲρ αὐ-
τῆς Εὐκτήμονα λειτουργήσαντα· ἔτι δὲ ποῦ τέθαπται, ἐν
ποίοις μνήμασι· τίς [4] εἶδε τὰ νομιζόμενα ποιοῦντα Εὐκτή- 40

[1] ἂν αἴσιμός τις [2] γινομένοις [3] ὃς ἀληθῆ [4] οἶδε

Αὐτὸν] Androclem. Idem.

Κατηγορήσαμεν. γέγραπται] Interponendum videtur ἐν ᾗ. Idem.

Ὁ δοὺς καὶ ὁ διαθέμενος] Subaudi a communi ἐπιδέδεικται. Id est, ἐπεδείξαμεν, ὅτι ὁ Φιλοκτήμων ἔδωκε τὰ ἑαυτοῦ Χαιρεστράτῳ καὶ διέθετο. Idem.

Τί ἔτι] Scil. γέγραπται ἐν τῇ Ἀνδροκλέους διαμαρτυρίᾳ; *quid porro scriptum legitur in Androclis obtestatione?* Idem.

Πῶς οὖν ἂν αἴσιμός τις] Revocavi hanc lectionem ex Aldina, non quo emendatam et probam habeam, quæ est vitiosissima, sed quod a vestigiis veræ et genuinæ lectionis propius abest, quam ea, quam H. Stephanus de suo procudit, sic exhibens πῶς οὖν Αἴσιμός τις. quasi hic de Æsimo nescio quo agatur, qui nullus h. l. est, sed homo imaginarius. Leg. aio: πῶς οὖν ἄπαις ἦν, ὅστις. *ecqui ergo prolis expers erat is, qui* — seu, qui dici potest sine prole mascula decessisse is (Philoctemon designatur). qui postquam suum e sorore nepotem pro filio adoptasset, eum in bonis suis heredem, suique generis et nominis propagatorem futurum reliquit? Taylor in Tophanis libro reperit πῶς οὖν οὐκ αἴσιμος. quod nihili est. Idem. Reiskio in hac re gratulatur Ionesius.

Ὁμοίως] Perinde atque ipse Philoctemon fecit, aut, perinde ac si Philoctemon liberos ex ipso semet natos reliquisset. Reisk.

Ἑκάτερον] Id est, τόν τε γνήσιον, τὸν μετὰ τὴν τοῦ ἑτέρου ποίησιν γένομενον, καὶ τὸν ποιηθέντα. Idem.

Οἱ παῖδες οἵδε] Spurii Alces, qui se ex Euctemone seniore legitime procreatos ferunt, eoque titulo hereditatem ejus petunt. Idem.

Ἕκαστος] Scil. οἶδεν (vel εἴωθεν, vel δύναται) ἑαυτὸν ἐπιδεικνύναι γνήσιον ὄντα. Idem.

Οὐ γὰρ ἂν εἴπῃ] Si ἂν pro ἐὰν accipiatur, potest hæc lectio defendi, subaudiendo τις. *non enim ideo statim quis est genuinus, si matris nomen ediderit.* accedo tamen Stephani conjecturæ, leg esse: οὐ γὰρ, ὃς ἂν εἴπῃ. Idem.

Συγγενεῖς] Adde μάρτυρας. Idem.

Τέθαπται] Callippe puta, illa commentitia et falso jactata eorum mater, quam secundam ferunt Euctemonis uxorem, et ea se natos, qui revera ex Alce, scorto populari erant. Mira utique res, Euctemonem duas eodem tempore uxores in matrimonio habuisse. Moriens enim relinquebat, ut e p. 60. 18. ed. Steph. constat, uxorem veram, e qua liberos reliquos susceperat. Idem.

Οἶδε] Scaliger malebat εἶδε. *vidit.* ego non multum interesse arbitror. Idem.

μονα· ποῦ δ' ἔτι ὄντες οἱ παῖδες ἐναγίζουσι καὶ χέονται, καὶ τίς οἶδε ταῦτα τῶν πολιτῶν ἢ τῶν οἰκετῶν Εὐκτήμονος. ταῦτα γάρ ἐστιν ἔλεγχος ἅπαντα, καὶ οὐ λοιδορία. καὶ ἐὰν περὶ αὐτοῦ τούτου κελεύητε ἐπιδεικνύναι ὥςπερ καὶ διεμαρτύρησεν, ὑμεῖς τε τὴν ψῆφον ὁσίαν [1] καὶ κατὰ τοὺς νόμους θήσεσθε, τοῖσδέ τε τὰ δίκαια γενήσεται. 158

[1] καὶ om.

Περὶ αὐτοῦ τούτου κ. ἐ. ὥσπερ] Aut περὶ αὐτοῦ τούτου κ. ἐ. οὕπερ leg. suspicor, aut περὶ αὐτῶν τούτων κ. ἐ. ὥνπερ. *his ipsis*, vel *solis, de rebus dicere, quas in obtestatione affirmavit.* IDEM.

Ζ.

ΙΣΑΙΟΥ

ΠΕΡΙ ΤΟΥ ΑΠΟΛΛΟΔΩΡΟΥ ΚΛΗΡΟΥ.

Pag. ed. Reisk. — Pag. ed. H. St.

ΥΠΟΘΕΣΙΣ.

158 Εὔπολις καὶ Θράσυλλος καὶ Μνήσων ἀδελφοὶ γεγόνασι. τούτων ὁ μὲν Μνήσων ἄπαις ἐτε-
63. 1
λεύτησεν, ὁ δὲ Θράσυλλος παῖδα καταλιπὼν Ἀπολλόδωρον, μόνος δ' Εὔπολις καταλειφθεὶς
πολλὰ τὸν Ἀπολλόδωρον ἠδίκησεν. ὅθεν [1]Ἀρχέδαμος πάππος τοῦ λέγοντος τὸν λόγον, τῇ τοῦ
Ἀπολλόδωρου μητρὶ συνοικῶν μετὰ τὸν [2]Θρασύλλου τοῦ ἀνδρὸς αὐτῆς θάνατον, καὶ τὸν Ἀπολ-
λόδωρον ἃς ὑφαὶν ἔλεῖν, πολλὰ τὸν Εὔπολιν ἀπῄτησε χρήματα ὑπὲρ ὧν Ἀπολλόδωρον ἠδίκη-
σε. τούτων μεμνημένος Ἀπολλόδωρος εἰσήγαγεν εἰς τοὺς φράτορας θετὸν υἱὸν ἑαυτῷ Θρά-
συλλον τούτου, υἱὸν ὄντα τῆς τε ὁμομητρίας αὐτοῦ ἀδελφῆς καὶ [1]Ἀρχεδάμου. τοῦ δὲ Θρα-
σύλλου ἤδη μὲν εἰς τοὺς [3]γενήτας καὶ φράτορας ἐγγεγραμμένου, οὔπω δ' εἰς τὸ ληξιαρχικὸν
γραμματεῖον, [4]ἐτελεύτησεν Ἀπολλόδωρος. καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν ἐγγέγραπται μὲν ὁ
159 Θράσυλλος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, οὐδὲν δ' ἧττον Εὐπόλιδος θυγάτηρ, τοῦ Θείου
Ἀπολλοδώρου, ἀμφισβητεῖ πρὸς Θράσυλλον· λέγουσα μηδ' ὅλως ἐγγεγράφθαι τὸν Θράσυλλον
εἰς τοὺς φράτορας καὶ γεννήτας κατὰ γνώμην τοῦ Ἀπολλοδώρου, ἀλλὰ πεπλασμένην εἶναι τὴν
ποίησιν. καὶ ἡ μὲν ὑπόθεσις αὕτη· ἡ δὲ στάσις στοχασμός. διὸ καλῶς πάνυ καὶ τεχνικῶς τὸν
λόγον εἰκότως, τὴν [5]ἔχθραν διεξέρχεται τὴν Ἀπολλοδώρου πρὸς Εὔπολιν· ὅπερ μέγα σημεῖον
γίγνεται τοῦ μὴ θέλειν αὐτὸν ὑπὸ τῆς Εὐπόλιδος θυγατρὸς κληρονομηθῆναι.

ΩΙΜΗΝ μέν, ὦ ἄνδρες, προσήκειν οὐ τὰς τοιαύτας ἀμφισβητεῖσθαι ποιήσεις, εἴ τις αὐτὸς ζῶν καὶ εὖ φρονῶν
160 ἐποιήσατο, καὶ ἐπὶ τὰ ἱερὰ ἀγαγὼν εἰς τοὺς συγγενεῖς ἀπέδειξε καὶ εἰς τὰ κοινὰ γραμματεῖα ἐνέγραψεν, ἅπαν θ' ὅσα προσῆκεν αὐτὸς ποιήσας, ἀλλ' εἴ τις τελευτήσειν μέλ- 5

[1] Ἀρχιδ. [2] τοῦ Θρασ. [3] γενήτας passim. [4] ἐτελεύτησεν - - - γραμματεῖον om. [5] δ' om. [6] ἐλευθερίαν ἐξέρχεται

τελευτήσειν] L. ἔχθραν διεξέρχεται. Reisk.

Tabula genealogica nominum in hac oratione commemoratorum.

Fratres erant tres germani, quorum pater bis, sed sine nomine, commemoratur.

Eupolis Thrasyllus Mneson. Eupolidi erant, filius Apollodorus et duæ filiæ, altera Pronapidi nupta, qui Pronapis hic, nomine uxoris adversus actorem contendit, altera Æschini Lusiensi nupta, unde natus Thrasybulus. Sed hæc tum, cum hæc causa ageretur, vita jam excesserat.

Thrasyllus, fratrum medius, ex uxore sua Apollodorum susceperat, illum, cujus de hereditate hic certatur. Thrasyllo mortuo, vidua ejus Archedamo nupsit, e quo filiam peperit, quæ Lacritidæ hierophantæ in matrimonium collocata ei peperit actorem hujus causæ. Hic Lacritidæ filius, ab avunculo Apollodoro filii loco adoptatus et heres dictus, hereditatem ejus petit, Thrasyllus nomine dictus, a patre Apollodori.

Tertius fratrum, minimus natu, Mneson improlis decessit. Reisk.

Ἀγαγὼν εἰς τοὺς συγγενεῖς ἀπέδειξε] Malim ἀγαγὼν καὶ εἰς τοὺς συγγενεῖς, ἀπέδ. ut εἰς τοὺς συγγενεῖς, non ad ἀπέδειξε, sed ad ἀγαγὼν referatur, et ad ἀπέδειξε subaudiatur υἱὸν ἑαυτοῦ ποιητόν. Idem.

Ἀλλ'] Subaudi τὰς τοιαύτας ὤμην δεῖν ποιήσεις μόνας ἀμφισβητεῖσθαι. Idem.

λων διέθετο, εἴ τι πάθοι, τὴν οὐσίαν ἑτέρῳ, καὶ ταύτην γράμμασι κατέθετο παρά τισι σημηνάμενος. ἐκεῖνον μὲν γὰρ τὸν τρόπον ποιησάμενος φανερὰς κατέστησε τὰς αὐτοῦ βουλήσεις, ὅλον τὸ πρᾶγμα ἐπικυρώσας, δόντων αὐτῷ τῶν νόμων· ὁ δ' ἐν διαθήκαις σημηνάμενος ἀδήλους ἐποίησε, διὸ πολλοὶ πεπλάσθαι φάσκοντες αὐτὰς ἀμφισβητεῖν ἀξιοῦσι πρὸς τοὺς ποιηθέντας. ἔοικε δ' οὐδὲν προὔργου τοῦτο εἶναι· καὶ γὰρ οὕτως αὐτῶν φανερῶς πεπραγμένων ὅμως ὑπὲρ τῆς 161
θυγατρὸς τῆς Εὐπόλιδος ἥκουσι περὶ τῶν Ἀπολλοδώρου χρημάτων πρὸς ἐμὲ ἀμφισβητήσοντες. ἐγὼ δ' εἰ μὲν ἑώρων ὑμᾶς μᾶλλον ἀποδεχομένους τὰς διαμαρτυρίας ἢ τὰς εὐθυδικίας, κἂν μάρτυρας προὐβαλόμην μὴ ἐπίδικον εἶναι τὸν κλῆρον ὡς ποιησαμένου με υἱὸν Ἀπολλοδώρου κατὰ τοὺς νόμους· ἐπειδὴ δ' οὐ διαφεύγει τὰ δίκαια μὴ οὐ κατὰ τοῦτον γιγνώσκεσθαι τὸν τρόπον, καὶ παρ' ὑμῖν αὐτοῖς ἥκω διαλεξόμενος περὶ τῶν πεπραγμένων, ἵνα μηδεμίαν ἡμῖν αἰτίαν 162
περὶ τοῦ μὴ βούλεσθαι δοῦναι δίκην τοιαύτην ἐπιφέρωσιν. ἀποδείξω δὲ ὡς οὐ μόνον ἐπὶ τοῖς ἐγγυτάτω γένους τὸν

Ταύτην γράμμασι] Leg. videtur. ταῦτ' ἐν γράμμ. scil. γεγραμμένα. Idem.

Οὐδὲν προὔργου τοῦτ' εἶναι] Scil. ille prior procedendi modus, quo usus est Apollodorus me adoptans. Num leg. οὐδὲν προὔργου οὐδὲ τοῦτ' εἶναι. *ne hoc quidem, quicquam prodesse.* Idem.

Αὐτῶν] Scil. τῶν ὑπ' ἐμοῦ νῦν εἰρημένων. Non bene convenire videtur τοῦτο, quod modo præcessit, cum αὐτῶν, ut suspicioni locus sit, leg. esse: οὐδὲν προὔργου οὐδὲ ταῦτ' εἶναι. Nego tamen vulgata τοῦτο cum αὐτῶν copulante me offendi, tametsi haud infitiabor, planiorem utique atque concinniorem fore dictionem, si singulari τοῦτο pluralis ταῦτα sufficiatur. Idem.

Τῆς θυγατρὸς] Majore natu, et tum adhuc in vivis superstite, quæ Pronapidi nupta fuerat, nam altera, minor natu, Æschini Lusiensi nupta, in vivis esse jam desierat. Idem.

Οὐ διαφεύγει τὰ δίκαια μὴ οὐ κατὰ τοῦτον γιγνώσκεσθαι τὸν τρόπον] Idem est atque, si post τὰ δίκαια addidisset ὥστε. non effugiunt jura cuique [ant nobis] debita, quominus hoc modo et hac via τῆς εὐθυδικίας cognoscantur, h. e. fieri nequit, ut hoc agendi et jus quærendi modo, jus æquum minus noscitetur atque impetretur. Si quis viam directæ actionis ineat, potest ille jus suum non minus adipisci, quam si alteram viam, obtestationis puta. quia illa prior ratio totam causam clara in luce collocat, et dubitationi atque controversiæ locum omnem præcludit. Idem.

Αὐτοῖς] Malim αὐτὸς, *ipsemet ego*, in persona, ut vulgo usurpant, ut ore meo vos totam rem doceam. Idem.

Ἡμῖν] Mihi meæque causæ studiosis. Idem.

Τταύτην δίκην] Scil. τὴν διὰ τῆς εὐθυδικίας, ne adversarii nos criminentur, quasi noluerimus ipsis hoc genus satisfactionis forensis dare, ceu diffidentes veritati et æquitati causæ nostræ. Ne nos incusent, quasi bellum defensive solummodo geramus, ut vulgo usurpant, non autem offensive. Nam ἡ διαμαρτυρία est defensio quædam sui ab illata vi, ἡ εὐθυδικία autem aperta aggressio. Idem.

Ὡς οὐ μόνον] Hic addendum videtur δικαίως. Idem.

Τὸν κλῆρον] Sic emendavi vitium vulgatarum τοῦ κλήρου. planum faciam, non solummodo jure merito Apollodorum ab hereditate bonorum suorum necessarios exclusisse, a quibus gravissime læsus esset. Reperit idem in Tophanis quoque libro Taylor. τὸν κλῆρον ἐπί τινι καταλείπειν idem est, atque ἐπί τινος ἐξουσία, *in alicujus potestate.* Idem.

κλῆρον Ἀπολλόδωρος οὐ καταλέλοιπε, πολλὰ καὶ δεινὰ 20
ὑπὸ [1] τούτων ἀδικηθεὶς, ἀλλὰ καὶ ὡς ἐμὲ ἐποιήσατο δικαίως,
163 ὄντα ἀδελφιδοῦν, καὶ μέγα εὐεργετημένος ὑφ' ἡμῶν. δέομαι
δὲ ὑμῶν, ὦ ἄνδρες, πάντων ὁμοίως εὔνοιάν τέ μοι παρασχεῖν,
κἂν ἐπὶ τὸν κλῆρον ἀναιδῶς αὐτοὺς ἰόντας ἐξελέγχω, βοηθεῖν
μοι τὰ δίκαια. ποιήσομαι δ' ὡς ἂν κἀγὼ δύνωμαι διὰ βρα-
χυτάτων τοὺς λόγους, ἐξ ἀρχῆς ὡς ἔχει τὰ γενόμενα διδά-
σκων ὑμᾶς.

β'. Εὔπολις γὰρ, ὦ ἄνδρες, καὶ Θράσυλλος καὶ Μνήσων 25
ἀδελφοὶ ἦσαν ὁμομήτριοι καὶ ὁμοπάτριοι. τούτοις οὐσίαν ὁ
πατὴρ κατέλιπε πολλὴν, ὥστε καὶ λειτουργεῖν ἕκαστον
ἀξιοῦσθαι παρ' ὑμῖν. ταύτην ἐκεῖνοι τρεῖς ὄντες ἐνείμαντο
πρὸς ἀλλήλους. τούτων [2] τὼ δύ' ἐτελευτησάτην περὶ τὸν
αὐτὸν χρόνον, ὁ μὲν Μνήσων ἐνθάδε ἄγαμος καὶ ἄπαις, ὁ
δὲ Θράσυλλος τῶν ἐν Σικελίᾳ καταλεγεὶς [3] τριηράρχων,
καταλιπὼν υἱὸν Ἀπολλόδωρον τὸν ἐμὲ νῦν ποιησάμενον.
Εὔπολις οὖν μόνος αὐτῶν [4] λειφθεὶς οὐ μικρὰ ἀπολαῦσαι
164 τῶν χρημάτων ἠξίωσεν, ἀλλὰ τὸν μὲν [5] Μνήσονος κλῆρον, οὗ 64.
καὶ Ἀπολλοδώρῳ προσῆκε τὸ ἡμικλήριον, πάντα εἰς αὑτὸν
περιεποίησε, φάσκων αὐτῷ δοῦναι τὸν ἀδελφὸν, αὐτὸν δ'
ἐκεῖνον οὕτω διώκησεν ἐπιτροπεύων ὥστε τριῶν αὐτῷ ταλάντων
δίκην ὀφείλειν. Ἀρχέδαμος γὰρ ὁ πάππος [5] οὑμὸς, ἐξ

[1] τούτου [2] δύο τελευτησάντων [3] , τριηραρχῶν, [4] Μνήσωνος [5] ὁ ἐμὸς

Ὑπὸ τούτου] Bene si habet, ad Eupolin redit. malim tamen ὑπὸ τούτων legi, ab Eupolide et ejus tota gente, quæ adhuc superest in vivis, et coram in judicio adstat. de his enim οὗτος solummodo proprie potest usurpari. Eupolis autem dudum decesserat, eoque τούτου minus ei conveniebat. Idem.

Ὑφ' ἡμῶν] A matre mea et patre et avo aviaque, quæ ipsius mater erat; hoc est, a tota gente nostra. Scaliger quoque sic emendavit. Idem.

Κἀγὼ] Cur ita? cur non potius simpliciter ἐγώ? quæ vis inest illi καὶ etiam ἐγώ? Idem.

Παρ' ὑμῖν] Imo vero παρ' ὑμᾶν, ut etiam Scaliger censebat. Idem.

Τελευτησάταν] Imo vero ἐτελεύτησαν τὸν βίον. Etiam Scaliger leg. esse ἐτελεύτησαν suspicatus erat. Idem. Bekkero obsecutus sum.

Τῶν εἰς Σικελίαν καταλεγεὶς] Breviter sic dictum explicatius ita efferas: καταλεγεὶς, ὥστε εἷς εἶναι τῶν εἰς Σικ. ἀπεσταλμένων εἰς στρατείαν, ἐν τάξει τριηράρχου. Reisk.

Αὐτῶν] Id est, his de fratribus, qui, dum superessent adhuc, tres erant. Idem.

Αὐτὸν δ' ἐκεῖνον] Apollodorum puta. Idem.

Ὀφείλειν] Imo vero ὄφλειν. diversa sunt δίκην ὀφείλειν et δίκην ὄφλειν. Tutor e. c. male gestæ tutelæ reus, causa nondum in forum delata, neque disceptata, pupillo, de quo male meritus est, δίκην ὀφείλει, debet adhuc ei rationem reddere. Verum causa jam peracta, condemnatus, ὄφλει, postquam judices pronuntiarunt, eum debere per nefas ablata pupillo restituere. Idem.

Ὁ πάππος ὁ ἐμὸς] Erat enim hujus Archedami filia mater actoris. Idem.

Ἐξ οὗ] Π. τούτου. H. Stephan. Scaliger cum ἐγγυητὴν mutabat. Mihi videntur aut prorsus amputanda, aut cum ἐκείνου mutanda, aut cum ἐκ μητρὸς, aut cum χηρεύουσαν. Reisk.

5 οὗ τὴν μητέρα ἔχων [1] τὴν Ἀπολλοδώρου, τήθην δὲ [2] ἐμὴν, ὁρῶν αὐτὸν πάντων ἀποστερούμενον τῶν χρημάτων, ἔτρεφέ τε αὐτὸν παῖδα ὄνθ' ὡς ἑαυτοῦ, καὶ τὴν μητέρα κομισάμενος, ἀνδρί τε γενομένῳ συνηγωνίσατο καὶ εἰσέπραξε τὸ ἡμικλήριον ὧν Μνήσων κατέλιπεν, ὅσα τε ἐκ τῆς ἐπιτροπῆς 165 ἀπεστέρησε, δίκας δύο ἑλών, καὶ τὴν οὐσίαν ἐποίησε κομίσασθαι τὴν αὐτοῦ πᾶσαν. καὶ διὰ ταῦτα Εὔπολις μὲν καὶ 10 Ἀπολλόδωρος ἐχθρῶς ἔχοντες τὸν πάντα χρόνον διετέλεσαν πρὸς ἀλλήλους, ὁ δὲ πάππος οὑμὸς καὶ Ἀπολλόδωρος φιλικῶς, ὥσπερ προσῆκε. τοῖς δ' ἔργοις ἄν τις τεκμήραιτο μάλιστα ὅτι ὧν Ἀπολλόδωρος πέπονθεν εὖ, ἀντευποιεῖν ἠξίου τοὺς ἑαυτὸν εὐεργετήσαντας. συμφορᾷ γὰρ τοῦ πάππου χρησαμένου καὶ ληφθέντος εἰς τοὺς πολεμίους καὶ χρήματα εἰσενεγκεῖν εἰς λύτρα καὶ ὁμηρεῦσαι ὑπὲρ αὐτοῦ ἠθέλησεν, 15 ἕως οὗ εὐπορήσειεν ἐκεῖνος τἀργύριον. ἐξ εὐπόρου τε [3] ἀπορωτέρῳ γεγενημένῳ συνδιώκει τὰ ἐκείνου, μεταδιδοὺς ὧν εἶχεν. εἰς Κόρινθόν τε στρατεύεσθαι μέλλων, εἴ τι πάθοι, διέθετο τὴν οὐσίαν καὶ ἔδωκε τῇ ἐκείνου μὲν θυγατρὶ, ἐμῇ δὲ μητρὶ, αὐτοῦ δ' ἀδελφῇ, διδοὺς αὐτὴν Λακρατίδῃ τῷ νῦν ἱερο- 166 φάντῃ γεγενημένῳ. τοιοῦτος ἦν ἐκεῖνος περὶ ἡμᾶς τοὺς ἐξ ἀρχῆς αὐτὸν σώσαντας. ὡς δ' ἀληθῆ λέγω, καὶ δίκας εἶλεν 20 Εὔπολιν δύο, τὴν μὲν ἐπιτροπῆς, τὴν δὲ ἡμικληρίου, τοῦ πάππου συνηγωνισμένου καὶ λέγοντος, τά τε χρήματα ἐκομίσατο δι' ἡμᾶς καὶ ταύτας τὰς χάριτας ἡμῖν ἀνταπέδωκε, τούτων πρῶτον βούλομαι παρασχέσθαι τοὺς μάρτυρας. καί μοι κάλει δεῦρο αὐτούς.

ΜΑΡΤΥΡΕΣ.

αἱ μὲν οὖν παρ' ἡμῶν εὐεργεσίαι τοιαῦται καὶ τηλικαῦ-

[1] τοῦ [2] ἐμοὶ [3] ἀπορωτέρου γεγενημένου

Κομισάμενος] Postquam hanc fœminam, aviam meam, ab Eupolide, ut κυρίῳ seu curatore ejus, in manus sibi datam accepisset, ex ejusque domo in suam transtulisset. v. p. 69. 29. ed. Steph. Idem.

Ἀπεστέρησε] Scil. Eupolis Apollodorum. Idem.

Δύο δίκας ἑλὼν] Prima scilicet actione certabatur de hereditate Mnesonis, cujus dimidia pars Apollodoro debebatur; secunda de patrimonio eidem a patre Thrasyllo relicto, et ab Eupolide administrato. Idem.

Ὥσπερ προσῆκε] Interpone καί. Idem.

Ἐκείνου] Archedami puta. Idem.

Αὐτοῦ] Apollodori puta. Idem.

Διδοὺς] Colligitur hinc Archedamum vita decessisse, antequam filia ejus nubilis fieret. Nam pater adhuc superstes solus habebat potestatem filiam elocandi in matrimonium. Patre autem orba virgo, vel vidua, in potestate fratris erat, ut κυρίου αὐτῆς. Idem.

Τοῦ πάππου] Subaudi τοῦ ἐμοῦ. Idem.

ται τὸ μέγεθος εἰσίν· αἱ δὲ πρὸς ἐκεῖνον ἔχθραι περὶ τοσούτων χρημάτων ἦσαν, ἃς οὐχ οἷόν τ' εἰπεῖν ὡς διελύσαντο 25
167 καὶ φίλοι ἐγένοντο. μεγάλα γὰρ τεκμήρια αὐτῶν ἐστίν· Εὔπολις γὰρ [1] αὐτῷ δυοῖν θυγατέρων οὐσῶν, καὶ ἐκ τῶν αὐτῶν γεγονὼς καὶ χρήμαθ' ὁρῶν κεκτημένον, οὐδετέραν αὐτῷ τούτων ἔδωκε. καίτοι δοκοῦσιν ἐπιγαμίαι καὶ μὴ συγγενεῖς ἄνδρας, ἀλλὰ καὶ τοὺς τυχόντας ἀπαλλάττειν μεγάλης διαφορᾶς, ὅταν ἃ περὶ πλείστου ποιοῦνται, ταῦτ' ἀλλήλοις ἐγχειρίζωσιν. εἶτ' οὖν Εὔπολις γεγένηται αἴτιος, 30 μὴ βουληθεὶς, εἶτ' Ἀπολλόδωρος λαβεῖν μὴ ἐθελήσας, τὰς ἔχθρας, ὅτι διέμειναν, τὸ ἔργον δεδήλωκε.

γ'. Καὶ περὶ μὲν τῆς ἐκείνων διαφορᾶς ἱκανοὺς εἶναι νομίζω καὶ τοὺς εἰρημένους λόγους. οἶδα γὰρ ὅτι καὶ ὑμῶν ὅσοι πρεσβύτεροι μνημονεύουσιν ὅτι ἐγένοντο ἀντίδικοι· τό τε γὰρ μέγεθος τῶν δικῶν, καὶ διότι πολὺ αὐτὸν Ἀρχέδαμος
168 εἶλεν, ἐπιφάνειάν τινα ἐποίησεν. ὡς δὲ ἐμὲ ἐποιήσατο υἱὸν ζῶν αὐτὸς καὶ κύριον τῶν αὑτοῦ κατέστησε, καὶ εἰς τοὺς 35 γεννήτας καὶ εἰς τοὺς φράτορας ἐνέγραψε, τούτοις ἤδη μοι τὸν νοῦν προσέχετε, ὦ ἄνδρες. Ἀπολλοδώρῳ γὰρ ἦν υἱός, ὃν ἐκεῖνος καὶ ἤσκει καὶ δι' ἐπιμελείας εἶχεν, ὥσπερ καὶ προσ-

[1] αὐτῷ om.

Αἱ δὲ πρὸς ἐκεῖνον [Eupolin puta] ἔχθραι] Apollodori scilicet. Suspicabar aliquando leg. esse: αἱ δὲ τοῦ πατρὸς πρὸς ἐκεῖνον ἔχθραι. qui nossem vocabulum πατρὸς a librariis solere per siglam exarari, quæ a πρὸς nulla alia re, præterquam virgula superne imposita, differret. Sic facile fieri potuisse autumabam, ut πρῶς, hoc est πατρὸς, in collisione cum πρὸς præpositione clideretur. Verum ipsemet ego nunc nil admodum opus esse isto supplemento censens, conjecturam hanc in medio relinquam. Idem.

Τεκμήρια αὐτῶν] Subaudi τῶν ἐχθρῶν. Simultatum, quæ eos mutuæ intercesserunt, magna sunt et luculenta indicia. Malim tamen, ob γὰρ præmissum, αὐτοῦ, scil. τοῦ μὴ διαλύσασθαι αὐτούς. gratiæ inter eos nunquam reconciliatæ multa et perspicua sunt documenta. Idem.

Ἐκ τῶν αὐτῶν γεγονὼς] Subaudi, aut τοκέων Θρασύλλῳ, aut προγόνων Ἀπολλοδώρου. iisdem usus sive parentibus, atque Thrasyllus, Apollodori pater, sive majoribus iisdem, quibus Apollodorus. Idem.

Κεκτημένον] Apollodorum puta. quamvis videret Apollodorum bene fortunatum, quæ esse poterat illecebra contrahendæ cum eo affinitatis. Nemo non generum divitem pauperi præferat. Idem.

Βουληθεὶς] Post βουληθεὶς addi vult Scaliger ἐκδοῦναι. non male. possit quoque δοῦναι simplex sufficere. Alterutrum certe necessarium est, cum per se, nam alias manca est sententia, tum propter oppositum λαβεῖν. Idem.

Πολὺ] Plura ni desunt, deest παρὰ, aut, nihil si mutari licebit, subaudiendum utique erit παρά. παρὰ πολὺ εἶλεν est *multis partibus*, h. e. magno numero sententiarum, causæ Archedami victoriam adjudicantium, et Eupolin condemnantium. In παρὰ πολὺ subauditur h. l. μέρος τῶν ψήφων. Scaliger adscripserat πολὺ πρότερον αὐτόν. Idem.

Υἱὸν τῶν αὐτὸς] Π. υἱὸν αὐτὸς, ἄνευ τοῦ ἄρθρου τοῦ τῶν. H. Stephan. Leg. υἱὸν ζῶν αὐτὸς. Media vox ab ingenio meo profecta est, pro τῶν, quod vulgatæ dant. Non per testamentum morientis, sed ab ipso adhuc salvo et robusto. v. p. 140. 2. Reisk.

Γεννήτας] Π. γενήτας. Ὅμως δὲ καὶ ἐν τοῖς ἑξῆς ἐκείνη ἐστὶν ἡ γραφή. ἀλλὰ καὶ ἐν τῇ τοῦδε τοῦ λόγου ὑποθέσει. H. Stephan.

ἥκον ἦν. ἕως μὲν οὖν ἐκεῖνος ἔζη, διάδοχον τῆς οὐσίας ἤλπιζεν αὐτὸν καταστήσειν τῆς ἑαυτοῦ· ἐπειδὴ δὲ ἐτελεύτησε νοσήσας τοῦ ἐξελθόντος ἐνιαυτοῦ μηνὸς Μαιμακτηριῶνος, ἐπὶ τοῖς παροῦσιν ἀθυμήσας καὶ τὴν ἡλικίαν τὴν ἑαυτοῦ καταμεμψάμενος οὐκ ἐπελάθετο ὑφ' ὧν καὶ ἐξ ἀρχῆς εὖ πεπονθὼς ἦν, ἀλλ' ἐλθὼν ὡς τὴν ἐμὴν μητέρα, ἑαυτοῦ δὲ 169 ἀδελφήν, ἣν περὶ πλείστου πάντων ἐποιεῖτο, λαβεῖν ἠξίωσέ με υἱὸν καὶ ἤτησε καὶ ἔτυχεν. οὕτω δ' ἐπείσθη ταῦτα ποιῆσαι διὰ ταχέων, ὥστ' εὐθέως με λαβὼν ᾤχετο ἔχων πρὸς αὑτὸν καὶ πάντα τὰ αὑτοῦ διοικεῖν παρέδωκεν, ὡς αὐτὸς μὲν οὐδὲν ἂν ἔτι πρᾶξαι τούτων δυνηθεὶς, ἐμοῦ δὲ ταῦτα πάντα οἵου τε ἐσομένου ποιεῖν. καὶ ἐπειδὴ Θαργήλια ἦν, ἤγαγέ με ἐπὶ τοὺς βωμοὺς εἰς τοὺς γεννήτας τε καὶ φράτορας. ἔστι δ' αὐτοῖς νόμος ὁ αὐτὸς, ἐάν τέ τινα φύσει γεγονότα [1] εἰσάγῃ τις ἐάν τε ποιητὸν, ἐπιτιθέναι πίστιν κατὰ τῶν ἱερῶν ἢ μὴν ἐξ ἀστῆς εἰσάγειν καὶ γεγονότα ὀρθῶς, καὶ τὸν ὑπάρχον- 170 τα φύσει καὶ τὸν ποιητόν· ποιήσαντος δὲ τοῦ εἰσάγοντος ταῦτα μηδὲν ἧττον διαψηφίζεσθαι καὶ τοὺς ἄλλους· κἂν δόξῃ, τότ' εἰς [2] τὸ κοινὸν γραμματεῖον ἐγγράφειν, πρότερον δὲ μή. τοιαύτας ἀκριβείας ἔχει τὰ δίκαια τὰ παρ' αὐτοῖς. τοῦ νόμου δὲ οὕτως ἔχοντος, καὶ τῶν φρατόρων τε καὶ γεννητῶν ἐκείνῳ οὐκ ἀπιστούντων ἐμέ τε οὐκ ἀγνοούντων, ὅτι ἦν ἐξ ἀδελφῆς αὐτῷ γεγονὼς, ἐγγράφουσί με εἰς τὸ κοινὸν γραμ-

[1] εἰσαγάγῃ

[2] τὸ om.

Καταστήσειν] Conveniret melius, ni fallor, καταλείψειν. Liberi enim a parentibus heredes non constituuntur, qui sunt ipso natu, sed a decedentibus relinquuntur. Reisk.

Καὶ ἐξ ἀρχῆς] Aut redundare videtur hoc καὶ aut aliud sibi respondens poscere. Num ergo leg. καὶ ἐξ ἀρχῆς καὶ μετὰ ταῦτα συνεχῶς εὖ πεπονθὼς ἦν. *et a principio inde ætatis suæ, et per totam reliquam insecutam vitam.* Idem.

Ἐπείσθη] Suspicabar aliquando leg. esse ἠπείχθη, id est, ἔσπευσε. *festinabat hoc facere.* nunc tamen, censens sine urgente necessitate mutandum nihil esse, vulgatam aio sic esse interpretandam: *ipse in animum induxerat, hac in re peragenda celeritate sibi utendum esse.* quasi si dixisset: αὐτὸς ἑαυτὸν ἔπεισεν, ὅτι δεῖ τοῦτο διὰ ταχέων ποιῆσαι. Indicat Apollodori studium, contentionem, constantiam et pertinaciam. Idem.

Τούτων] Sic de meo dedi, pro vulgari τοῦτον. ubi Taylor in Tophanis libro τοιοῦτον annotatum reperit. Redit lectio a me prælata ad premissum πάντα τὰ αὐτοῦ, quod idem in continenti quoque insequitur, *nihil horum*, negotiorum puta domesticorum. Idem.

Γεννήτας] Eosdem videtur dicere συγγενεῖς postea [p. 66. 12. ed. Steph.] *In Anim. ad Jus A. et R.* l. ii. c. 1. §. 9. Heraldus. Eum vide.

Τοὺς ἄλλους] Id est, τοὺς ἅπαντας. reliquos omnes curiales, qui adessent, præter patrem filii inducendi. Hujus enim patris respectu, qui alias etiam e numero curialium esset, in ejusmodi causa vero a suffragatione excludi soleret, reliqui in suffragia euntes, οἱ ἄλλοι appellantur. Reisk.

Δόξῃ] Subaudi ἐγγράφειν ex insequentibus. Idem.

ματεῖον ψηφισάμενοι πάντες, ἐπιθέντος ἐκείνου τὴν πίστιν καθ' ἱερῶν. καὶ οὕτω μὲν ὑπὸ ζῶντος ἐποιήθην, καὶ εἰς τὸ κοινὸν γραμματεῖον ἐνεγράφην Θράσυλλος Ἀπολλοδώρου, ποιησαμένου με ἐκείνου τοῦτον τὸν τρόπον, τῶν νόμων αὐτῷ
171 δεδωκότων. ὡς δ' ἀληθῆ λέγω, λάβε μοι τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

δ'. Οἶμαι τοίνυν, ὦ ἄνδρες, μᾶλλον ἂν ὑμᾶς τοῖς μεμαρτυρηκόσι [1] πιστεύειν, καὶ οἵτινες τῶν ὁμοίως προσηκόν- 15
των ἔργοις φανερῶς μεμαρτυρήκασιν ὡς ἐκεῖνος ταῦτα ὀρθῶς [2] καὶ κατὰ τοὺς νόμους ἔπραξε. κατέλιπε γὰρ Εὔπολις θυγατέρας δύο, ταύτην τε ἣ νῦν ἀμφισβητεῖ καὶ Προνάπει
172 συνοικεῖ, καὶ ἄλλην ἣν ἔσχεν Αἰσχίνης ὁ Λουσιεὺς, ἣ τετελεύτηκεν υἱὸν ἄνδρα ἤδη καταλιποῦσα, Θρασύβουλον. ἔστι δὲ νόμος ὃς, ἐὰν ἀδελφὸς ὁμοπάτωρ ἅπαις τελευτήσῃ καὶ μὴ διαθέμενος, τήν τε ἀδελφὴν ὁμοίως, κἂν ἐξ ἑτέρας ἀδελ- 20
φιδοῦς ἢ γεγονώς, ἰσομοίρους τῶν χρημάτων καθίστησι. καὶ τοῦτο οὐκ ἀγνοούμενόν ἐστιν οὐδὲ παρ' αὐτοῖς τούτοις.

[1] πιστεύσειν [2] καὶ om.

Ποιησαμένου κ. τ. λ.] Reliqui h. l. vulgarem interpungendi rationem, quæ satis esset commoda. Possit tamen etiam sic distingui : ποιησαμένου με ἐκείνου, *ille me cum adoptasset*, τοῦτον τὸν τρόπον τῶν νόμων αὐτῷ δεδωκότων [scil. τὴν ἐξουσίαν τοῦ ποιεῖσθαι ἐμὲ], *leges cum ipsi dedissent facultatem mei adoptandi, si hoc modo adoptaret.* Idem.

Οἶμαι] Sic dedi de meo, pro vulgari οἶμεν. Stephanus malebat ὄμην. Ego vero alteram istam rationem, ut planissimam et simplicissimam prætuli tam Stephanicæ, quam pristinæ meæ. Suspicabar enim olim aliquando sic exarandum esse h. l. εἰ μὲν δὴ ταῦτα μεμαρτυρήκασι. τίσι δ' ἄλλοις μᾶλλον ἄξιον ὑμᾶς, ὦ ἄνδρες, ἢ τοῖς μεμαρτυρηκόσι ταῦτα πιστεύειν; Idem.

Μᾶλλον] Subaudi ἢ τοῖς τούτων λόγοις, τῶν νῦν ἐμοὶ ἀντιδικούντων. Idem.

Οἵτινες] Num εἴ τινες. quicquid est, utrum mavoles, ad utrumvis erit ἄλλοι subaudiendum. Pro ὁμοίως dederat annotator in libro Tophanis ὁμοίοις. quod neque intelligo, neque probo. Idem.

Ὀρθῶς, κατὰ] Videtur καὶ esse interponendum. Est id quidem usitatius loquendi genus. Idem.

Προνάπει] Derivandum hoc erit a Πρόναπις nominativo. et est ille quidem nominativus in usu. Sed etiam formari solet Προνάπιδι. Verum in insequentibus, nescio an non satis recte, Προνάπης legitur. quæ lectio si sana sit, leg. hic sit Προνάπη, ut a nomine proprio primæ declinationis. Idem.

Τήν τε ἀδελφὴν] Idem est, ac si dixisset : ταύτην τε τὴν ἀδελφὴν, ἔτι οὖσαν. *et hanc sororem in vivis adhuc superstitem, et* —. Idem.

Ἑτέρας] Subaudi ἀδελφῆς ἤδη τὸν βίον τετελευτηκυίας. Idem.

Ἰσομοίρους] Subaudi τούτους κατὰ τὴν κληρονομίαν. hos æquis partibus hereditatem cernere, sororem puta defuncti fratris adhuc superstitem, et alterius sororis dudum defunctæ filium, si quis adsit. Idem.

Οὐδὲ παρ' αὐτοῖς τούτοις] Eupolidis puta necessariis, mecum super Apollodori hereditate nunc contendentibus. Sed offendit non nihil dictionis insolentia. redundare videtur præpositio, qua omissa, dictio fiat haud paulo mollior, et usui loquendi convenientior. Quid si sic legatur : καὶ τοῦτο οὐκ ἀγνοούμενόν ἐστιν οὐδενί. *neminem hoc fugit.* οὐδὲ γὰρ αὐτοῖς τούτοις. *ne his ipsis quidem obscurum hoc est.* Idem.

ἔργῳ γὰρ οὗτοι φανερὸν τοῦτο πεποιήκασι· τοῦ γὰρ Εὐπό-
λιδος [1]υἱέος ἄπαιδος Ἀπολλοδώρου τελευτήσαντος τὰ ἡμίσεα
Θρασύβουλος εἴληφεν, οὐσίας καὶ πεντεταλάντου καταλει- 173
φθείσης ῥᾳδίως. πατρῴων μὲν οὖν καὶ ἀδελφοῦ χρημάτων
25 τὸ ἴσον αὐτοῖς ὁ νόμος μετασχεῖν δίδωσιν· ἀνεψιοῦ δὲ, καὶ
εἴ τις ἔξω ταύτης τῆς συγγενείας ἐστὶν, οὐκ ἴσον, ἀλλὰ
προτέροις τοῖς ἄρρεσι τῶν θηλειῶν τὴν ἀγχιστείαν πε-
ποίηκε. λέγει γαρ, κρατεῖν δὲ τοὺς ἄρρενας καὶ
τοὺς ἐκ τῶν ἀρρένων, οἳ ἂν ἐκ [2]τῶν αὐτῶν ὦσι,
κἂν γένει [3]ἀπωτέρῳ τυγχάνωσιν ὄντες. ταύτῃ μὲν
οὖν οὐδὲ μέρους λαχεῖν [4]προσῆκε, Θρασυβούλῳ δὲ ἁπάντων, 174
εἰ μὴ κυρίαν ἡγεῖτο εἶναι τὴν ἐμὴν εἰσποίησιν. ἐκεῖνος τοί-
30 νυν οὔτε ἐξ ἀρχῆς ἠμφισβήτηκε πρὸς ἐμὲ οὐδὲν οὔτε νῦν
δίκην εἴληχε περὶ αὐτῶν, ἀλλὰ ταῦτα πάντα καλῶς ἔχειν
ὡμολόγηκεν· οἱ δ' ὑπὲρ ταύτης πάντων ἀμφισβητεῖν τετολ-
μήκασιν. εἰς τοῦτο ἀναιδείας ἐληλύθασι. λάβε δὴ [5]αὐτοῖς
τοὺς νόμους, παρ' οὓς ταῦτα πεποιήκασι, καὶ ἀνάγνωθι.

[6]ΝΟΜΟΙ.

ἐνταῦθα μὲν ὁμοίως καὶ ἀδελφὴ καὶ ἀδελφιδοῦς ἰσόμοιροι

[1] υἱέως [2] τούτων [3] ἀποτέρω [4] προσήκει
[5] αὐτοὺς [6] ΝΟΜΟΣ

Ἀπολλοδώρου] Apollodorus hic, semel hoc loco et iterum aliquanto post nominatus, probe discernendus est ab altero Apollodoro, creberrime per totam hanc actionem celebrato, hereditatis controversæ legatore. Propterea, erroris excludendi gratia, orator addit hæc verba, τοῦ Εὐπόλιδος υἱέος. ubi articulus cum υἱέος cohæret, non cum nomine proprio. Idem.

Καὶ πεντεταλάντου] Respondere videtur particula καὶ Latinorum illi *ad*. Substantiæ ad quinque talentorum valorem assurgentis. Idem.

Αὐτοῖς] Suspicabar aliquando leg. esse αὐταῖς. ut ad sorores et filias redeat, paterna aut fraterna bona petentes aut capessentes. istique suspicioni etiam Latinam interpretationem meam accommodavi. Nunc autem arbitror vulgatam bene habere, et accipiendam esse, de sorore altera superstite, et de alterius jam defunctæ filio. Idem.

Ἀνεψιοῦ δὲ] Subaudi τῶν χρημάτων. Idem.

Ταύτης τῆς συγγενείας] Id est, τῆς ἀνεψιότητος. *extra consobrinitatem*, remotior et distantior adhuc a consobrino, ut ejus filius filiave. Idem.

Ἐκ τούτων] Num ἐκ τῶν αὐτῶν, subaudi ὧν αἱ θήλειαί εἰσιν. Si parentes posteritatis masculinæ iidem sint cum parentibus posteritatis a femellis descendentis. Idem.

Ταύτῃ] Huic filiæ Eupolidis, adhuc superstiti, uxori Pronapidis. Idem.

Οὐδὲ μέρους] Hereditatis ab Apollodoro relictæ. Idem.

Ἁπάντων] Scil. bonorum Apollodori, qui fuit Thrasylli filius, cui mater Thrasybuli consobrina fuit. Idem.

Αὐτῶν] Eodem redit, quo modo ἁπάντων redibat, scil. τῶν ὑπ' Ἀπολλοδώρου καταλειφθέντων. Idem.

Ταῦτα πάντα] Scil. ὑπ' Ἀπολλοδώρου ἐγνωσμένα, πραχθέντα καὶ διατεθέντα ὑπὲρ ἐμοῦ. Idem.

Οἱ δὲ ὑπὲρ ταύτης] Scil. λέγοντες καὶ πράττοντες. quorum princeps erat maritus mulieris, Eupolidis filiæ, Pronapis. Idem.

Νόμος] Ea lex designatur, quæ sancit, ut fratris hereditatem soror superstes, et alterius sororis defunctæ filius ex æquo inter se partiantur. Idem.

κατὰ τὸν νόμον εἰσί. λάβε δὴ καὶ τοῦτον, καὶ ἀναγίνωσκε αὐτοῖς.

ΝΟΜΟΣ. 35

ἐὰν μὴ ὦσιν ἀνεψιοὶ μηδὲ ἀνεψιῶν παῖδες, μηδὲ τοῦ [1] πρὸς πατρὸς γενομένου ἢ προσήκων μηδεὶς, τότε ἀπέδωκε τοῖς
175 πρὸς μητρὸς, διορίσας οὓς δεῖ κρατεῖν. λάβε [2] δὴ αὐτοῖς καὶ τοῦτον τὸν νόμον, καὶ ἀνάγνωθι.

ΝΟΜΟΣ.

ταῦτα τῶν νόμων κελευόντων, ὁ μὲν ἀνὴρ ὢν οὐδὲ τοῦ μέρους εἴληχεν, [3] οἱ δ' ὑπὲρ ταύτης τῆς γυναικὸς ἁπάντων· οὕτω τὴν ἀναίδειαν οὐδεμίαν ζημίαν εἶναι νομίζουσι. καὶ 40
176 ὑπὲρ τούτων τολμήσουσι, καὶ τοῖς λόγοις χρῶνται τοιούτοις, ὡς αὐτοῖς ὅλου τοῦ κλήρου ληκτέον, ὅτι Θρασύβουλος ἐκποίητος εἰς [4] τὸν οἶκον τὸν Ἱππολοχίδου γέγονε, λέγοντες τοῦτο μὲν ἀληθὲς, [5] ἐκεῖνο δ' οὐ προσῆκον. τί γὰρ ἧττον αὐτῷ τῆς συγγενείας ταύτης προσῆκεν; οὐ γὰρ κατὰ τὸν πατέρα ἀλλὰ κατὰ τὴν μητέρα καὶ τῶν Ἀπολλοδώρου τοῦ

[1] πρὸς om. [2] δὲ [3] ὁ [4] τὸν οἶκον om. [5] ἐκείνῳ

Νόμος] Altera lex designatur, statuens, ut consobrini defuncti hereditatem alius consobrini filius solus adeat, exclusa consobrina, etiam si hæc uno gradu propior ad defunctum sit, quam consobrini filius. Idem.

Μηδὲ τοῦ πατρὸς γενομένου ἢ προσήκων μηδεὶς] Locus arduus. Annotator in libro Tophanis pro quarto vocabulo adscripserat ἀπογενομένου. quo res non declaratur, sed obscuratur magis. Mihi videtur leg. μηδὲ τῶν ἐκ τοῦ αὐτοῦ πατρὸς γενομένων ἢ πρ. μ. neque posterorum ab eodem patre oriundorum quisquam superstes sit, qui necessitudine defunctum, cujus controversa hereditas fuit, contingat. Vel etiam sic, ad eandem sententiam: μηδὲ πρὸς πατρὸς τοῦ ἀπογενομένου ἢ πρ. μ. Hanc rationem si quis sequatur, ei voc, πατρὸς non erit cum ἀπογενομένου copulandum, sed sic construendum: προσήκων τοῦ ἀπογενομένου μηδεὶς ἢ, *defuncti necessarius nullus sit*, πρὸς πατρὸς, *a parte paterna*. Idem.

Νόμος] Particula hæc legis, vel juris de hereditatibus constituentis, ea est, qua definitur ordo hereditatis adeundæ in ejusmodi causa, ubi masculina stirpe deficiente, ad femininam hereditates devolutæ sint. Idem.

Ὁ μὲν] Thrasybulus, Eupolidis e filia minore nepos, matrem repræsentans. Idem.

Ὁ δὲ] Pronapis, uxoris nomine. Idem.

Νομίζουσι] Pronapis, uxor ejus, et advocati hujus partis. Idem.

Καὶ ὑπὲρ τούτων τολμήσουσι] Num καὶ ὑπὲρ τούτων ἅπαντα (vel ὁτιοῦν) τολμήσουσι. *et pro his*, vel *horum* [bonorum Apollodori] *adipiscendorum causa, nihil non audebunt*, Idem.

Καὶ τοῖς λόγοις] Num καίτοι λόγοις. Idem.

Εἰς τὸν Ἱππολοχίδου] Aldina articulum geminat; dubium utro errore operarum, cone, qui peccat plus dando, quam oporteret, an hoc, qui minus. Si isto, bene habet, gratiasque debemus Stephano; sin autem hoc, sic erit leg. εἰς τὸν οἶκον τὸν Ἱππολοχίδου. Idem.

Ἐκείνῳ δ' οὐ προσῆκεν] Dubium utrius generis sit ἐκείνῳ, masculini, an neutrius. Illud si teneas, locus mihi quidem est obscurus. Quare pro neutro habebo, et referam ad rem, de qua hic agitur, h. e. ad petitionem hereditatis ab Apollodoro relictæ. *ad hanc vero causam* (ait) *nil pertinet*. Idem.

Συγγενείας ταύτης] Cum Apollodoro puta, Thrasylli filio. Idem.

6. 1 Εὐπόλιδος υἱέος τὸ μέρος εἴληφε· καὶ τῶνδε ἐξῆν αὐτῷ κατὰ
ταύτην τὴν συγγένειαν λαγχάνειν, ὄντι προτέρῳ ταύτης, 177
εἴπερ τὰ πεπραγμένα μὴ κυρίως ἔχειν ἐνόμιζεν. ἀλλ' οὐκ
ἔστιν ἀναίσχυντος. μητρὸς δ' οὐδείς ἐστιν ἐκποίητος, ἀλλ'
ὁμοίως ὑπάρχει τὴν αὐτὴν εἶναι μητέρα, κἂν ἐν τῷ πατρῴῳ
μένῃ τις οἴκῳ, κἂν [1] ἐκποιηθῇ. διὸ τῶν Ἀπολλοδώρου χρη-
5 μάτων οὐκ ἀπεστερήθη τοῦ μέρους, ἀλλὰ μετειλήφει τὸ
ἡμικλήριον πρὸς ταύτην νειμάμενος. ὡς δ' ἀληθῆ λέγω,
κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ε'. Οὕτω μὲν οὐχ οἱ γεννῆται μόνον καὶ φράτορες γεγό-
νασι μάρτυρες τῆς ἐμῆς ποιήσεως, ἀλλὰ καὶ Θρασύβουλος
οὐκ ἀμφισβητῶν ἔργῳ δεδήλωκεν ὅτι τὰ πεπραγμένα
Ἀπολλοδώρῳ κυρίως ἔχειν νομίζει καὶ κατὰ τοὺς νόμους·
10 οὐ γὰρ ἄν ποτε τοσούτων χρημάτων οὐκ ἐλάγχανε. γεγό- 178
νασι δὲ ὅμως καὶ ἄλλοι μάρτυρες αὐτῷ. πρὶν γὰρ ἐμὲ ἥκειν
ἐκ τῆς Πυθιάδος, ἔλεγε πρὸς τοὺς δημότας Ἀπολλόδωρος
ὅτι πεποιημένος εἴη με υἱὸν καὶ ἐγγεγραφὼς εἰς τοὺς συγ-
γενεῖς καὶ φράτορας, καὶ παραδεδώκει τὴν οὐσίαν, καὶ
διεκελεύεθ' ὅπως, ἄν τι πάθοι πρότερον, ἐγγράφωσί με εἰς
τὸ ληξιαρχικὸν γραμματεῖον Θράσυλλον Ἀπολλοδώρου καὶ
15 μὴ ὡς ἄλλως ποιήσωσι. κἀκεῖνοι ταῦτα ἀκούσαντες, τού-

[1] ἐκποιηθείη

Τῶνδε] Quæ scil. ego nunc mihi vindico bona; ut a patre meo factitio mihi, qui sum ejus filius adoptivus, relicta. IDEM.

Κατὰ ταύτην τὴν συγγένειαν] Hoc est, κατὰ τὴν ἀνεψιότητα, *consobrinitatis jure*, quo jure Eupolidis filia, Pronapidis uxor, hanc controversam Apollodori nostri hereditatem petit. IDEM.

Τὰ πεπραγμένα] Scil ab Apollodoro Thrasylli. acta patris mei in negotio adoptationis meæ. IDEM.

Μητρὸς etc.] Sententia est: Alienas in domos per adoptationem translati nil amittunt hoc facto, nulla parte jurium eorum fraudantur, quæ ipsis ex parte matrum competunt. emigrant quidem multi e domo quisque sua paterna, nemo omnium autem e materna; sed hæc semper cuique salva manet, etiamsi ab alio quopiam patre adoptatus, et a suo vero emancipatus fuerit. IDEM.

Ἀπολλοδώρου] Eupolidis filii. IDEM.

Ἀπεστερήθη] Thrasybulus, Æschinis Lusiensis filius. IDEM.

Ταύτην] Hanc quæ adhuc superest, Eupolidis filiam, Pronapidis uxorem. IDEM.

Οὐκ ἐλάγχανε] Scil. ἐμοὶ, εἰ οὐκ ἐνόμιζε τὰ Ἀπολλοδώρῳ, τῷ ἐμῷ πατρὶ, πραχθέντα κυρίως ἔχειν. *si existimasset illam mei adoptationem non esse ratam et firmam.* IDEM.

Αὐτῷ] Non Thrasybulo, sed Apollodoro, patri meo, de veritate adoptationis meæ. IDEM.

Πυθιάδος] Ita dedi de meo, pro vulgari Πυθαΐδος. *e ludis Pythicis*, quo actor se ait profectum esse, sive solummodo spectandi gratia, sive etiam de palma certandi. IDEM.

Παραδεδώκει] Scil. ἐμοὶ τὴν οὐσίαν τὴν ἑαυτοῦ. IDEM.

Πρότερον] Scil. πρὶν ἢ ἐμὲ ἐπανελθεῖν. IDEM.

των ἐν [1] ἀρχαιρεσίαις κατηγορούντων καὶ λεγόντων ὡς οὐκ
ἐποιήσατό με υἱόν, [2] καὶ ἐξ ὧν ἤκουσαν καὶ ἐξ ὧν ἤδεσαν,
ὀμόσαντες καθ' ἱερῶν ἐνέγραψάν με, καθάπερ ἐκεῖνος ἐκέ-
179 λευε. τοσαύτη περιφάνεια τῆς ἐμῆς ποιήσεως ἐγένετο παρ'
αὐτοῖς. ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ς'. Ἐπὶ μὲν τοσούτων μαρτύρων, ὦ ἄνδρες, γέγονεν ἡ
ποίησις, ἔχθρας μὲν παλαιᾶς αὐτῷ πρὸς τούτους οὔσης, 20
φιλίας δὲ πρὸς ἡμᾶς καὶ συγγενείας οὐ [3] μικρᾶς ὑπαρ-
χούσης. ὡς δ' οὐδ' εἰ μηθέτερον τούτων ὑπῆρχε, μήτε
ἔχθρα πρὸς τούτους μήτε φιλία πρὸς ἡμᾶς, οὐκ ἄν ποτε
Ἀπολλόδωρος ἐπὶ τούτοις τὸν κλῆρον τοῦτον κατέλιπεν
οἶμαι καὶ ταῦθ' ὑμῖν ῥᾳδίως ἐπιδείξειν. πάντες γὰρ οἱ
τελευτήσειν μέλλοντες πρόνοιαν ποιοῦνται σφῶν αὐτῶν,
ὅπως μὴ [4] ἐξερημώσουσι τοὺς σφετέρους αὐτῶν οἴκους, ἀλλ' 25
ἔσται τις καὶ ὁ ἐναγιῶν καὶ πάντα τὰ νομιζόμενα αὐτοῖς
ποιήσων· διὸ κἂν ἄπαιδες τελευτήσωσιν, ἀλλ' οὖν ποιησά-
μενοι καταλείπουσι. καὶ οὐ μόνον ἰδίᾳ ταῦτα γινώσκουσιν,
ἀλλὰ καὶ δημοσίᾳ τὸ κοινὸν τῆς πόλεως οὕτω ταῦτ'
ἔγνωκε· νόμῳ γὰρ τῷ ἄρχοντι τῶν οἴκων, ὅπως ἂν μὴ
180 ἐξερημῶνται, προστάττει τὴν ἐπιμέλειαν. ἐκείνῳ δὲ πρόδη-
λον ἦν ὅτι εἰ καταλείψει τὸν κλῆρον ἐπὶ τούτοις, ἔρημον
ποιήσει τὸν οἶκον, [5] προορῶντι ταύτας τὰς ἀδελφὰς τὸν 30

[1] ἀρχαιρεσία [2] καὶ ἐξ ὧν ἤκουσαν om. [3] σμικρᾶς
[4] ἐξερημώσασι [5] διὰ τί; προορῶντι

Καὶ ἐξ ὧν ἤδεσαν] Duo momenta indicat, quibus moti demotæ seu municipales Apollodori, se, Thrasyllum, in album suum municipale intulerint. 1) ἀκούσαντες ταῦτα. ob hoc Apollodori ad se mandatum. 2) ἐξ ὧν ἤδεσαν, id est, ἐκ τούτων, ἃ αὐτοὶ ἤδη πρότερον ἤδεσαν περὶ τῆς Θρασύλλου ποιήσεως καὶ ἐγγραφῆς εἰς τὸ τῶν συγγενῶν καὶ φρατόρων γραμματεῖον. Idem.

Παρ' αὐτοῖς] Apud municipales puta. Idem.

Αὐτῷ] Apollodoro, patri meo. Idem.

Τούτους] Gentem Eupolidis. Idem.

Ἡμᾶς] Lacratidam, patrem meum verum, matrem meam, avum, aviamque. Fort. leg. συγγενείας δὲ πρὸς ἡμᾶς καὶ φιλίας οὐ σμικρᾶς. Idem.

Καταλείψουσι] Scil. παῖδας. quod vocab. latet in ἄπαιδες. Potest tamen etiam τὸν οἶκον subaudiri. Idem.

Νόμῳ] Si servatur, quod idem est atque ἐν νόμῳ vel διὰ νόμου, tum ad προστάττει subaudiendum erit e præmissis tacite repetitum τὸ κοινὸν τῆς πόλεως, scil. βούλημα. Alias legi possit νόμος. tametsi hoc cur præferatur vulgatæ, causam nullam video. Idem.

Προορῶντι] Tueri hanc lectionem si volemus, aiendum erit dictionem hanc esse ἀνακόλουθον, seu conturbatam, h. e. oratorem, cum narrationem ab aliqua constructione exorsus esset, impetu orationis ablatum, illius constructionis oblitum, ad aliam, illi haud convenientem, delapsum esse. Videtur quidem hic dativus προορῶντι cum οὐκ ἐνῆν ἐλπίσαι p. 145. 8. co-

μὲν Ἀπολλοδώρου τοῦ ἀδελφοῦ κλῆρον ἐχούσας, υἱὸν δ' οὐκ εἰσποιούσας ὄντων αὐταῖς παίδων, καὶ τοὺς μὲν ἄνδρας αὐτῶν τὴν γῆν, ἣν ἐκεῖνος κατέλιπε, καὶ τὰ κτήματα πέντε [1]ταλάντων πεπρακότας καὶ τὸ ἀργύριον διανειμαμένους, τὸν δὲ οἶκον αἰσχρῶς οὕτως καὶ δεινῶς ἐξηρημωμένον. ὃς δὴ 181
35 ταῦτ' ᾤδει τὸν τούτων ἀδελφὸν πεπονθότα, πῶς ἂν, προσεδόκησεν αὐτὸς, εἰ καὶ φίλος ἦν, τυχεῖν τῶν νομιζομένων ὑπ' αὐτῶν, ἀνεψιὸς ὢν ἀλλ' οὐκ ἀδελφὸς αὐταῖς; οὐκ ἐνῆν ἐλπίσαι δήπουθεν. ἀλλὰ μὴν ὅτι ἄπαιδα ἐκεῖνον περιεωράκασι καὶ τὰ χρήματα ἔχουσι καὶ οἶκον ἐκ τοῦ φανεροῦ τριηραρχοῦντα ἀνηρήκασι, κάλει μοι καὶ τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ζ'. Εἰ τοίνυν καὶ τοιοῦτοι τὰς φύσεις περὶ ἀλλήλους
40 εἰσὶ καὶ ἔχθραι πρὸς Ἀπολλόδωρον τὸν ἐμὲ ποιησάμενον ὑπῆρχον αὐτοῖς τηλικαῦται τὸ μέγεθος, τί βέλτιον ἂν ἔπραξεν ἢ ταῦτα βουλευσάμενος, ἅπερ ἐποίησεν; ἢ νὴ Δία παιδίον ἐποιήσατο λαβὼν παρά του τῶν φίλων ὄντων, καὶ τούτῳ τὴν οὐσίαν ἔδωκεν; ἀλλὰ καὶ τοῦτ' ἦν ἄδηλον καὶ 182
τοῖς γεννήσασιν, εἴτε σπουδαῖον εἴτε μηδενὸς ἄξιον ἔμελλεν ἔσεσθαι, διὰ τὴν ἡλικίαν. ἐμοῦ δὲ πεῖραν εἰλήφει, δοκιμασίαν ἱκανὴν λαβών. ἔς τε γὰρ τὸν πατέρα καὶ τὴν μητέρα

[1] τάλαντα

hærere. verum intercedunt alia hoc filum quasi concidentia et abrumpentia: Deinde haud convenit προσορῶντι, sed προσορῶντι saltim; quamquam simplex ὁρῶντι magis etiam conveniebat. Planissime utique sic dixisset: ἑώρα γὰρ ταύτας. aut sic: πρόδηλον γὰρ τοῦτο ἦν αὐτῷ ὁρῶντι ταύτας τὰς ἀδελφὰς, Eupolidis puta filias. Sed satis erit hunc dativum ad πρόδηλον ἦν referri, et legi διὰ τί πρόδηλον; ὁρῶντι —. Idem.

Κτήματα πέντε τάλαντα] Aut κτ. πέντε ταλάντων leg. est, *pro quinque talentis vendiderant*; aut κτήματα ὄντα πεντετάλαντα (adjective, et uno vocabulo) *fundos et supellectilem* rusticam (instrumenta puta, et pecora, et pastores, servosque et ancillas) *quæ omnia valebant quinque talenta.* Idem.

Ἐξηρημωμένον] Post hoc vocabulum suspicor deesse περιϊδόντας aut περιεωρακότας. *passos fuisse, ut domus istæc desolaretur.* desolabatur autem domus, cum postremo ejus possessori nemo pro filio adscititio surrogaretur, qui genus illius continuaret, nomen ejus filio suo imponeret, annuasque contributiones, quas priores possessores ærario publico dependere soliti fuerant, dependere porro pergeret. Nam si census olim trierarchalis ab heredibus concerperetur et contruncaretur, partes alias aliis vendentibus, necesse erat, ut respublica vectigalium accessionem insignem perderet. id quod diligenter cavebant ne fieret, neve reip. nervi inciderentur. Capitale hoc erat facinus, et a legibus imperatum, ut quisque moriens provideret ne domus sua desolaretur. Idem.

Οὐκ ἐνῆν] Post οὐκ ἐνῆν videtur τοῦτ' abesse. Idem.

Ἄδηλον καὶ τοῖς γεννήσασι] *anceps ipsis adeo parentibus.* quanto magis aliis. Suspicatus tamen aliquando sum leg. esse: ἄδηλον καὶ αὐτῷ, *et ipsi* (adoptanti), καὶ τοῖς γεν. *et parentibus pueri.* quod quanquam aio concinnum et conveniens esse, nego tamen prorsus necessarium esse. Idem.

οἷος ἦν ἀκριβῶς ἤδει, τῶν τ' οἰκείων ἐπιμελῆ καὶ [1]τἀμαυ- 67. 1
τοῦ πράττειν ἐπιστάμενον· ἐν ἀρχῇ τε, θεσμοθετήσας, ὡς
ἐγενόμην οὐκ ἄδικος οὐδὲ πλεονέκτης, ἠπίστατο σαφῶς.
ὥστ' οὐκ ἀγνοῶν ἀλλὰ σαφῶς εἰδὼς ἐποίει με τῶν αὐτοῦ
κύριον. καὶ μὴν οὐδὲ ἀλλότριον ἀλλ' ὄντα ἀδελφιδοῦν,
οὐδ' αὖ μικρὰ πεπονθὼς ἀλλὰ μεγάλα ἀγαθὰ ὑφ' ἡμῶν,
οὐδ' αὖ ἀφιλότιμον, ὃς τὰ ὄντα ἀφιέναι ἔμελλον, ὥσπερ 5
183 οὗτοι τὰ [2]τοῦ κλήρου πεποιήκασιν, ἀλλὰ βουλησόμενον
καὶ τριηραρχεῖν καὶ πολεμεῖν καὶ χορηγεῖν καὶ πάνθ' ὑμῖν
τὰ προσταττόμενα ποιεῖν, ὥσπερ κἀκεῖνος. καίτοι εἰ καὶ
συγγενὴς καὶ φίλος καὶ εὐεργέτης καὶ φιλότιμος καὶ δεδο-
κιμασμένος ὑπῆρχον τοιοῦτος εἶναι, τίς ἀμφισβητήσειε μὴ
οὐκ ἀνδρὸς εὖ φρονοῦντος εἶναι ταύτην τὴν ποίησιν; ἐγὼ
τοίνυν ἔν [3]γε τῶν ὑπ' ἐκείνου δοκιμασθέντων ἤδη πεποίη- 10
184 κα· γεγυμνασιάρχηκα [4]γὰρ εἰς Προμήθεια τοῦδε τοῦ
ἐνιαυτοῦ φιλοτίμως, ὡς οἱ φυλέται πάντες ἴσασιν. ὡς δ'
ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ἡ. Τὰ μὲν ἡμέτερα δίκαια, καθ' ἃ προσηκόντως ἔχειν

[1] τὰ ἐμαυτοῦ [2] τοῦ om. [3] τι [4] γὰρ om.

Θεσμοθετήσας] Non cum ἠπίστατο, sed cum ἐγενόμην cohæret, non ad Apollodorum, sed ad Thrasyllum redit. Norat Apollodorus, qualis ego essem in magistratu, quippe qui Thesmothetæ honorem gessissem, sancte et continenter. Sed miror, viros tam adhuc juvenes, atque Thrasyllus tum fuisse videtur nondum ducta domum uxore (nam conjugii sui nusquam mentionem facit) tanto magistratui admoveri consuevisse. Ego vero non nisi senio et prudentia venerabiles, meritisque insignes viros in collegium Areopagitarum adscriptos fuisse autumabam. Idem.

Ὃς τὰ ὄντα ἀφιέναι] Imo vero οὐκ ἀφιέναι. Usurpavit h. l. verbum ἀφιέναι sensu paulo rariore pro ἀποδίδοσθαι, *vendere, a se abalienare,* operam dare, ut in aliorum potestatem veniant. Sententiam hanc verbi h. l. esse, docent proxima insequentia. Aut alias pro prima persona tertia ἔμελλεν est sufficienda. Idem. ἀφανίσαι malit Bekkerus.

Ὥσπερ οὗτοι τὰ κλήρου πεποιήκασι] Imo vero ὥσπερ οὗτοι περὶ τὸν τἀδελφοῦ κλῆρον πεπ. ut hi fecerunt in sorte fratris, quam ἀφῆκαν, id est ἀπηλλοτρίωσαν καὶ ἀπέδεντο. Reisk.

Πολεμεῖν] Bene si habet, quanquam mihi quidem valde suspectum est, significabit idem atque εἰς τὰς πεζὰς στρατείας ἐξιέναι. *pedestri militia fungi.* opponitur enim τῷ τριηραρχεῖν, quæ est militia navalis. Idem.

Κἀκεῖνος] Apollodorus puta factitavit. Idem.

Δεδοκιμασμένος — τοιοῦτος εἶναι] Idem est, ac si dixisset: δοκιμασίαν δεδωκὼς, ὅτι εἰμὶ τοιοῦτος. Idem.

Τῶν ὑπ' ἐκείνου δοκιμασθέντων] *rerum ab eo probatarum.* Difficilis profecto perceptuque et interpretatu dictio, significatne, eorum unum aliquid, quæ ille sibi facienda proposuerat, et fecisset ipse procul dubio, si diutius superfuisset; eoque, quod ipse non potuit, mihi exsequendum demandavit. Videant peritiores num vis verbi δοκιμάζειν hanc sententiam patiatur. Idem.

Εἰς Προμήθεια] *ad Vulcanalia,* vel si rectius putas, *Promethea,* h. e. ludos Promethei. Sic correxi de meo, pro vulgari εἰς Προμήθειαν. Idem. Sic antea correxerat Meursius in Græc. Fer. l. v. voc. ΠΡΟΜΗΘΕΙΑ.

Τὰ ἡμέτερα δίκαια] Mea, et qui mecum communem sibi fecerunt hanc causam. quo in numero sunt mater, et pater verus, La-

φαμὲν τὸν κλῆρον, ταῦτ' ἐστὶν, ὦ ἄνδρες· δέομεθα δ' ὑμῶν βοηθεῖν ἡμῖν καὶ ἕνεκα Ἀπολλοδώρου καὶ ἕνεκα τοῦ ἐκείνου πατρός. οὐ γὰρ ἀχρήστους αὐτοὺς εὑρήσετε πολίτας, ἀλλ' ὡς οἷόν τ' εἰς τὰ ὑμέτερα προθυμοτάτους. ὁ μὲν γὰρ πατὴρ αὐτοῦ τάς τε ἄλλας ἁπάσας λειτουργίας λελειτούργηκε, καὶ τριηραρχῶν τὸν πάντα χρόνον διετέλεσεν, οὐκ ἐκ συμμορίας τὴν ναῦν ποιησάμενος ὥσπερ οἱ νῦν, ἀλλ' ἐκ τῶν αὐτοῦ δαπανῶν, οὐδὲ δεύτερος αὐτὸς ὢν ἀλλὰ κατὰ μόνας, οὐδὲ δύο ἔτη [1] διαλιπὼν ἀλλὰ συνεχῶς, οὐδ' ἀφοσιούμενος ἀλλ' 185
ὡς οἷόν τ' ἄριστα παρασκευαζόμενος. ἀνθ' ὧν ὑμεῖς [2] κἀκεῖνον ἐτιμᾶτε, μεμνημένοι τούτων τῶν ἔργων· καὶ τὸν υἱὸν αὐτοῦ τῶν χρημάτων ἀποστερούμενον ἐσώσατε, τοὺς ἔχοντας ἀποδοῦναι τὰ ὄντ' αὐτῷ καταναγκάσαντες. καὶ μὴν καὶ αὐτὸς Ἀπολλόδωρος οὐχ ὥσπερ Προνάπης ἀπεγράψατο μὲν τίμημα μικρὸν, ὡς ἱππάδα δὲ τελῶν ἄρχειν ἠξίου τὰς ἀρχὰς, οὐδὲ βίᾳ μὲν ἐζήτει τὰ ἀλλότρι' ἔχειν, 186
ὑμᾶς δ' ᾤετο δεῖν μηδὲν ὠφελεῖν, ἀλλὰ φανερὰ τὰ ὄντα

[1] καταλιπὼν [2] ἐκεῖνον

cratides, et fratres, si qui erant Thrasyllo, nec non sorores et earum mariti. Reisk.

Προθυμοτέρους] Π. προθυμοτάτους. Οὕτως ὀλίγῳ ὕστερον, ὡς οἷόν τ' ἄριστα. H. Stephan.

Πατὴρ αὐτοῦ] Thrasyllus major, frater Eupolidis et Mnesonis. Reisk.

Δαπανῶν] Subaudi μόνος. Idem.

Καταλιπὼν] Imo vero διαλιπὼν, vel παραλιπών. Idem.

Ἀφοσιούμενος] Τὸ μὴ ἐντελῶς τι ποιῆσαι, ἀλλ' ὥσπερ ὁσίας ἕνεκεν ἀφοσιώσασθαι εἶπεν Ἰσαῖος ἐν τῷ περὶ Ἑρμωνα. leviter et dicis causa re defungi. Ita periit oratio; sed et in orat. de Apollod. hered. adhibetur illud eodem modo. Vide ad Harpocr. Mauss. et H. Vales. p. 259. *Ad Herodot.* l. iv. c. 154. Valckenaer.

Τὸν υἱὸν αὐτοῦ] Apollodorum, super cujus hereditate certatur. Reisk.

Ἠξίου] Dubium ad utrum hoc redeat, ad Pronapidemne, an ad Apollodorum. μὲν præmissum cum insequente δὲ suadent, ut ad Pronapidem referatur. Erit ergo nota ignominiosa si quis, in ordine equestri qui censeatur, magistratus gerat. Qua de re mihi satis non constat. Ego vero potius arbitrer honorifica hæc duo esse, si quis ordini equestri adscriptus sit, et magistratus gerat. Ergone, si scilicet conjectura me mea minus fallat, μὲν præmissum erit tollendum? ut hæc sit sententia: Pronapes quidem censum exiguum professus est, quo factum, ut ordini equestri non posset adscribi; neque magistratus gerere; Apollodorus autem ingentem censum professus, inter equites egit, et honores gessit. An servabimus μὲν, et lacunam sic, quodammodo explebimus: ὥσπερ Προνάπης ἀπεγράψατο μὲν τίμημα μικρὸν, ἀρχὴν δὲ μηδεμίαν ἤρχεν. hactenus quæ Pronapidem, ut hominem cupidum et sordidum, gloriæque patriæque pariter negligentem, minuti animi degenerisque notant; jam nunc Apollodorum celebrantia: εἰς ἱππάδα δὲ τελῶν — Apollodorus vero equestri ordini fuit adscriptus, et honores complures gessit, quos, tametsi sumptuosos, ipse sibi, pro animi sui liberalitate atque magnificentia, depoposcit. Hæc mihi quidem vera videtur esse hujus loci sententia. Meliora tamen si sint, qui me doceant, volens aurem præbebo. Caliginosis in rebus mirum non est nos veluti cœcos palpare, et suspenso gradu incedere. Ad Pronapidem hæc detorquere si quis malit, poterit ille dictionem τὰς ἀρχὰς ἠξίου ἄρχειν sic interpretari: honores tamen appetiit, eosque ad se adhamavit lucrosos, quæstuosos, unde ditatus est per furta, quamvis solummodo eques esset, non ordinis senatorii. Verum, quod iterum protestor, integrum cuique facio, ut pro animi sui sententia h. l. accipiat. Idem.

καταστήσας ὑμῖν, ὅσα προστάττοιτε, πάνθ' ὑπηρέτει φι-
λοτίμως, οὐδέν τ' ἀδικῶν ἐκ τῶν ἑαυτοῦ φιλοτίμως ἐπει-
ρᾶτο ζῆν, ἐς αὐτὸν μὲν τὰ μέτρια ἀναλίσκειν οἰόμενος δεῖν,
τὰ δ' ἄλλα τῇ πόλει περιποιεῖν, ἵνα ἐξαρκοίη πρὸς τὰς
δαπάνας. κἀκ τούτων τίνα λειτουργίαν οὐκ ἐξελειτούρ-
187 γησεν; ἢ τίνα εἰσφορὰν οὐκ ἐν πρώτοις εἰσήνεγκεν; ἢ τί
παραλέλοιπεν ὧν προσῆκεν; ὅς γε καὶ παιδικῷ χορῷ 30
χορηγῶν ἐνίκησεν, ὧν μνημεῖα τῆς ἐκείνου φιλοτιμίας ὁ τρί-
πους ἐκεῖνος ἕστηκε. καίτοι τί χρὴ τὸν μέτριον πολίτην;
[1] οὐχ οὗ μὲν ἕτεροι τὰ μὴ προσήκοντ' ἐβιάζοντο λαμβά-
νειν, τούτων μηδὲν ποιεῖν, τὰ δ' ἑαυτοῦ πειρᾶσθαι σώζειν;
[2] οὗ δ' ἡ πόλις δεῖται χρημάτων, ἐν πρώτοις εἰσφέρειν καὶ
μηδὲν ἀποκρύπτεσθαι τῶν ὄντων; ἐκεῖνος τοίνυν τοιοῦτος
ἦν· ἀνθ' ὧν δικαίως ἂν αὐτῷ ταύτην τὴν χάριν ἀποδοίητε, 35
188 τὴν ἐκείνου γνώμην περὶ [3] τῶν αὐτοῦ κυρίαν εἶναι ποιή-
σαντες. καὶ μὴν καὶ ἐμέ γε, ὅσα κατὰ τὴν ἐμὴν ἡλικίαν,
εὑρήσετε οὐ κακὸν οὐδ' ἄχρηστον. ἐστράτευμαι [4] τὰς στρα-

[1] οὐκ εἰ μὲν [2] οὗ δ' εἰ ἡ [3] τοῦ κυρίαν [4] ταῖς στρατείαις

Κἀκ τούτων] Scil. τῶν ἄλλων, ἃ περιεποίει τῇ πόλει. ex illis reliquis, quæ ipsi, post necessarios sumptus in victum et cultum quotidianum faciendos, superessent. quæ defraudans genium suum comparsisset, atque reipublicæ reservasset. IDEM.

Ἐξελειτούργησε] Colligas ex hoc vocabulo, quod est inventu paulo rarius, fuisse Athenis, qui, aut vanitate acti, aut ignorantes ipsi fortunarum suarum veras rationes, aut sumptuum in munia faciendorum magnitudinem haud satis tenentes, cum cœpissent munia edere, victi sumptuum enormitate ante haud provisa, quibus tolerandis res familiaris haud sufficeret, medio in munere deficerent, neque id possent ἐκλειτουργεῖν, h. e. ad finem usque de peculio suo perducere. Videntur tamen esse futuri, quibus nimis acerbus videar esse particularum rimator, et qui contendant verbum compositum nihilo plus, quam simplex, significare. Quibus tanti haud duco, ut obstrepam. IDEM.

Ἐν πρώτοις] Hi iidem, opinor, οἱ τριακόσιοι. cf. de Philoct. Hered. p. 62. 20. ed. Steph. *In Anim. ad Jus A. et R.* HERALDUS.

Ὧν μνημεῖα τῆς ἐκείνου φιλοτιμίας ὁ τρίπους ἐκεῖνος ἕστηκε] Ergo tripos, unus numero, μνημεῖα erit? cur non potius μνημεῖον in numero singulari? Deinde quæ dictio? quæ constructio? ὧν τῆς φιλοτιμίας. Bene si habet, durum tamen est, ut sic dicatur pro ἐν οἷς φανεραθείσης, vel ἐπιδειχθείσης τῆς ἐκείνου φιλοτιμίας. Offendit hic scopulus etiam annotatorem in libro Tophanis, unde Taylor hanc conjecturam retulit: ὧν μνημεῖα καὶ τῆς — quam parum probo. Quid si hoc magis placeat: ὦ [scil. χορῷ παιδικῷ] μνημεῖον τῆς —. REISK.

Πολίτην] Addendum videtur ποιεῖν. IDEM.

Περὶ τοῦ κυρίαν εἶναι] Π. περὶ τοῦ κλήρου κυρίαν εἶναι. Οὕτω καὶ ὀλίγῳ ὕστερον, ἐπικυρώσητε τὴν Ἀπ. γν. ἀποδόντες ἡμῖν τὸν τούτου κλῆρον. H. STEPHAN. Ambigens inter hanc Stephani conjecturam, et inter meam περὶ τούτων κυρίαν, reliqui mendum, quale inveni. REISK.

Ὅσα etc.] Id est, ἐν πᾶσι τούτοις ἐξετάσαντες, ὅσα τῇ ἐμῇ ἡλικίᾳ προσήκει, καὶ παρ' αὐτῆς προσδοκᾶται. sed v. annotationem proximam. IDEM.

Ταῖς στρατείαις] Imo vero τὰς στρατείας. ut etiam Scaliger adscripserat. sic certe loqui solent. vulgatam si tuebimur, erit ἐν subaudiendum, aut sic leg. ἐστράτευμαι γὰρ ἐν ἁπάσαις ταῖς στρατείαις, scil. ὅσαι κατὰ τὴν ἐμὴν ἡλικίαν γεγόνασι. Et nescio profecto, an verba ὅσα κατὰ τὴν ἐμὴν ἡλικίαν, quæ versu superiori leguntur, huc

τείας τῇ πόλει, τὰ προσταττόμενα ποιῶ· τοῦτο γὰρ τῶν
τηλικούτων ἔργον ἐστί. καὶ ἐκείνων οὖν ἕνεκα καὶ ἡμῶν
εἰκότως ἂν [1]ποιήσαισθε πρόνοιαν, ἄλλως τε καὶ τούτων 189
40 [2]τριηραρχοῦντα οἶκον πεντετάλαντον ἀνηρηκότων καὶ πε-
πρακότων καὶ ἔρημον πεποιηκότων, ἡμῶν δὲ καὶ λελειτουρ-
γηκότων ἤδη καὶ λειτουργησόντων, ἂν ὑμεῖς ἐπικυρώσητε
τὴν Ἀπολλοδώρου γνώμην ἀποδόντες ἡμῖν [3]τοῦτον τὸν
κλῆρον.

θ'. Ἵνα δὲ μὴ δοκῶ διατρίβειν περὶ ταῦτα ποιούμενος
τοὺς λόγους, βούλομαι διὰ βραχέων ὑμᾶς ὑπομνήσας οὕτω
καταβαίνειν, τί ἑκάτερος ἡμῶν ἀξιοῖ, δηλώσας. ἐγὼ μὲν
8. 1 ἀδελφῆς οὔσης τῆς [4]ἐμῆς μητρὸς Ἀπολλοδώρῳ, φιλίας αὐ-
τοῖς πολλῆς ὑπαρχούσης, ἔχθρας δ' οὐδεμιᾶς πώποτε γε- 190
νομένης, ἀδελφιδοῦς ὢν καὶ ποιηθεὶς υἱὸς ὑπ' ἐκείνου ζῶντος
καὶ εὖ φρονοῦντος, καὶ εἰς τοὺς γεννήτας καὶ φράτορας ἐγ-
γραφεὶς, ἔχειν τὰ δοθέντα, καὶ μὴ ἐπὶ τούτοις [5]ἐξερη-
μῶσαι τὸν οἶκον [6]τὸν ἐκείνου· Προνάπης δὲ τί ὑπὲρ τῆς

[1] ποιήσησθε [2] μὲν μὴ τριηραρχούντων [3] τούτου [4] ἡμετέρας
[5] ἐξηρημῶσθαι [6] τὸν om.

deducenda sint, et locus totus sic legendus: καὶ ἐμέ γε εὑρήσετε οὐ κακὸν, οὐδὲ ἄχρηστον. ἐστράτευμαι γὰρ ἐν ἁπάσαις ταῖς στρατείαις, ὅσαι κατὰ τὴν ἐμὴν ἡλικίαν γεγόνασι τῇ πόλει, τὰ προσταττόμενα ποιῶν. quotquot per ætatem meam, me adolescente et armis gerendis idoneo, reipublicæ evenerunt necessitates in castra eundi, iis castris omnibus interfui. IDEM.

Ἔργον] Sic dedi de meo, pro vulgari ἔργων. hoc enim opus, hæc provincia est adolescentium, eam ætatem agentium, quam ego nunc ago. IDEM.

Καὶ ἡμῶν] Aut tollenda est copula, ut hæc sit sententia: Respectum nostri habeatis, et nobis parcatis, etiam propter hæc mea præclara facinora. vel ob hæc mea decora, modo a me commemorata, convenit, ut nos servetis. Aut servato καὶ, erit ἡμῶν iterandum, sive expressis literis, sive, si minus tutum et consultum id videatur, saltim tacita mente. ut hæc sit sententia: Tam illorum, majorum nostrorum, quam nostrimet causa, oportet vos nobis consulere. IDEM.

Ἤδη] Quid si πολλάκις addatur, sive ante sive post. IDEM.

Τῆς ἡμετέρας μητρὸς] Ergo fratres sororesve plures erant Thrasyllo, hujus causæ actori. quos ei fuisse jam supra suspicatus sum. IDEM.

Φιλίας αὐτοῖς] Num καὶ φιλίας αὐτοῖς, aut φιλίας τ' αὐτοῖς. verum tamen potest vulgata, etiam sine accessione particulæ copulantis, probari, si scilicet ita accipiatur ac si dixisset: ὅτι ἡ ἡμετέρα μήτηρ Ἀπολλοδώρῳ ἦν ἀδελφὴ ὁμομήτριος, πολλῆς διὰ τοῦτο φιλίας αὐτοῖς [huic fratri cum hac sorore ejusque liberis] ὑπαρχούσης. *magna inter eos amicitia et familiaritas ideo esset, quod mater nostra soror Apollodori esset.* IDEM.

Ἔχειν] Hic addendum videtur ἀξιῶ. IDEM.

Ἐπὶ τούτοις] Num addendum εἶναι. *postulo ut his*, Eupolidis genti puta, *ne concedatur, ut in ipsorum potestate sit, ut domus Apollodori desoletur.* IDEM.

Τὸν οἶκον ἐκείνου] Sic dedi e conjectura mea, et auctoritate Scaligeri, nec non ignoti annotatoris in libro Tophanis. Omnium ex illo Tophanis libro relatarum a Tayloro annotationum hæc est postrema. nam post eam nihil illinc repetitum in Taylori schedis reperi, quod ad quatuor postremas Isæi orationes faceret. Ipse quoque Taylor ad orationes 8, 9. et 10. nihil annotaverat. Vulgares libri h. l. dant τὸν τοῦ ἐκείνου. IDEM.

Προνάπης δὲ τί ὑπὲρ τῆς ἀμφισβητούσης; ἔχειν] Id est, τί ἀξιοῖ ὑπὲρ τῆς ἑαυτοῦ γυναικὸς, τῆς νῦν ἐμοὶ ἀμφισβητούσης τοῦ κλή-

ἀμφισβητούσης; ἔχειν μὲν τοῦ τῆς γυναικὸς ἀδελφοῦ τι- 5
μὴν τοῦ ἡμικληρίου πέντ' ἡμιτάλαντα, λαβεῖν δὲ καὶ τόν-
δε τὸν κλῆρον ἑτέρων ταῖς ἀγχιστείαις προτέρων αὐτοῦ
191 τῆς γυναικὸς ὄντων, οὔτ' ἐκείνῳ παῖδα εἰσποιηκὼς ἀλλὰ
τὸν οἶκον ἐξηρημωκώς, [1] οὔτε τούτῳ ἂν εἰσποιήσας ἀλλ' ὁμοί-
ως ἂν καὶ τοῦτον ἐξερημώσας, καὶ ἔχθρας μὲν τηλικαύ-
της ὑπαρχούσης αὐτοῖς, διαλλαγῆς δὲ οὐδεμιᾶς πώποθ'
ὕστερον γενομένης. ταῦτα χρὴ σκοπεῖν, ὦ ἄνδρες, κἀκεῖνο 10
[2] ἐνθυμεῖσθαι, ὅτι [3] ἐγὼ μὲν ἀδελφιδοῦς αὐτῷ, ἡ δὲ ἀνε-
ψιὰ τοῦ τελευτήσαντος, καὶ ὅτι ἡ μὲν δύ' [4] ἔχειν ἀξιοῖ κλή-
ρους, ἐγὼ δὲ τοῦτον μόνον εἰς ὅνπερ εἰσεποιήθην, καὶ ὅτι
αὕτη μὲν οὐκ εὔνους τῷ καταλιπόντι τὸν κλῆρον, ἐγὼ δὲ
καὶ ὁ ἐμὸς πάππος εὐεργέται γεγόναμεν αὐτοῦ. ταῦτα
πάντα σκεψάμενοι καὶ διαλογιζόμενοι πρὸς ὑμᾶς αὐτούς,
192 τίθεσθε τὴν ψῆφον ἢ δίκαιόν ἐστιν. οὐκ οἶδ' ὅ τι δεῖ πλείω 15
λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων.

[1] οὐδὲ τοῦτον [2] ἐνθυμεῖσθε [3] ἐκεῖνος [4] ἔχει κλήρους

ξου. Pronapes autem quid postulat nomine uxoris suæ, nunc mecum super hac hereditate contendentis? Respondet ad hanc interrogationem ἔχειν — id est, ἀξιοῖ γὰρ ἔχειν. *postulat nempe*, vel *æquum et sibi licitum atque datum censet.* Idem.

Προτέρων αὐτοῦ τῆς γυναικὸς ὄντων] *quamvis alii essent ab hereditatis adeundæ jure multo propiores, quam est ejus*, Pronapidis puta, *uxor.* Idem.

Ἐκείνῳ] Uxoris fratri, Apollodoro, Eupolidis filio. Idem.

Τὸν οἶκον] Hujus Apollodori. Idem.

Τοῦτον] Quanquam manifeste vitiosum, reliqui hoc, ambigens, utrum τούτῳ emendarem, quod sit ad Apollodorum, Thrasylli filium, rediturum, an εἰς τοῦτον, scil. τὸν οἶκον, τὸν τοῦ Ἀπολλοδώρου, τοῦ Θρασύλλου. Idem.

Τοῦτον] Hoc posterius iterum ad οἶκον Ἀπολλοδώρου redit, ejusdem puta, filii Thrasylli. Idem.

Αὐτοῖς] Apollodoro Thrasylli cum patruo et ejus necessariis. Idem.

Κἀκεῖνο] Malim ἔτι δὲ κἀκεῖνο. De ἐνθυμεῖσθε perinde est, sive servetur, sive cum ἐνθυμεῖσθαι mutetur, ut aptum sit e χρὴ præmisso. Idem.

Ἐκεῖνος μέν, ἀδελφιδοῦς αὐτῷ] Imo vero ἐκείνου μὲν ἀδελφιδοῦς ἐγώ, aut ἐγὼ μὲν ἀδελφιδοῦς αὐτῷ. *ego sum illi*, Apollodoro Thrasylli filio, *e sorore nepos.* Idem.

Δύο ἔχει κλήρους] Alteram sortem a patre nacta, alteram a fratre. Idem.

Η.

ΙΣΑΙΟΥ

ΥΠΕΡ ΤΟΥ ΚΙΡΩΝΟΣ ΚΛΗΡΟΥ.

Pag. ed. teph. Pag. ed. Reisk.

ΥΠΟΘΕΣΙΣ.

3. 22 Κίρωνος ἄπαιδος γνησίων τελευτήσαντος παίδων, ἀδελφιδοῦς τις αὐτοῦ κατὰ πατέρα ἀντι- 192
ποιηθεὶς τοῦ κλήρου παρέλαβε τὴν οὐσίαν αὐτοῦ παρὰ τῆς γυναικός· καὶ μετὰ ταῦτα ὁ λέγων τὸν
λόγον γράφεται τὸν ἀδελφιδοῦν, φάσκων θυγατριδοῦς εἶναι Κίρωνος, καὶ ὅτι ἡ γυνὴ τοῦ τετελευ-
τηκότος ἐκοῦσα προέδωκε τὸν κλῆρον τῷ ἀδελφιδῷ, ἵνα μέρος δοῦσα αὐτῷ τὰ λοιπὰ κερδάνῃ.
καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ στάσις δὲ στοχασμός· ζητεῖται γὰρ εἴτε θυγατριδοῦς ἐστὶν οὗ-
τος τοῦ Κίρωνος γνήσιος εἴτε οὔ. ἐπιπλέκεται δ' αὐτῷ καὶ ἡ κατὰ ποιότητα ζήτησις· ὁ γὰρ
ἀδελφιδοῦς ἠγωνίζετο, λέγων ὅτι εἰ καὶ δῶμεν ἐκείνην γνησίαν εἶναι θυγατέρα Κίρωνος, ἐπειδὴ
ἐτελεύτησεν ἐκείνη, ὁ δ' υἱὸς αὐτῆς ἀμφισβητεῖ νῦν, προτιμητέος ἐστὶν ὁ κατὰ πατέρα ἀδελ-
φιδοῦς τοῦ ἀπὸ θυγατρὸς ἐκγόνου, κατὰ τὸν νόμον ἐκεῖνον τὸν κελεύοντα προτιμᾶσθαι τοὺς ἀπὸ
[1] τῶν ἀῤῥένων τῶν ἀπὸ τῶν θηλειῶν. οὗτος γὰρ, τεχνικώτατα πάνυ σιωπήσας τοῦτον τὸν νόμον,
ἐκ τῆς τῶν τεκόντων διαφορᾶς ἀγωνίζεται, δεικνὺς ὅτι ὅσον θυγάτηρ ἀδελφοῦ οἰκειοτέρα τοῖς 193
τελευτῶσι, τοσοῦτον ἔκγονος ἀδελφιδοῦ διαφέρει. ἔῤῥωται οὖν ἐνταῦθα τῷ δικαίῳ, καὶ ἀσθενεῖ
τῷ νομίμῳ· τὴν δὲ ἐργασίαν τῶν κεφαλαίων κατὰ τὴν οἰκείαν πάλιν ἐργάζεται δύναμιν.

32 α'. ΕΠΙ τοῖς τοιούτοις, ὦ ἄνδρες, ἀνάγκη ἐστὶ χαλεπῶς
φέρειν, ὅταν τινὲς μὴ μόνον τῶν ἀλλοτρίων ἀμφισβητεῖν
τολμῶσιν, ἀλλὰ καὶ τὰ ἐκ [2] τῶν νόμων δίκαια τοῖς σφετέ-
35 ροις αὐτῶν λόγοις ἀφανίζειν ἐλπίζωσιν· ὅπερ καὶ νῦν οὗτοι
ποιεῖν ἐγχειροῦσι. τοῦ γὰρ ἡμετέρου πάππου Κίρωνος οὐκ
ἄπαιδος τελευτήσαντος, ἀλλ' ἡμᾶς ἐκ [2] θυγατρὸς αὐτοῦ

[1] τῶν om. [2] τοῦ νόμου [3] τῆς θυγατρὸς

ΚΙΡΩΝΟΣ] De Cironis nomine, tum de genere, pauca quædam præmittam. Constat ubique locorum, ubi nomen hoc occurrit, sic, ut in Isæi libris circumfertur, per unum ρ exarari; tametsi potius videatur, ut geminato ρ exaretur, quod sit a κιῤῥὸς ductum, *gilvus, luteus*. Erit ergo Κίρων, nisi is potius Κίῤῥων est, homo pallida, lutea et ad furvum vergente facie. De genere hujus Cironis, vel Cirrhonis, hæc potui ex obscuris hujus orationis locis colligere. Sorores erant duæ, quarum ex altera Ciro natus fuit, item Cironis frater, unde venit filius, adversus quem actor hujus causæ hac oratione agit, aiens, istum sui avi sive ex fratre sive ex sorore nepotem, adversarium suum a Diocle adversus se armatum atque incitatum esse. Ciron ipse, de cujus hereditate hic agitur, duas domi habuit uxores successive. E prima earum, quæ fuit ipsius consobrina, ut ex sorore matris nata, suscepit filiam, quæ, post sterile cum Nausimene conjugium, e secundo marito, cujus nomen reticetur, filios duos peperit, actorem hujus causæ, et fratrem ejus. Secunda uxor, quæ fuit Dioclis soror, Cironi duos peperit mares, sed illos ante patrem exstinctos. Insignis est hac de oratione locus apud Eusebium Præpar. Evangel. p. 466. C. Reisk.

γνησίας παῖδας αὐτῷ καταλελοιπότος, οὗτοί τε τοῦ κλή-
194 ρου λαγχάνουσιν ὡς ἐγγυτάτω γένους ὄντες, ἡμᾶς τε ὑβρί-
ζουσιν ὡς οὐκ ἐξ ἐκείνου θυγατρὸς ὄντας, οὔτε γενομένης
αὐτῷ ποτε τὸ παράπαν. αἴτιον δὲ τοῦ ταῦτα ποιεῖν
αὐτοὺς ἐστὶν ἡ τούτων πλεονεξία, τὸ πλῆθος τῶν χρημά- 40
των ὧν Κίρων μὲν καταλέλοιπεν, οὗτοι δ' ἔχουσι βιασάμενοι
καὶ κρατοῦσι· καὶ τολμῶσιν ἅμα [1]μὲν λέγειν ὡς οὐδὲν
καταλέλοιπεν ἐκεῖνος, ἅμα δὲ ποιεῖσθαι τοῦ κλήρου τὴν
ἀμφισβήτησιν. τὴν μὲν οὖν κρίσιν οὐ δεῖ μοι νομίζειν εἶναι
ταύτην πρὸς τὸν εἰληχότα τοῦ κλήρου τὴν δίκην, ἀλλὰ
195 πρὸς Διοκλέα τὸν [2]Φλυέα, τὸν Ὀρέστην ἐπικαλούμενον·
οὗτος γάρ ἐστιν ὁ τοῦτον παρασκευάσας πράγμαθ' ἡμῖν 69.
παρέχειν, ἀποστερῶν τὰ χρήματα, ἃ Κίρων ὁ πάππος
ἀποθνήσκων κατέλιπεν, ἡμῖν δὲ τούτους τοὺς κινδύνους
ἐπάγων, ἵνα μηδὲν [3]ἀποδιδῷ τούτων, ἐὰν ὑμεῖς ἐξαπατη-
θῆτε πεισθέντες ὑπὸ τῶν τούτου λόγων. δεῖ δὴ τούτων
τοιαῦτα μηχανωμένων πάνθ' ὑμᾶς τὰ πεπραγμένα μαθεῖν,
ἵνα μηδὲν ἀγνοήσαντες τῶν γεγενημένων, ἀλλὰ σαφῶς εἰ- 5
δότες περὶ αὐτῶν, οὕτως ἐνέγκητε τὴν ψῆφον. εἴ τινι οὖν
καὶ ἄλλῃ [4]πώποτε δίκῃ προσέσχετε ἀκριβῶς τὸν νοῦν,
δέομαι ὑμῶν καὶ ταύτῃ προσέχειν ὁμοίως, ὥσπερ καὶ τὸ
δίκαιόν ἐστι. πολλῶν δὲ δικῶν ἐν τῇ πόλει γενομένων,
196 οὐδένες ἀναιδέστερον τούτων οὐδὲ [5]καταφανέστερον ἀντι-

[1] μὲν om. [2] Φιλέα [3] ἀποδῷ [4] πώποτε om. [5] καταφρονέστερον

Οὗτοί τε τοῦ κλήρου] Malim οὗτοι τοῦ τε κλήρου. nam οὗτοι pariter ad λαγχάνουσιν et ad ὑβρίζουσι pertinet. Idem.

Οὔτε] Imo vero οὐδὲ, vel ὡς οὐδὲ, quippe quæ nulla unquam ipsi fuisset. Idem.

Τὸ πλῆθος] Malim καὶ τὸ πλ. Idem.

Ἅμα λέγειν] Videtur μὲν interponendum. Idem.

Τὸν Φιλέα] Lege, si mihi credes, τὸν Φλυέα, a pago, seu demo, Φλυεῖς, a quo gentile Φλυεύς. nam a Φύλη, alio demo, fit Φυλάσιος, non Φυλεὺς, teste Stephano. Palmer. Idem mihi quoque visum fuerat, vel antequam Palmerium inspexissem. v. p. 164. 6. et Harpocr. cujus hæc sunt verba: Φλυεῖς. Ἰσαῖος ἐν τῷ περὶ Κίρωνος κλήρου etc. Aliter tamen statuit Valesius in annotat. ad Maussaci notas ad Harpocr. p. 317. cujus hæc sunt verba: "Diocles quidem Φιλεὺς, cognominatus esse Orestes dicitur ab Isæo, or. περὶ Κίρ. initio, ubi Φιλιέα lego ex Harpocr. Themistius p. 389. Διοκλῆς ὁ λωποδύτης." Atqui apud Harpocr. non Φιλεὺς est, sed Φλυεύς. videtur ergo memoria Valesium fefellisse, aut oculus. Reisk.

Τοῦτον] Cognatum Cironis. Idem.

Οὐδὲν ἐς ἀναιδέστερον] Π. οὐδένες ἀναιδ. Χρῆται γὰρ τῷ οὐδένες καὶ ἐν τοῖς ἑξῆς. Ἀλλὰ καὶ τὸ καταφρονέστερον ὑποπτεύεται. H. Stephan. Recte prius, male posterius. Obsecundavi Stephano vera monenti. Adverbium vero, rarius quidem inventu, bonæ tamen illud notæ, sine causa incusantem haud audio. ut ἀναιδέστερον est *majore cum impudentia*, ita καταφρονέστερον est *majore cum contemptu*. Dicet, ἀναιδὴς quidem se nosse, negabit autem καταφρονὴς nosse. Respondeo, adverbiorum formam derivatorum ab adjectivis præferentium esse nonnulla, quorum primitiva, h. e. adjectiva, in usu minus sunt, et ni-

ποιησάμενοι φανήσονται τῶν ἀλλοτρίων. ἔστι μὲν οὖν χα-
10 λεπὸν, ὦ ἄνδρες, πρὸς παρασκευὰς λόγων καὶ μάρτυρας οὐ
τἀληθῆ μαρτυροῦντας εἰς [1]ἀγῶνα καθίστασθαι περὶ τηλι-
κούτων, παντάπασιν ἀπείρως ἔχοντα δικαστηρίων· οὐ μὴν
ἀλλὰ πολλὰς ἐλπίδας ἔχω καὶ παρ' ὑμῶν τεύξεσθαι τῶν
δικαίων καὶ μέχρι γε τοῦ τὰ δίκαια εἰπεῖν καὶ αὐτὸς ἀρ-
κούντως ἐρεῖν, ἂν μή τι συμβῇ τοιοῦτον ὃ νῦν ὑπ' ἐμοῦ
τυγχάνει προσδοκώμενον. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες, μετ' 197
15 εὐνοίας τέ μου ἀκοῦσαι, κἂν ἠδικῆσθαι δοκῶ, βοηθῆσαί
μοι τὰ δίκαια.

β'. Πρῶτον μὲν οὖν, ὡς ἦν [2]ἡ μήτηρ ἡ [3]μὴ Κίρωνος
θυγάτηρ γνησία, ἐπιδείξω τοῦτο ὑμῖν, τὰ μὲν πάλαι γε-
γενημένα λόγων ἀκοῇ καὶ μαρτύρων, τὰ δ' ὥστε καὶ μνη-
μονεύεσθαι, τοῖς εἰδόσι χρώμενος μάρτυσιν, ἔτι δὲ τεκμη-
ρίοις ἃ κρείττω τῶν μαρτυριῶν ἐστίν· [4]ἐπειδὰν δὲ ταῦτα
φανερὰ καταστήσω, τόθ' ὡς καὶ κληρονομεῖν μᾶλλον ἡμῖν
20 ἢ τοῦτον προσήκει τῶν Κίρωνος χρημάτων. ὅθεν οὖν ἤρξαντο
περὶ αὐτῶν, ἐντεῦθεν ὑμᾶς κἀγὼ πειράσομαι διδάσκειν.

γ'. Ὁ γὰρ πάππος ὁ ἐμὸς, ὦ ἄνδρες, Κίρων ἔγημε τὴν
ἐμὴν τήθην οὖσαν ἀνεψιὰν, ἐξ ἀδελφῆς τῆς αὐτοῦ μητρὸς
αὐτὴν γεγενημένην. ἐκείνη μὲν οὖν συνοικήσασα οὐ πολὺν 198
χρόνον, τεκοῦσα αὐτῷ τὴν ἐμὴν μητέρα, μετὰ ἐνιαυτοὺς
τριάκοντα τὸν βίον ἐτελεύτησεν· ὁ δὲ πάππος μιᾶς [5]μόνης

[1] ἀγῶνας. [2] ἡ om. [3] ἐμὴ. [4] ἐπεὶ δ' ἂν. [5] μόνης om.

bilominus tamen adverbia inde producta probæ notæ et crebri usus sunt. Ad καταφρονέστερον subauditur, aut ἡμᾶν, aut ὑμᾶν, aut τῆς πόλεως, aut τοῦ δικαίου, aut τῶν νόμων, aut tale quid. Reisk.

Οὐ μὲν ἀλλὰ πολλὰς κ. τ. λ.] Cf. Demosth. c. Aphob. A. §. α'.

Ὅ] Proprie si voluisset dicere, debuisset οἷον usurpare. Sed paulo sunt in his indiligentiores. Præmissis τοιοῦτος, τηλικοῦτος, et similibus non ubique locorum severe respondentia, ut οἷος, ὅσος — subjiciunt, sed articulum solummodo postpositivum. Idem.

Παλαιὰ] Π. πάλαι. H. Stephan.

Μαρτύρων] Μαρτύρων ἀκοὴ est, cum provocas ad auctoritatem eorum, qui cum se negent interfuisse rebus iis, de quibus agitur, tum tamen affirment ea se accepisse ex aliis fide dignis testibus, qui se vidisse et probe tenere acta confirmarint. Sed præstat ad μαρτύρων addi πίστει. Reisk.

Τὰ δὲ ὥστε] Id est, τὰ δὲ τοιαῦτα, ὥστε —. Idem.

Ἡμῖν ἢ τοῦτον] Aut ἡμῖν ἢ τούτῳ, aut ἡμᾶς ἢ τοῦτον. quo enim ista subita inconstantia et velut desultoria levitas? ἡμῖν redit ad actorem causæ. τούτῳ ad ejus adversarium, hereditatis Cironeæ competitorem. Idem.

Περὶ αὐτῶν] His de rebus, de quibus controversia nunc agitatur. Idem.

Τριάκοντα] Bene si habet, quod nego, accipi sic debet, ut hæc fœmina dicatur anno ætatis trigesimo exacto vita decessisse. Verum hanc sententiam Græci istoc modo non solent exprimere, sed sic ferme, τριακοντοῦτις, aut ἔτη τριάκοντα γεγονυῖα, vel similiter. Suspicor itaque in numeros errorem h. l. irrepsisse, et pro τριάκοντα leg. esse τρεῖς. μετ' ἐνιαυτοὺς τρεῖς, scil. τῆς συνοικήσεως. Negabis nu-

οὔσης αὐτῷ θυγατρὸς λαμβάνει πάλιν τὴν Διοκλέους ἀδελφήν, ἐξ ἧς αὐτῷ γιγνέσθην υἱεῖς δύο. καὶ ἐκείνην τε ἔτρεφε 25
199 παρὰ τῇ γυναικὶ, καὶ μετὰ τῶν ἐξ ἐκείνης παίδων· ἐκείνων τε ἔτι ζώντων, ἐπεὶ συνοικεῖν εἶχεν ἡλικίαν, ἐκδίδωσιν αὐτὴν Ναυσιμένει Χολαργεῖ σὺν ἱματίοις καὶ χρυσίοις πέντε καὶ εἴκοσι μνᾶς ἐπιδούς. κἀκεῖνος μὲν τρισὶν ἢ τέτταρσιν ἔτεσι μετὰ ταῦτα κάμνων ἀποθνήσκει, πρὶν αὐτῷ γενέσθαι παῖδας ἐκ τῆς ἡμετέρας μητρός· ὁ δὲ πάππος, κομισάμενος αὐτὴν, καὶ τὴν προῖκα οὐκ ἀπολαβὼν ὅσην ἔδωκε διὰ 30
τὴν Ναυσιμένους ἀπορίαν τῶν πραγμάτων, πάλιν ἐκδίδωσι τῷ ἐμῷ πατρὶ, καὶ χιλίας δραχμὰς προῖκ' ἐπιδίδωσι.

δ. Ταυτὶ δὴ πάντα πρὸς τὰς αἰτίας, ἃς νῦν οὗτοι λέ-
200 γουσι, πῶς ἄν τις δείξειε [1] γεγενημένα φανερῶς, ἐγὼ ζητῶν

[1] γεγενημένας

meros esse temerandos, sed potius particulam infitiantem οὐ detrahendam illi dictioni οὐ πολὺν χρόνον. Verum id esto. Sumamus hoc tantisper. Ergo prior Cironis uxor triginta per annos penes eum fuit. Sed perhibetur ex eo nonnisi semel peperisse, eoque partu edito diem supremum obisse, relicta filiola parvula. Eccui autem probabile videbitur, quæ mulier per triginta annos sterilis viro cohabitavisset, eam tanto tempore post gravidam esse factam. Sed aies, tametsi non admodum probabile id sit, naturæ rerum tamen non omnino repugnare. Largior. Verum Cironi vivis excedenti nepotes fuisse dicuntur jam adulti, ex eadem illa filia procreati, unde admodum grandævum eum et centenario propinquum decessisse constaret, quod tametsi negatum per naturam rerum non est, haud constat tamen ita fuisse. Tenebo itaque pro τριάκοντα h. l. τρεῖς leg. esse, et priorem Cironis conjugem penes eum non fuisse nisi triennium, intra quod unam modo puellam ei peperit. Idem.

Λοχαγεῖ] Lege cum Meursio Χολαργεῖ. Palmer.

Σὺν ἱματίοις] Significat, si vestis sponsalis mundique aurei valor una cum parata pecunia numeraretur, quam pater filiæ nubenti addidisset, ista duo capita, vestem puta atque pecuniam, viginti quinque minas confecisse, illasque sponso pro dote fuisse imputatas. Minuta summa, unde colligatur, aut patrem in re angusta domestica fuisse, aut in potestate uxoris, quæ ut trux quædam noverca, privignam tantum non pro spuria, certe pro aliena, haberet, atque pæne nudam et patrimonii prorsus exsortem domo festinaret extrudere. Reisk.

Πρὸς τὰς αἰτίας] Subaudi τείνει, aut λέγω βουλόμενος ἀπαντᾶν. Idem.

Πῶς — ἐξεῦρον] Locus iterum hiulcus, quem hodie cum negatum sit ita integrare, ut vera oratoris et primigenia manus restituatur, id quod nemo præter codices saniores fecerit, licet tamen ingenio ea comminisci, quæ ab auctoris sententia non multum discedant. Quod facere conabimur. Et occurrunt emendandi complures viæ, quarum unam hanc, ceu planissimam, demonstrare juvat, reliquis præteritis: καίτοι πῶς ἄν τις μᾶλλον αὐτὰς ψευδεῖς δείξειε πάσας καὶ μηδέποτε γεγενημένας, ἢ ἃς ἐγὼ νῦν ἐπιδείξω φανερᾶς, ὡς ἐγὼ ζητῶν ἐξεῦρον. *atqui quomodo quis magis doceat illas criminationes omnes falsas et commentitias esse, et nunquam reapse factas, quam si sic doceat, ut ego nunc liquide et perspicue docebo, me quærendo invenisse eas falsas et ementitas esse.* Succurrit hæc exaranti alia ratio, nescio an illa certior et expeditior etiam, quam illa superior, hæc nempe. Finge locum sic conceptum: ταυτὶ δὴ πάντα πρὸς τὰς αἰτίας, ἃς νῦν οὗτοι λέγουσι, βουλόμενος ἀπαντᾶν, πῶς ἄν τις δείξειε γεγενημένα φανερῶς; Hic desinit interrogatio. *quomodo quis occurrere volens accusationibus et commentis, quæ hi* (adversarii mei) *nunc jactant, doceat hæc quæ exposui omnia perspicue vereque facta esse?* Respondet ὡς ἐγὼ ζητῶν ἐξεῦρον. *docebit nempe ille sic,* vel *hanc sequens viam, qua ego verum quærens inveni.* Et hanc rationem in Latinis meis expressi. Idem.

ἐξεῦρον. ἀνάγκη τὴν ἐμὴν μητέρα, εἴτε θυγάτηρ ἦν Κίρωνος
35 εἴτε μή, καὶ εἰ παρ' ἐνείνῳ διῃτᾶτο ἢ οὔ, καὶ γάμους εἰ 2
διττοὺς ὑπὲρ ταύτης εἱστίασεν ἢ μή, καὶ προῖκα ἥντινα
ἑκάτερος ἐπ' αὐτῇ τῶν γημάντων ἔλαβε, πάντα ταῦτα
εἰδέναι τοὺς οἰκέτας καὶ τὰς θεραπαίνας ἃς ἐκεῖνος ἐκέκτητο.
βουλόμενος οὖν πρὸς τοῖς ὑπαρχουσι μάρτυσιν ἔλεγχον ἐκ
βασάνων ποιήσασθαι περὶ αὐτῶν, ἵνα μᾶλλον αὐτοῖς πι-
στεύητε μὴ μέλλουσι δώσειν [1] ἔλεγχον ἀλλ' ἤδη δεδωκόσι
περὶ ὧν μαρτυροῦσι, τούτους ἠξίουν ἐκδοῦναι τὰς θερα-
40 παίνας καὶ τοὺς οἰκέτας περί τε τούτων καὶ περὶ τῶν ἄλλων
ἁπάντων ὅσα τυγχάνουσι συνειδότες. οὗτος δ' ὁ νῦν ὑμᾶς
ἀξιώσων τοῖς αὐτοῦ μάρτυσι πιστεύειν ἔφυγε τὴν βάσα-
νον. καίτοι εἰ φανήσεται ταῦτα ποιῆσαι μὴ θελήσας, τί 202
ὑπολείπεται τοῖς ἐκείνου μάρτυσιν ἢ δοκεῖν νυνὶ τὰ ψευδῆ
μαρτυρεῖν, τούτου τηλικοῦτον ἔλεγχον πεφευγότος; ἐγὼ
μὲν οἶμαι οὐδέν. ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, λάβε μοι πρῶ-
70. 1 τον ταύτην τὴν μαρτυρίαν, καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑ.

ὑμεῖς μὲν τοίνυν καὶ ἰδίᾳ καὶ δημοσίᾳ βάσανον ἀκριβέ-
στατον ἔλεγχον νομίζετε· καὶ ὁπόταν δοῦλοι καὶ ἐλεύθεροι
παραγένωνται καὶ δέῃ εὑρεθῆναί τι τῶν ζητουμένων, οὐ
χρῆσθε ταῖς τῶν ἐλευθέρων μαρτυρίαις, ἀλλὰ τοὺς δούλους
5 βασανίζοντες οὕτω ζητεῖτε εὑρεῖν τὴν ἀλήθειαν τῶν γεγενη-

[1] ἐλέγχους

Ἀνάγκη] Abruptus in rei propositæ demonstrationem ingressus ferri potest. me quidem nil offendit. mollius tamen utique manet oratio, si ad ἀνάγκη addatur γάρ. Cohæret hoc ἀνάγκη cum εἰδέναι versu 5. Idem.

Ταύτης] Malim αὐτῆς. Idem.

Ἑκάτερος] Subaudi τῶν γαμούντων αὐτήν. Idem.

Περὶ αὐτῶν] His de rebus, quas modo de matris meæ elocationibus in matrimonia enarravi. Idem.

Αὐτοῖς] Non potest hoc eodem referri, quo αὐτῶν potest, de quo modo admonitum est. Docent id insequentia, περὶ ἂν μαρτυροῦσι. quanquam enim res ipsæ quoque dici possunt ἔλεγχον διδόναι, cum ad examen revocata, verum ex se produnt. μαρτυρεῖν tamen potius hominibus convenit. Quare αὐτοῖς designare arbitror testes partis adversæ. Idem.

Τούτους] Dioclem ejusque sororem, aliosque eorum necessarios et advocatos. Idem.

Ἁπάντων] Subaudi ἐξερεῖντας, vel ἐξαγορεύσοντας, vel tale quid. *confessione sua proditures.* Idem.

Οὗτος] Diocles puta. Idem.

Ταῦτα ποιῆσαι] Sc. ἃ ἐγὼ ἠξίωσα. *quæ ego postulari ut faceret*, h. e. ut mancipia ad quæsitionem per tormenta traderet. Idem.

Τί] Subaudi ἄλλο. *ecquid aliud.* Idem.

Μαρτυρίαν] Confirmantem scil., Dioclem servos Cironis tradere noluisse actori poscenti. Idem.

Βάσανον] Malim cum articulo τὴν β. nam ut τὴν τῶν δούλων βάσανον explicatius legatur, opus nil esse arbitror, cum voc. ἡ βάσανος per se, simpliciter, servorum quæsitionem significet. Idem. Cf. Demosth. c. Onetor. A. §. ιβ'. med.

Ἐλευθερίων] Π. ἐλευθέρων. H. Stephan.

μένων. εἰκότως, ὦ ἄνδρες. σύνιστε γὰρ ὅτι τῶν [1] μὲν μαρτυρησάντων ἤδη τινὲς ἔδοξαν οὐ τἀληθῆ μαρτυρῆσαι, τῶν δὲ βασανισθέντων οὐδένες πώποτε ἐξηλέγχθησαν ὡς οὐκ ἀληθῆ ἐκ τῶν βασάνων εἰπόντες. οὗτος δ' ὁ πάντων ἀναισχυντότατος ἀνθρώπων λόγοις πεπλασμένοις καὶ μάρτυ-
203 σιν οὐ τἀληθῆ μαρτυροῦσιν ἀξιώσει πιστεύειν ὑμᾶς, φεύγων οὕτως ἀκριβεῖς ἐλέγχους; ἀλλ' οὐχ ἡμεῖς, ἀλλὰ πρότερον ὑπὲρ τῶν μαρτυρηθήσεσθαι μελλόντων ἀξιώσαντες εἰς βασάνους ἐλθεῖν, τούτους δὲ φεύγοντας, οὕτως οἰησόμεθα δεῖν ὑμᾶς τοῖς ἡμετέροις μάρτυσι πιστεύειν. λάβε οὖν αὐτοῖς ταυτασὶ τὰς μαρτυρίας, [2] καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

204 τίνας εἰκὸς εἰδέναι τὰ παλαιά; δῆλον ὅτι τοὺς χρωμένους τῷ πάππῳ. μεμαρτυρήκασι τοίνυν ἀκοὴν οὗτοι. τίνας εἰδέναι τὰ περὶ τὴν ἔκδοσιν τῆς μητρὸς ἀνάγκη; τοὺς ἐγγυη-

[1] μὲν om.

[2] καὶ ἀνάγνωθι om.

Ἀλλ' οὐχ ἡμεῖς] Scil. τοῦτο ποιήσομεν, vel οὕτως ἀξιώσομεν. Idem.

Ἀξιώσαντες] Malim leg. ἀξιώσαντας ἡμᾶς. cujus conjecturæ rationem proxima deinceps annotatio nostra declarabit. Idem.

Τούτους δὲ φεύγοντας] Sentiens vitium hujus loci Stephanus, indicavit, neque tamen sanavit, h. e. consecutus id non est, quo contendebat. Cujus hæc sunt in margine verba: Π. ἐλθεῖν τούτους δὴ τοὺς φεύγοντας. Deesse h. l. aliquid paret, scil. ἐπιδείξαντες. cætera salva sunt. posteaquam planum fecerimus, nos quidem postulasse, ut ad quæsitionem per tormenta veniretur, hos autem hanc postulationem defugisse, tum demum existimabimus vos decere, ut nostris potius, quam illorum testibus fidem adhibeatis. Idem.

Ταυτασὶ τὰς μαρτυρίας] Hæc testimonia eo allegari constat, quo significent aliud quid, ab eo diversum, cujus confirmandi gratia proximum superius testimonium productum fuit. Quod si ergo illius argumentum vere et recte indicavimus, haud liquet, quidnam testes hic producti confirmatum ierint, qui producti videntur, quo confirment idem, quod paulo ante producti confirmarant, scil. actori mancipia Cironis ad quæsitionem deposcenti Dioclem tradere noluisse. Si quid in re obscura cerno, suspicor nunc productos testes eos esse, quos versu ult. designat τοὺς τὰ περὶ τὴν τῆς μητρὸς ἔκδοσιν εἰδότας, *qui ejus sponsalibus interfuissent*, tam illos, qui affuissent cum ea Nausimeni desponderetur, quam hos, qui affuissent, cum patri actoris desponderetur. Quæ si veritati convenit suspicio, agitur in hoc posteriori testimonio hoc, ut per hos utriusque generis testes constet, et planum judicibus testatumque fiat, matrem actoris vere filiam Cironis, ab eoque bis legitime desponsam fuisse. Idem.

Δῆλον τοὺς χρ.] Π. δῆλον ὅτι τοὺς χρ. H. Stephan.

Ἀκοὴν οὗτοι] Se scil. a senioribus, patribus, matribus, necessariis suis, audivisse, matrem actoris genuinam Cironis filiam esse, et a patre bis rite elocatam, eique tantam et tantam dotem additam fuisse. Reisk.

Τίνας] Tacite e præmissis repeti possit εἰκός ἐστι. atque necesse prorsus est id fieri, si vetusta h. l. interpungendi ratio servatur, quæ hæc est: τίνας — μητρός; ἀνάγκη τοὺς — Accessi tamen Stephano sic interpungi volenti — μητρὸς ἀνάγκη; ut interrogatio desinat, et responsio incipiat a verbis τοὺς ἐγγυησαμένους. Præterea leviculum hoc ego quoque admonendum duco, mihi videri, oratorem non sic abrupte dedisse τίνας εἰδέναι, sed cum particula δὲ orationem velut articulante, et transitum a priore membro ad hoc complanante. τίνας δ' εἰδέναι, ut paulo post τίνας δὲ οἱ τρεφομένην —. Idem.

σαμένους καὶ τοὺς ἐκείνοις παρόντας ὅτε [1] ἐνεγυῶντο. μεμαρ-
τυρήκασι τοίνυν οἵ [2] τε Ναυσιμένους προσήκοντες καὶ οἱ τοῦ 205
ἐμοῦ πατρός. τίνες δὲ οἱ τρεφομένην ἔνδον καὶ θυγατέρα οὖ-
σαν εἰδότες γνησίαν Κίρωνος; οἱ νῦν ἀμφισβητοῦντες ἔργῳ
φανερῶς μαρτυροῦσιν ὅτι ταῦτ' ἐστὶν ἀληθῆ, φεύγοντες τὴν
βάσανον. ὥστε οὐ δήπου τοῖς ἡμετέροις ἂν ἀπιστήσητε εἰ-
20 κότως, ἀλλὰ πολὺ μᾶλλον τοῖς τούτων μάρτυσιν.

ε'. Ἡμεῖς τοίνυν καὶ ἄλλα τεκμήρια πρὸς τούτοις ἔχο-
μεν εἰπεῖν, ἵνα [3] γνώσεσθε ὅτι ἐκ θυγατρὸς ἡμεῖς Κίρωνος
ἐσμέν. οἷα γὰρ εἰκὸς πάππον υἱέων ἐξ ἑαυτοῦ θυγατρὸς,
οὐδεπώποτε θυσίαν ἄνευ ἡμῶν οὐδεμίαν ἐποίησεν, ἀλλ' εἴτε 206
μικρὰ εἴτε μεγάλα θύοι, πανταχοῦ παρῆμεν ἡμεῖς καὶ
συνεθύομεν. καὶ οὐ μόνον εἰς τὰ τοιαῦτα παρεκαλούμεθα,
ἀλλὰ καὶ εἰς Διονύσια εἰς ἀγρὸν ἦγεν ἀεὶ ἡμᾶς, καὶ μετ'
25 ἐκείνου τε ἐθεωροῦμεν καθήμενοι παρ' αὐτὸν, καὶ τὰς ἑορτὰς
ἤγομεν παρ' [4] ἐκεῖνον πάσας· τῷ Διί τε θύων τῷ κτησίῳ,
περὶ ἣν μάλιστ' ἐκεῖνος θυσίαν ἐσπούδαζε καὶ οὔτε δούλους
προσῆγεν οὔτ' ἐλευθέρους ὀθνείους, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ
πάντ' ἐποίει, ταύτης ἡμεῖς [5] ἐκοινωνοῦμεν καὶ τὰ ἱερὰ συνε-
χειρουργοῦμεν καὶ συνετίθεμεν καὶ τἆλλα συνεποιοῦμεν,
καὶ ηὔχετο ἡμῖν ὑγιείαν διδόναι καὶ κτῆσιν ἀγαθὴν, ὥσπερ
30 εἰκὸς ὄντα πάππον. καίτοι εἰ μὴ θυγατριδοῦς ἡμᾶς ἐνόμιζεν 207
εἶναι καὶ μόνους ἐκγόνους ἑώρα λοιπούς καταλελειμμένους
αὐτῷ, οὐκ ἄν ποτε ἐποίει τούτων οὐδὲν, ἀλλὰ τόνδ' ἂν αὐτῷ
παρίστατο, ὃς ἀδελφιδοῦς αὐτοῦ νῦν εἶναι φησί. καὶ ταῦθ'

[1] ἐνεγγυᾶντο [2] τε om. [3] γνώσησθε [4] ἐκείνῳ [5] συνεκοινωνοῦμεν

Οἱ τρεφομένην ἔνδον] Scil. παρ' ἑαυτοῖς, ἐν τῇ τοῦ πατρὸς οἰκίᾳ. Sic dedi de meo. IDEM.

Ἔργῳ] Malim οἷ ἔργῳ, aut ἔργῳ γὰρ —. IDEM.

Πάππον] Dedi de meo, pro vulgari πάππου. verum ne sic quidem persanatus locus, sed sic leg. videtur esse: οἷα γὰρ εἰκὸς πάππον ὄντα ποιεῖν υἱέων. vel sic: οἷα γὰρ εἰκὸς πάππον υἱέων ἐξ αὐτοῦ θυγατρὸς ὄντα ποιεῖν. IDEM.

Θυγατρὸς, οὐδεπώποτε] Scaliger interponi volebat ὄντων. a quo dissentio. IDEM.

Τὰ τοιαῦτα] Vulgares illas atque tralatitias epulas, quas sæpe numero familiares inter se in urbe celebrant, aliis atque aliis occasionibus invitati. IDEM.

Διονύσια] Τὰ ἐν ἀγροῖς puta. opponit enim hæc rusticana oblectamenta illis modo dictis urbanis. IDEM.

Παρ' ἐκείνῳ] *domi ejus.* sic dedi de meo, pro vulgari παρ' ἐκεῖνον. IDEM.

Τε] Melius convenire videtur δέ. IDEM.

Ἐσπούδαζε, καὶ οὔτε] Non valde offendor hac dictione, potest enim aut post καὶ tacita mente addi, quod deest, ᾗ, *cui*, aut post προσῆγεν subaudiri αὐτῇ. Suspicatus tamen aliquando sum leg. esse: καὶ γὰρ οὔτε —. IDEM.

Ταύτας] Π. ταύτης. H. STEPHAN.

Συνεκοινωνοῦμεν] Subaudi αὐτῷ. REISK.

Συνετίθεμεν] Videtur hic aut τὴν πυρὰν aut τὰς σχίζας deesse, *rogum*, vel *schidia*, tigna in ara. aut, si mavis, τὰ κρέα, *frusta carnium truncatarum*. IDEM.

Εἰκὸς] Subaudi αὐτὸν ποιεῖν. IDEM.

ὅτι ἀληθῆ πάντ' ἐστὶν, ἀκριβέστατα μὲν οἱ τοῦ πάππου θεράποντες ἴσασιν, οὓς αὐτὸς παραδοῦναι εἰς βάσανον οὐκ ἠθέλησεν· ἴσασι δὲ περιφανέστατα καὶ τῶν ἐκείνῳ χρωμέ- 3
μένων τινὲς, οὓς παρέξομαι μάρτυρας. καί μοι λάβε τὰς μαρτυρίας, καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

ς'. Οὐ τοίνυν ἐκ τούτων δῆλόν ἐστι [1]μόνων ὅτι ἦν ἡμῶν ἡ μήτηρ θυγάτηρ γνησία Κίρωνος, ἀλλὰ καὶ ἐξ ὧν ὁ πατὴρ ἡμῶν ἔπραξε καὶ ἐξ ὧν αἱ γυναῖκες αἱ τῶν δημοτῶν περὶ αὐτῆς ἐγίνωσκον. ὅτε γὰρ ὁ πατὴρ αὐτὴν ἐλάμβανε, γάμους εἱστίασε καὶ ἐκάλεσε τρεῖς αὐτοῦ φίλους μετὰ
208 τῶν αὐτοῦ προσηκόντων, [3]τοῖς τε φράτορσι γαμηλίαν εἰσή- 4
νεγκε κατὰ τοὺς ἐκείνων νόμους. αἵ τε γυναῖκες [4]αἱ τῶν δημοτῶν μετὰ ταῦτα προὔκριναν αὐτὴν μετὰ τῆς Διοκλέους γυναικὸς τοῦ Πιτθέως ἄρχειν εἰς τὰ Θεσμοφόρια καὶ ποιεῖν τὰ νομιζόμενα μετ' ἐκείνης. ὅ τε πατὴρ ἡμῶν, ἐπειδὴ ἐγενόμεθα, εἰς τοὺς φράτορας ἡμᾶς εἰσήγαγεν, ὀμόσας κατὰ τοὺς νόμους τοὺς κειμένους ἢ μὴν ἐξ ἀστῆς καὶ ἐγγυητῆς γυναικὸς εἰσάγειν· τῶν δὲ φρατόρων οὐδεὶς ἀντεῖπεν 7
οὐδ' ἠμφισβήτησε μὴ οὐκ ἀληθῆ ταῦτ' εἶναι, πολλῶν ὄντων καὶ ἀκριβῶς [5]τὰ τοιαῦτα σκοπουμένων. καίτοι μὴ οἴεσθ' ἄν, εἰ τοιαύτη τις ἦν ἡ μήτηρ ἡμῶν οἵαν οὗτοι φασὶ, μήτ' ἂν τὸν πατέρα ἡμῶν γάμους ἑστιᾶν καὶ γαμηλίαν εἰσενεγκεῖν, ἀλλὰ ἀποκρύψασθαι ταῦτα πάντα, μήτε τὰς τῶν
209 ἄλλων δημοτῶν γυναῖκας αἱρεῖσθαι ἂν αὐτὴν συνιεροποιεῖν 5

[1] μόνον [2] καὶ αἱ [3] καὶ τοῖς φράτ. [4] ἐκ [5] ταῦτα σκοπ.

Αὐτὸς] Hic adversarius meus, quem modo dicebam Cironis hereditatem hoc titulo petere, quod se nepotem ejus ex sorore ferret. Denegationem mancipiorum orator modo Diocli, tutori hujus competitoris, tribuit, modo huic ipsi competitori; quod ad summam rei perinde est. Diocles enim hujus nomine locoque hac in causa agebat, quæcunque ageret. Idem.

Ἴασι δὲ] Subaudi ταῦτα, ἃ νῦν εἴρηκα. hæc a me modo enarrata documenta caritatis, qua Ciron nos, utpote nepotes suos, amplexus est. Idem.

Κατὰ τοὺς ἐκείνων νόμους] Unde colligitur non omnibus phratriis eosdem ritus fuisse nuptiarum celebrandarum, sed cuique suos proprios. Idem.

Ἐκ τῶν δημοτῶν] Videtur, aut αἱ τῶν δημοτῶν leg. esse. aut ἐκ τῶν δημοτίδων. Idem.

Πιτθέως] A demo Πίθος, vel Πιτθεύς. sic dedi de meo, pro vulgari Πίτεως. Addit orator hanc notam, qua discernatur a Diocle, Oreste vulgo cognominato, tutore competitoris, qui Diocles erat Phlyensis. Idem.

Μετ' ἐκείνης] Una cum Dioclis modo dicti uxore. Sic dedi de meo, pro vulgari μετ' ἐκείνου. Scaliger malebat μετ' ἐκείναν. Idem.

Πάντα ταῦτα] Scil. τὰ περὶ τὴν ἀληθῆ γένεσιν τῆς ἑαυτοῦ γυναικὸς, δηλονότι, γεγονέναι αὐτὴν ἐξ ἑταίρας, ἢ ξένης, καὶ οὔτως εἶναι νόθον, ἀλλ' οὐ γνησίαν. Idem.

τῇ Διοκλέους γυναικὶ καὶ κυρίαν ποιεῖν ἱερῶν, ἀλλ' ἑτέρᾳ ἄν τινι περὶ τούτων ἐπιτρέπειν, μήτε τοὺς φράτορας εἰσδέχεσθαι ἡμᾶς, ἀλλὰ κατηγορεῖν καὶ ἐξελέγχειν, εἰ μὴ πάντοθεν ἦν ὁμολογούμενον τὴν μητέρα ἡμῶν εἶναι θυγατέρα γνησίαν Κίρωνος. νῦν δὲ τῇ περιφανείᾳ τοῦ πράγματος καὶ τῷ συνειδέναι ταῦτα πολλοὺς οὐδαμόθεν ἠμφισβη-
0 τήθη τοιοῦτον οὐδέν. καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ζ'. Ἔτι τοίνυν, ὦ ἄνδρες, καὶ ἐξ ὧν ὁ Διοκλῆς ἔπραξεν ὅτε ἡμῶν ὁ πάππος ἐτελεύτησε, γνῶναι ῥᾴδιον ὅτι ὡμολογούμεθα εἶναι θυγατριδοῖ Κίρωνος. ἧκον γὰρ ἐγὼ κομιούμενος αὐτόν, ὡς θάψων ἐκ τῆς οἰκίας τῆς ἐμαυτοῦ, [1]τῶν ἐμαυτοῦ οἰκείων τινὰ ἔχων, ἀνεψιὸν τοῦ πατρός· καὶ Διοκλέα μὲν οὐ κατέλαβον ἔνδον, εἰσελθὼν δὲ εἴσω κομί-
5 ζειν οἷος ἦν, ἔχων τοὺς οἴσοντας. δεομένης δὲ τῆς τοῦ πάππου γυναικὸς ἐκ τῆς οἰκίας αὐτὸν ἐκείνης θάπτειν, καὶ λεγούσης ὅτι βούλοιτ' ἂν αὐτὴ τὸ σῶμα [2]τὸ ἐκείνου συμμεταχειρίζεσθαι μεθ' ἡμῶν καὶ κοσμῆσαι, καὶ ταῦτα ἱκετευούσης καὶ κλαιούσης, ἐπείσθην, ὦ ἄνδρες, καὶ τούτῳ προσελθὼν μαρτύρων ἐναντίον εἶπον ὅτι ἐντεῦθεν ποιήσομαι τὴν ταφήν· δεδεημένη γὰρ [3]εἴη ταῦτα ποιεῖν ἡ τούτου ἀδελ- 210
0 φή. καὶ ταῦτα Διοκλῆς ἀκούσας οὐδὲν ἀντεῖπεν, ἀλλὰ [4]καὶ ἐωνῆσθαί τι τῶν εἰς τὴν ταφὴν, [5]τῶν δὲ ἀῤῥαβῶνα δεδωκέναι οὗτος φάσκων ταῦτα ἠξίου παρ' ἐμοῦ λαβεῖν, καὶ διωμολογήσατο τῶν μὲν ἠγορασμένων τιμὴν ἀπολαβεῖν, [6]ὧν δὲ ἀῤῥαβῶνα ἔφασκε δεδωκέναι, συστῆσαι τοὺς

[1] τῶν ἐμαυτοῦ om. [2] τὸ om. [3] ἔει [4] καὶ om. [5] τὴν [6] οἷς

Οἰκείων] Malim aut οἰκεῖον, si articulus omitti debeat, aut cum eo, τῶν οἰκείων. atque hoc equidem prætulerim. IDEM.

Τούτῳ] *ad hunc*. Dioclem puta, Orestem cognominatum. IDEM.

Ἐντεῦθεν] Ex illa ipsa domo, quam incoluisset ipse Ciron adhuc superstes, diemque supremum obisset. IDEM.

Ἔει] Malim εἴη. IDEM.

Ἐωνῆσθαι] Sic correxi vulgatarum vitium ἐωνεῖσθαι. *aiebat se nonnulla emisse*. IDEM.

Οὗτος] Malim αὐτός. *ipse de suo erogasse*. IDEM.

Ταῦτα] Scil. τὰ δεδομένα, vel δεδαπανημένα, vel κεφμάτια. Si nempe bene habet h. l. vulgata. Suspicor tamen τἀεχούσιον potius leg. esse. IDEM.

Λαβεῖν] Scil. τοὺς χρήστας, *creditores*, aut potius ἑαυτόν. *postulabat ut ego creditoribus*, aut *sibi*, *redderem*. IDEM.

Συστῆσαι] Infinitivum aoristi primi (nam optativo locus hic nullus est) pro infinitivo futuri primi, orator more vul-

λαβόντας. εὐθὺς οὖν τοῦτο παρεφθέγγετο, ὡς οὐδ' ὁτιοῦν εἴη Κίρων καταλελοιπὼς, οὐδένα λόγον ἐμοῦ πω ποιουμένου
211 περὶ τῶν ἐκείνου χρημάτων. καίτοι εἰ μὴ ἦν θυγατριδοῦς Κίρωνος, οὐκ ἂν ταῦτα διωμολογεῖτο, ἀλλ' ἐκείνους ἂν τοὺς λόγους ἔλεγε· σὺ δὲ τίς εἶ; σοὶ δὲ τί προσήκει θάπτειν; οὐ γινώσκω σε· οὐ μὴ εἰσίῃς τὴν οἰκίαν. ταῦτ' εἰπεῖν προσῆκεν, ἅπερ νῦν ἑτέρους πέπεικε λέγειν. νῦν δὲ τοιοῦτον μὲν οὐδὲν εἶπεν, εἰς ἕω δὲ ταργύριον ἐκέλευεν εἰσενεγκεῖν. καὶ ταῦτα ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ἡ. Οὐ τοίνυν ἐκεῖνος μόνος, ἀλλ' οὐδὲ ὁ νῦν ἀμφισβητῶν τοῦ κλήρου, τοιοῦτον εἶπεν οὐδὲν, ἀλλ' ὑπὸ τούτου παρασκευασθεὶς ἀμφισβητεῖ. κἀκείνου τὸ μὲν παρ' ἐμοῦ κομισθὲν ἀργύριον οὐκ ἐθελήσαντος ἀπολαβεῖν, παρὰ [1] τούτου δ' ἀπειληφέναι τῇ ὑστεραίᾳ φάσκοντος, οὐκ ἐκωλυόμην συνθάπτειν ἀλλὰ πάντα συνεποίουν, οὐχ ὅπως τοῦδε ἀνα-
212 λίσκοντος οὐδὲ Διοκλέους, ἀλλ' ἐξ ὧν ἐκεῖνος κατέλιπε γινομένων τῶν εἰς αὐτὸν ἀναλωμάτων. καίτοι καὶ [2] τούτῳ προσῆκεν, εἰ μὴ πάππος ἦν μοι Κίρων, ὠθεῖν, ἐκβάλλειν, καὶ κωλύειν συνθάπτειν. οὐδὲν γὰρ ὅμοιον ἦν μοι πρὸς τοῦτον· ἐγὼ μὲν γὰρ εἴων αὐτὸν ἀδελφιδοῦν ὄντα τοῦ πάππου ταῦτα πάντα συμποιεῖν, τούτῳ δ' ἐμ' οὐ προσῆκεν ἐᾶν,

[1] δὲ τοῦδ' [2] τοῦτον

gari usurpavit: Aiebat Diocles, et recipiebat, se ad me adducturum et coram præstiturum esse eos, quibus arrham rerum emptarum funeris ergo dedisset. Idem.

Σὺ δὲ τί πρ.] Π. σοὶ δὲ τί πρ. H. Stephan. Verumtamen superest adhuc, ut lacunula expleatur, quod sic quodammodo fiat: σοὶ δὲ τί προσήκει τὸν ἡμέτερον θάπτειν. vel hoc modo: σοὶ δὲ τί προσήκει οὗτος, ὃν ἡμεῖς μόνοι ἐσμὲν δίκαιοι θάπτειν. Idem.

Εἰς ἕω] Huc spectabat Harpocration in εἰς ἕω, ἀντὶ τοῦ ἀρχομένην ἡμέραν· non alium Isei locum, quo referens ista H. Vales. illic sincerum εἴσω sollicitabat. *Ad Herodot.* l. viii. c. 83. Valckenaer.

Κἀκείνου] Designat Dioclem. Reisk.

Τοῦδε] Pupillo suo, adversario et competitore meo. Idem.

Οὐδὲ Διοκλέους] Scaliger hic adscripsit οὐδὲν, quod quanquam necessarium non est, certa tamen sub conditione ego equidem haud contemnam, si scil. ἀναλίσκοντος οὐδὲν, οὐδὲ Διοκλέους [scil. ἀναλίσκοντος], legatur. Sin autem in locum οὐδὲ suffectum ivit οὐδὲν, et illos duos, quorum alter vocabulo τοῦδε designatur, atque Dioclem, pro uno habuit eodemque homine, erravit utique Scaliger. Idem.

Ἐκεῖνος] Ciron puta, meus avus. Idem.

Τούτον] Adversarium et competitorem suum, cujus nomen ignoratur, designat. Idem.

Ταῦτα πάντα] Scil. ἃ ἐγὼ ἐποίουν περὶ τὴν τοῦ πάππου ταφήν. Idem.

Ἐᾷν] scil. συμποιεῖν ἑαυτῷ. Idem.

εἴωερ ἀληθῆ ταῦτα ἦν ἅωερ νῦν λέγειν τολμῶσιν. ἀλλ' οὕτω τῇ τοῦ ωράγματος ἀληθείᾳ κατεπέπληκτο, ὥςτ' 40 οὐδ' ἐπὶ τοῦ βήματος ἐμοῦ ποιουμένου λόγους, καὶ κατηγορούντος Διοκλέους ὅτι τὰ χρήματα ἀωοστερῶν τοῦτόν μοι ωέπεικεν ἀμφισβητεῖν, οὐκ ἐτόλμησε γρύξαι τὸ ωαράωαν οὐδὲν οὐδ' εἰπεῖν ἃ νῦν τολμᾷ λέγειν. καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ϑ'. Πόθεν χρὴ ωιστεύεσθαι τὰ εἰρημένα [1][ωρὸς ϑεῶν]; 213
οὐκ ἐκ τῶν μαρτυριῶν; οἶμαί γε. πόϑεν δὲ τοὺς μάρτυρας;
72. 1 οὐκ ἐκ τῶν βασάνων; εἰκός γε. πόϑεν δ' ἀπιστεῖν τοῖς τούτων λόγοις; οὐκ ἐκ τοῦ φεύγειν τοὺς ἐλέγχους; ἀνάγκη μεγάλη. ωῶς οὖν ἄν τις σαφέστερον ἐπιδείξειε γνησίαν οὖσαν ϑυγατέρα Κίρωνος τὴν μητέρα τὴν ἐμὴν ἢ τοῦτον τὸν τρόωον ἐωιδεικνύς; τῶν μὲν παλαιῶν ἀκοὴν μαρτυρούντων παρεχόμενος, τῶν δ' ἔτι ζώντων τοὺς εἰδότας ἕκα-
5 στα τούτων, οἳ συνήδεσαν παρ' ἐκείνῳ τρεφομένην ϑυγατέρα 214
νομιζομένην, δὶς ἐκδοϑεῖσαν, δὶς ἐγγυηϑεῖσαν, ἔτι δὲ περὶ πάντων τούτους βάσανον ἐξ οἰκετῶν ωεφευγότας, οἳ ταῦτα ωάντα ᾔδεσαν. ἐγὼ δὲ μὰ τοὺς ϑεοὺς τοὺς Ὀλυμπίους οὐκ ἂν ἔχοιμι πίστεις μείζους τούτων εἰπεῖν, ἀλλ' ἱκανὰς εἶναι νομίζω τὰς εἰρημένας.

[1] uncos om.

Γρύξαι] Sic emendarunt Stephanus in margine (nam in texto vitiosum Aldinæ ἐρύξαι reliquit) item Scaliger. Probo factum, sed addo minutum hoc et leviculum, aut ἐτόλμησε γρύξαι leg. esse, omisso ν ephelkystico, aut ἐτόλμησεν οὐδὲ γρύξαι. *ne hiscere quidem.* Idem.

Πρὸς Θεῶν] Hæc duo vocabula, quæ vulgatis Isæi libris desunt, e Dionysii Halicarnassensis exemplo addidi, locum hunc recitantis in ea, quam ipsi debemus, Isæi cum Lysia comparatione, §. ιβ'., p. 107. 45. edit. Sylburgianæ. v. quæ ad illum Dionysii locum annotavi, ubi varietatem lectionis Dionysiacæ a lectione vulgari persecutus sum; hic insuper habebo, brevitatis studio, et vitandi tædii gratia, quod eorundem iteratio non potest non creare. Idem.

Τῶν μὲν παλαιῶν ἀκοὴν μαρτυρούντων] Voc. παλαιῶν, de quo dubitari possit utrum masculini, an neutrius generis sit, h. l. pro neutro accipio, tametsi insequens τῶν ἔτι ζώντων magis videatur ad alteram partem adducere. τὰ παλαιὰ sunt *ætate et memoria nostra antiquiora.* μαρτυρεῖν ἀκοὴν τῶν παλαιῶν est *testari te audivisse tuis e majoribus rem quandam evenisse tua memoria vetustiorem.* Sed in μαρτυρούντων vitium est. Leg. videtur: τῶν μὲν παλαιῶν τοὺς ἀκοὴν μαρτυροῦντας παρεχόμενος. sistens eos, qui eo genere testimoniorum, quod ἀκοὴν τῶν παλαιῶν μαρτυρεῖν usurpatur in foro, utentes confirmarent, a majoribus se accepisse, rem hanc controversam ita gestam esse, ut ego narravi. Idem.

Τρεφομένην] Scil. τὴν ἐμὴν μητέρα. Idem.

Ἔτι δὲ] Scil. παρεχόμενος, vel, si mavis, ἐπιδεικνὺς, e præmissis. Idem.

Οἳ] Scil. οἰκέται. Idem.

ί. Φέρε δὴ, καὶ ὡς προσήκει μοι μᾶλλον ἢ τούτῳ τῶν Κίρωνος χρημάτων, νῦν ἤδη τοῦτο ἐπιδείξω. καὶ νομίζω μὲν ἁπλῶς καὶ ὑμῖν ἤδη εἶναι φανερὸν ὅτι οὐκ ἐγγυτέρω τῆς 10 ἀγχιστείας εἰσὶν οἱ μετ᾽ ἐκείνου φύντες ἢ οἱ ἐξ ἐκείνου γεγονότες — πῶς γάρ; οἱ μὲν γὰρ ὀνομάζονται συγγενεῖς, οἱ δ᾽ ἔκγονοι τοῦ τελευτήσαντος —· οὐ μὴν ἀλλ᾽ ἐπειδὴ 215 καὶ οὕτως ἐχόντων τολμῶσιν ἀμφισβητεῖν, καὶ ἐξ αὐτῶν τῶν νόμων ἀκριβέστερον διδάξομεν. εἰ γὰρ ἔζη μὲν ἡ ἐμὴ μήτηρ, θυγάτηρ δὲ Κίρωνος, μηδὲν δὲ ἐκεῖνος διαθέμενος ἐτελεύτησεν, ἦν δὲ ἀδελφὸς οὗτος αὐτῷ, μὴ ἀδελφιδοῦς, 15 συνοικῆσαι μὲν ἂν τῇ γυναικὶ κύριος ἦν, τῶν δὲ χρημάτων οὐκ ἂν, [1] ἀλλ᾽ οἱ γενόμενοι παῖδες ἐκ τούτου καὶ ἐξ ἐκείνης, ὁπότε ἐπὶ δίετες ἡβήσειαν· οὕτω γὰρ οἱ νόμοι κελεύουσιν. εἰ τοίνυν καὶ ζώσης κύριος αὐτὸς μὴ ἐγένετο τῶν τῆς γυναικὸς, ἀλλ᾽ οἱ παῖδες, δῆλον ὅτι καὶ τετελευτηκυίας, ἐπεὶ παῖδας ἡμᾶς καταλέλοιπεν, οὐ τούτοις ἀλλ᾽ ἡμῖν προσήκει 216 κληρονομεῖν τῶν χρημάτων.

ιά. Οὐ τοίνυν ἐκ τούτου μόνον, ἀλλὰ καὶ ἐκ τοῦ περὶ 20 τῆς κακώσεως νόμου, δῆλόν ἐστιν. εἰ γὰρ ἔζη μὲν ὁ πάππος, ἐνδεὴς δὲ ἦν τῶν ἐπιτηδείων, οὐκ ἂν οὗτος ὑπόδικος ἦν τῆς

[1] ἄλλοι ἢ οἱ

Φέρε δὴ] Hic ingreditur secundam actionis partem. v. p. 153. 11. Absoluta prima parte, qua demonstraverat, matrem suam Cironis, non spuriam, sed genuinam et legitime natam esse filiam, procedit ad docendum, hereditatis a Cirone relictæ jus adeundæ alii nulli certius et liquidius atque potius esse, quam matri suæ, sibique, qui matrem repræsentet. Idem.

Καὶ ὑμῖν] Præmissum ἁπλῶς facit, ut nullus dubitem leg. esse: καὶ πᾶσιν ὑμῖν. Nam alias, omisso πᾶσιν, illud ἁπλῶς vi careret, planeque supervacaneum esset. *vobis omnibus, nemine excepto.* καὶ ante πᾶς redundare solere, res dudum nota est. Idem.

Μετ᾽ ἐκείνου] *cum eo*, Cirone puta, *nati*, ut sunt fratres, et sorores, et ex iis prognati. Idem.

Ἐχόντων] Scil. τῶν πραγμάτων. Idem.

Καὶ ἐξ αὐτῶν τῶν νόμων] Opponit hic leges ritui, seu confirmat prius argumentum, velut infirmius, de more loquendi ductum, et ab observantia vulgo sic usurpata, posteriore argumento, adhuc stringentiore, diserto scilicet et planis verbis expresso scito in codice legum, seu indubia et perspicua, et in confesso posita juris Attici constitutione. Etiamsi prius illud non foret, ait, etiamsi vestram testari conscientiam non possem, tamen ex ipsis solis verbis legis planum hoc facere possem. Idem.

Ἂν ἄλλοι] L. ἂν, ἀλλ᾽ οἱ. H. Stephan. Scalig. Palmer. et *in Observv.* l. i. c. 2. Wesseling.

Ἐξίωσαν] L. ἡβήσειαν. Scalig. περιδιετὲς ἥβησαν. *In Legg. Att.* l. vi. tit. ii. §. 4. Petit. Palmerius malle se ἐπὶ διετὲς ἡβᾶσιν adscripserat. Salmasius præfert ἡβήσειαν. Meursius περιδιετὲς ἥβησαν Lect. Att. l. iii. c. 24. Ego si in partes sit eundum, Palmerio accessero ob Harpocrationem, qui ita in Ἐπιδιετές. Ἐπὶ δίετες ἡβῆσαι illi dicuntur Atticis scriptoribus, quibus, posteaquam ex ephebis erant egressi, biennium processerat. In horum potestate lex jubebat esse pecuniam. Cf. p. 80. ult. ed. Steph. *Ad loc. Petit.* et *Observv.* l. i. c. 2. Wesseling.

Τούτοις] Dioclis pupillo, ipsi Diocli, et ejus sorori, quæ vidua Cironis erat. Reisk.

Ἡμῖν] Mihi, fratrique meo. Idem.

κακώσεως ἀλλ' ἡμεῖς. κελεύει γὰρ τρέφειν τοὺς γονέας, γονεῖς δ' εἰσὶ μήτηρ καὶ πατὴρ καὶ πάππος καὶ τήθη καὶ τούτων μήτηρ καὶ πατὴρ, ἐὰν ἔτι ζῶσιν· ἐκεῖνοι γὰρ ἀρχὴ τοῦ γένους εἰσὶ, καὶ τὰ ἐκείνων παραδίδοται τοῖς ἐγγόνοις, διόπερ ἀνάγκη τρέφειν αὐτούς ἐστι, κἂν μηδὲν καταλίπωσι. πῶς οὖν δίκαιόν ἐστιν, ἐὰν μὲν μηδὲν καταλίπωσιν, ἡμᾶς ὑποδίκους εἶναι τῆς κακώσεως, ἢν μὴ τρέφωμεν, εἰ δέ τι καταλελοίπασι, τόνδ' εἶναι κληρονόμον ἀλλὰ μὴ ἡμᾶς; οὐδαμῶς δήπουθεν.

ιϛ'. Πρὸς ἕνα δὲ τὸν πρῶτον τῶν συγγενῶν προσάξω, καὶ τοῦ γένους καθ' ἕκαστον ὑμᾶς ἐρωτήσω· ῥᾷστα γὰρ οὕτω 217
μάθοιτ' ἄν. Κίρωνος [1] πότερον θυγάτηρ ἢ ἀδελφὸς ἐγγυτέρω τοῦ γένους ἐστί; δῆλον γὰρ ὅτι θυγάτηρ· ἡ μὲν γὰρ ἐξ ἐκείνου γέγονεν, ὁ δὲ μετ' ἐκείνου. θυγατρὸς δὲ παῖδες ἢ ἀδελφός; παῖδες δήπουθεν· γένος γὰρ ἀλλ' οὐχὶ συγγένεια τοῦτ' ἔστιν. εἰ δὴ προέχομεν ἀδελφοῦ τοσοῦτον, ἧπου τοῦδέ γ' ὄντος ἀδελφιδοῦ πάμπολυ πρότεροι ἐσμέν. δέδοικα δὲ μὴ 218
λίαν ὁμολογούμενα λέγων, ἐνοχλεῖν ὑμῖν δόξω. πάντες γὰρ ὑμεῖς τῶν πατρῴων, τῶν παππῴων, τῶν ἔτι περαιτέρω κληρονομεῖτε, ἐκ γένους παρειληφότες τὴν ἀγχιστείαν ἀνεπίδικον· καὶ οὐκ οἶδ' εἴ τινι πρὸ τοῦ πώποτε τοιοῦτος ἀγὼν

[1] πότερον om.

Τόνδε] Illum ignoti nominis, adversarium actoris, a Diocle subornatum. Idem.

Πρὸς ἕνα δὲ τὸν πρῶτον τῶν συγγενῶν προσάξω] Haud dissimulabo, me vereri ne locum hunc non satis percipiam; cujus hæc est, si verum cerno, sententia: προσάξω ὑμᾶς, ὦ δικασταὶ, πρὸς — vel potius προσάξω hic significatu gaudet intransitivo, valetque tantundem atque προσελεύσομαι, προσβαδιοῦμαι, προσχωρήσω, adibo, accedam. τὸν πρῶτον τῶν συγγενῶν appellat defuncti, cujus hereditas petitur, fratrem, is enim in classe eorum, qui nomine τῶν συγγενῶν veniunt, primus, primarius, caput et princeps est. tum defuncti soror. tum fratris liberi (e fratre nepotes), tum horum rursus liberi. hac deinde serie peragrata, masculina nempe, redit hereditas ad lineam fœmininam, seu posteros sororum. Hi sunt οἱ συγγενεῖς dicti. Cum horum capite, seu defuncti fratre, comparat unumquemque articulum ex eorum classe, qui nomine τοῦ γένους veniunt. Hi sunt, filii, filiæ, amborum liberi, et nepotes, vel quam longissime distantes. Idem.

Τοῦ γένους καθ' ἕκαστον ὑμᾶς ἐρωτήσω] Insistens paululum in unoquoque τῶν ἐκγόνων, vel ἐγγόνων (nam hi sunt iidem, atque in jure Attico sic dicti οἱ ἐν τῷ γένει, vel οἱ ἐκ τοῦ γένους), interrogabo vos (ipseque protinus responsionem loco vestri subjiciam), num ille filius defuncti, illa filia, ille nepos, illa neptis, et sic porro, propius in sanguine contingat defunctum, eoque in jure capessendæ hereditatis sit potior, an frater defuncti. Idem.

Γένος γὰρ, ἀλλ' οὐχὶ συγγένεια] Quicunque ab aliquo in recta linea descendente provenerunt, hi sunt ejus γένος, proles, prosapia. frater ejus autem fratrisque hujus proles, non est γένος defuncti, sed solummodo συγγένεια, censetur nomine consanguinitatis. Idem.

Τοῦδέ γ' ὄντος ἀδελφιδοῦ] Id est, τοῦδε, ὅστις γ' οὐκ ἔστιν ἀδελφὸς Κίρωνος, ἀλλὰ μόνον ἀδελφιδοῦς. sic dedi de meo, pro vulgari τοῦ λέγοντος ἀδελφιδοῦ. Idem.

Πρὸ τοῦ] *antehac temporis*, olim aliquando memoria seu nostra seu majorum, Idem.

συμβέβηκεν. ἀναγνοὺς οὖν τὸν τῆς κακώσεως νόμον, ὧν ἕνεκα τἆλλα γίγνεται, καὶ ταῦτ' ἤδη πειράσομαι διδάσκειν.

ΝΟΜΟΣ.

ιγ'. Κίρων γὰρ ἐκέκτητο [1] οὐσίαν, ὦ ἄνδρες, ἀγρὸν μὲν
219 φλυῆσι καὶ ταλάντου ῥᾳδίως ἄξιον, οἰκίας δ' ἐν ἄστει δύο,
τὴν μὲν μίαν μισθοφοροῦσαν, παρὰ τὸ ἐν λίμναις Διονύσιον,
δισχιλίας εὑρίσκουσαν, τὴν δ' ἑτέραν, ἐν ᾗ αὐτὸς ᾤκει, τριῶν 40
καὶ δέκα μνῶν· ἔτι δ' ἀνδράποδα μισθοφοροῦντα καὶ δύο
220 θεραπαίνας καὶ παιδίσκην, καὶ ἔπιπλα δι' ὧν ᾤκει τὴν
οἰκίαν, σχεδὸν σὺν τοῖς ἀνδραπόδοις ἄξια τρισκαίδεκα μνῶν·
σύμπαντα δὲ ὅσα φανερὰ ἦν, πλέον ἢ ἐνενήκοντα μνῶν·
χωρὶς δὲ τούτων δανείσματα οὐκ ὀλίγα, ἀφ' ὧν ἐκεῖνος
τόκους ἐλάμβανε. τούτοις Διοκλῆς μετὰ τῆς ἀδελφῆς
πάλαι ἐπεβούλευεν, [2] ἐπειδὴ τάχιστα οἱ παῖδες οἱ Κίρωνος 73. 1

[1] οὐσίαν ἐκέκτητο

[2] ἐπεὶ δὲ

Τἆλλα] Id est, τὰ σύμπαντα. tota hæc controversia mihi concita et commota fuit. Aperit nunc causas hujus litis. denudat ulcus, adversariorum puta cupiditatem pudendam. Idem.

Ταῦτ' ἤδη] Sic de meo correxi vulgatam lectionem ταύτῃ δή. idem est ac si dixisset: καὶ τοῦτο νῦν ἤδη π. δ. *etiam hoc nunc tandem aliquando docere conabor*, emensus illam molem rerum, quæ mihi declarandæ erant, priusquam huc pervenire possem. Idem.

Καὶ ταλάντου] *ad talenti adeo valorem.* respondet καὶ Latino *vel*, aut *adeo*. Colligitur hinc prædii fuisse ingens pretium, si talenti veniret. Idem.

Εὑρίσκουσαν] *valentem, merentem.* quæ si veneat, inveniat emptorem, qui lubenter pro ea viginti minas offerat. εὑρίσκειν usurpari solet de valore rei, quo venditur. εὑρίσκει τοσοῦτον, *tanti venit, tantum pro ea redimenda datur.* Id quod admonendum duxi ideo, quod interdum de hac ejus verbi significatione dubitatum esse vidi. Idem.

Δύο θεραπαίνας, καὶ παιδίσκην] Ex eo, quod unam solummodo παιδίσκην, duas autem θεραπαίνας habuerit in familia Ciro, facile suspiceris, τὴν παιδίσκην honestioris et liberalioris conditionis famulam fuisse, quæ comeret heram ornaretque, perpetua comes et amica ejus lateri adhæresceret, prodeuntemque eam domo prosequeretur. Θεραπαίνας autem fuisse ancillas vulgares, quarum provincia esset, coquere, pinsere, texere, domum verrere, molesta quæque et sordida opera peragere. Possit tamen item fieri, ut contra sit, ut nempe αἱ θεράπαιναι mundioris et honestioris generis, παιδίσκη vero sequioris et sordidioris fuerint. Nam si bene memini, παιδίσκη apud Lysiam pro puella usurpatur, inserviente ad opsonandum et missitandum. Quidquid hujus rei est, in medio relinquam hanc quæstionem iis disceptandam, qui molesta delectantur opera, locos auctorum, in quibus eadem vocabula, sæpe quoque ipsa adeo in vulgum notissima, occurrunt, herculea industria in unum acervum comportandi, et inter se momenta eorum librandi. quanquam eorum plerique hanc criticam diligentiam defugiunt, in qua judicii acumen cernitur, nati homines ad quasillos stercorarios deferendum. Idem.

Πλέον ἢ ἐνενήκοντα μνῶν] Constatne ratio? Eamus ad calculos. Rus facile valens talentum, seu 60 minas. domus major 20 minarum, altera minor tredecim, mancipia cum supellectile tantidem. Confiunt 106 minæ. Quid tum? erravitne in numeris? Neutiquam. Indicat enim solummodo τὴν φανερὰν οὐσίαν, h. e. bona immobilia, prædium et duas domos, exclusis τοῖς ἔνδον seu bonis mobilibus, quæ sunt supellex domestica cum mancipiis. Atque illorum immobilium valor ad 93 minas excurrebat. Idem.

ἐτελεύτησαν· ἐκείνην μὲν [1]γὰρ οὐκ ἐξεδίδου δυναμένην ἔτι 221
τεκεῖν παῖδας ἐξ ἑτέρου ἀνδρὸς, ἵνα μὴ χωρισθείσης περὶ
τῶν αὑτοῦ βουλεύσαιτο καθάπερ προσῆκεν, ἐπειδὲ μένειν
φάσκουσαν ἐξ αὐτοῦ κύειν οἴεσθαι, προσποιουμένην δὲ δια-
5 φθείρειν ἄκουσαν, ἵν' ἐλπίζων ἀεὶ γενήσεσθαι παῖδας αὐτῷ
μηδέτερον ἡμῶν εἰσποιήσαιτο υἱόν· καὶ τὸν πατέρα διέβαλ-
λεν ἀεὶ, φάσκων αὐτὸν ἐπιβουλεύειν τοῖς ἐκείνου. τά τε οὖν
χρέα πάντα [2]ὅσα [3]ὠφείλετο αὐτῷ καὶ τόκους ἔπειδε τά
γε φανερὰ δι' αὐτοῦ [4]ποιεῖσθαι, παράγων ἄνδρα πρεσβύ-
τερον θεραπείαις καὶ [5]κολακείαις, ἕως ἅπαντα τὰ ἐκείνου
περιέλαβεν. εἰδὼς δὲ ὅτι πάντων ἐγὼ τούτων κατὰ τὸ προσ- 222
ῆκον εἶναι κύριος ζητήσω, ὁπότε ὁ πάππος ἐτελεύτησεν,
10 εἰσιέναι μέν με καὶ θεραπεύειν ἐκεῖνον καὶ συνδιατρίβειν
[6]οὐκ ἐκώλυε, δεδιὼς μὴ τραχυνθεὶς εἰς ὀργὴν καταστάίην 223

[1] γὰρ om. [2] ὅσα om. [3] ἀφείλετο [4] ποιεῖσθαι om.
[5] μαλακίαις [6] οὐκ om.

Ἐξεδίδου] Non Ciro, sed Diocles, cujus in potestate soror statim fuisset futura, si Cironis e domo exisset. Diocles sororem a Cirone non abducebat, neque alii viro in matrimonium collocabat, tametsi illa id ageret ætatis, ut adhuc liberos parere potuisset, nondum effœta, sed corpore vegeto, et annis florentibus; sed sinebat eam penes effœtum Cironem manere, ne Ciro, ubi uxor a se digressa in manum alius convenisset, me filium adoptaret, eoque hereditatem sibi, Diocli, eriperet. Idem.

Μηδέτερον ἡμῶν] Neque me neque fratrem meum. Idem.

Τὸν πατέρα] Scil. τὸν ἡμέτερον. meum fratrisque. Idem.

Τοῖς ἐκείνου] Scil. κτήμασιν. *illius bonis insidiari*, Cironis puta. Idem.

Ἀφείλετο αὐτῷ] Græcum hoc esse nego. Aut ἀφείλετο αὐτὸν usurpant, aut ὑφείλετο αὐτῷ. quanquam de hoc ipso quoque dubito, num satis boni sit commatis. *eripiebat ipsi bona omnia clandestinis furtis, suffurabatur ipsi*, Cironi puta. Idem.

Ἔπειδε] Scaliger subjectum ibat ἔπειτα, quo ulcus monstratur, non sanatur. desunt sine dubio paucula quædam. Sententia quidem loci hæc ferme subjicit: καὶ τόκους ἔπειδε πράττεσθαι, καὶ διοικεῖν πάντα, τά γε φανερὰ — Diocles Cironi blanditiis persuadebat, eumque permovebat, ut sibi negotium permitteret, usuras exigendi, et omnia ejus negotia gerendi, saltim ea, quæ pertinerent ad substantiam Cironis immobilem. Idem.

Περιέλαβεν] *comprehendisset, amplexus esset*, tanquam rete pisces, aut polypi cirris, aut belluæ brachiis prædam amplectuntur et firmiter tenent. Possit quoque παραλαμβάνειν hic locum habere videri. verumtamen περὶ in hac structura convenientius et nervosius habeo. παραλαμβάνει qui rem traditam a volente et conscio suscipit. περιλαμβάνει qui ignaro aut invito eripit. Idem.

Ἐτελεύτησεν] Scaliger malebat τελευτήσειεν. postulat id quidem sententia. verumtamen vulgata idem dicit, frustraque a Græcis illam inter modos, optativum atque indicativum, distinguendi diligentiam requisieris. Idem.

Ἐκώλυε] Imo vero οὐκ ἐκώλυε. si scilicet in proximis insequentibus καταστάίην servamus: Non intercedebat Diocles, quominus ego Cirone, avo, uterer familiariter, ne ego exacerbatus cornua ipsi objicerem. Sin autem οὐκ omittatur, necesse erit, ut pro καταστάίην legatur καταστάίη: Ne per suggestiones meas Ciro adversus se, Dioclem, irritaretur ad iram et odium sui. verum huic rationi, quamvis speciosæ, obstat insequens δὲ, in istis παρεσκεύαζε δὲ — non impedivit quidem meos cum Cirone congressus — verumtamen subornavit et instruxit clanculum adversarium mihi — tenebo igitur hoc, οὐκ addendum esse, quicquid cæteroquin de illo, sive καταστάίην, sive καταστάίη est. Nam etiamsi οὐκ admittas, tamen καταστάίη potest locum habere, hanc ad sententiam: Non obstabat familiaribus meis cum Cirone con-

πρὸς αὐτόν· παρεσκεύαζε δέ μοι τὸν ἀμφισβητήσοντα τῆς οὐσίας, μέρος πολλοστὸν τούτῳ μεταδιδοὺς εἰ κατορθώσειεν, αὐτῷ δὲ ταῦτα πάντα περιποιῶν, καὶ οὐδὲ πρὸς τοῦτον ὁμολογῶν τὸν πάππον χρήματα καταλιπεῖν, ἀλλ' εἶναι φάσκων [1] οὐδέν. καὶ ἐπειδὴ τάχιστα ἐτελεύτησεν, ἐνταῦθα προπαρασκευασάμενος τὸ μὲν ἀργύριον ἐμὲ ἐκέλευεν ἐνεγ- 15
κεῖν, ὡς τῶν μαρτύρων ἠκούσατε μαρτυρησάντων, ἀπειληφέναι δὲ παρὰ τοῦδε προσεποιεῖτο, παρ' ἐμοῦ δὲ οὐκέτι ἤθελεν ἀπολαβεῖν, ὑποπαρωθῶν, ὅπως ἐκεῖνος δοκοίη θάπτειν ἀλλὰ μὴ ἐγὼ τὸν πάππον. ἀμφισβητοῦντος δὲ τούτου καὶ τῆς οἰκίας ταύτης καὶ τῶν ἄλλων ὧν ἐκεῖνος κατέλιπε, καὶ οὐδὲν φάσκοντος καταλελοιπέναι, διάσασθαι μὲν 20
καὶ τὸν πάππον μεταφέρειν ἐν ταῖς τοιαύταις ἀκαιρίαις οὐκ ᾤμην δεῖν, τῶν φίλων μοι ταῦτα συγγινωσκόντων, συνεποίουν δὲ καὶ συνέθαπτον, ἐξ ὧν ὁ πάππος κατέλιπε
224 τῶν ἀναλωμάτων γινομένων. καὶ ταῦτα μὲν οὕτως ἀναγκασθεὶς ἔπραξα τοῦτον τὸν τρόπον· ὅπως δὲ μηδέν μου ταύτῃ πλεονεκτοῖεν, παρ' ὑμῖν φάσκοντες οὐδέν με εἰς τὴν ταφὴν ἀνηλωκέναι, τὸν ἐξηγητὴν ἐρόμενος ἐκείνου κελεύσαντος ἀνή- 25
λωσα παρ' ἐμαυτοῦ καὶ τὰ ἔνατα ἐπήνεγκα, ὡς οἷόν τε κάλλιστα παρασκευάσας, ἵνα αὐτῶν ἐκκόψαιμι ταύτην τὴν ἱεροσυλίαν, καὶ ἵνα μὴ δοκοῖεν οὗτοι μὲν ἀνηλωκέναι πάντα, ἐγὼ δὲ οὐδέν, ἀλλ' ὁμοίως κἀγώ.

ιδ'. Καὶ τὰ μὲν γεγενημένα, καὶ δι' ἃ τὰ πράγματα ταῦτ' ἔχομεν, σχεδόν τι ταῦτ' ἐστίν, ὦ ἄνδρες· εἰ δὲ εἰδείητε τὴν Διοκλέους ἀναισχυντίαν, καὶ περὶ τὰ ἄλλα

[1] οὐδεέν

gressibus, metu, ne Ciro, qui mea consuetudine delectaretur, sibi succenseret, si removere ab ipso, Cirone, studeret hominem ipsi gratum carumque. Verumtamen —. IDEM.

Ταῦτα] τἄλλα. IDEM.

Τὸν πάππον] Cum vi et contentione affectus hæc pronuntiat, indignans et mirabundus. Ne ego, qui nepos sum, avum efferrem. quæ injuria! quæ volentia! qui jurium omnium humanorum atque divinorum contemptus! IDEM.

Συγγινωσκόντων] Rariusculo sensu verbum hoc h. l. usurpavit pro γινωσκόντων ταὐτὰ ἐμοί. *idem mecum censentibus.* IDEM.

Τὰ ἔνατα] Vel ἔνατα. Sacra, quæ Dis Manibus fierent nono die a funere quoque elato. IDEM.

Αὐτῶν] Sic, pro vulgari αὐτὸν, dedi ex mea et Scaligeri sententia, qui etiam αὐτοῦ legi posse, autumabat. IDEM.

Ἱεροσυλίαν] Jura enim Manium et sepulcrorum sunt pars juris divini. Significat id genus injuriæ, sacra violantis, quo inferiæ Manibus inferuntur ab iis, qui jure carent inferendi, aut defunctis invisi, molesti, infesti fuissent, exclusis necessariis, qui propiores sanguine essent, usuque et caritate cum defunctis conjunctiores fuissent. IDEM.

30 οἷός ἐστιν, οὐκ ἂν ἀπιστήσαι τις τῶν εἰρημένων οὐδενί.
οὗτος μὲν γὰρ εἶχε τὴν οὐσίαν, ἀφ᾽ ἧς νῦν ἐστὶ λαμπρὸς,
ἀλλοτρίαν, ἀδελφῶν τριῶν ὁμομητρίων ἐπικλήρων κατα-
λειφθεισῶν αὐτὸν τῷ πατρὶ αὐτῶν εἰσποιήσας, οὐδεμίαν 225
ἐκείνου περὶ τούτων ποιησαμένου διαθήκην. ταῖν δ᾽ ἀδελ-
φαῖν ταῖν δυοῖν ἐπειδὴ [1] τὰ χρήματα εἰσεπράττετο ὑπὸ τῶν
ἐκείναις συνοικούντων, τὸν μὲν τὴν πρεσβυτέραν ἔχοντα
35 κατοικοδομήσας καὶ ἐπιβουλεύσας ἠτίμωσε, καὶ γραφὴν 226
ὕβρεως γραφεὶς [2] οὐδέπω τούτων δίκην ἔδωκε, τῆς δὲ μετ᾽
ἐκείνην γενομένης τὸν ἄνδρα ἀποκτεῖναι κελεύσας οἰκέτην
ἐκεῖνον μὲν ἐξέπεμψε, τὴν δ᾽ αἰτίαν εἰς τὴν ἀδελφὴν ἔτρεψε,
καταπλήξας δὲ ταῖς αὐτοῦ βδελυρίαις προσαφήρηται τὸν 227

[1] τὰ om. [2] οὐδέπωποτε

Οὐκ ἂν ἀπιστήσαι τις] Subaudi ὑμῶν. mallem tamen οὐκ ἂν ἀπιστήσαιτε τῶν —. Idem.

Ὁμομητρίων] Significat, tametsi hæ tres sorores eadem secum matre fuissent usæ, hereditatem tamen, quæ ipsarum propria esset, et cujus petendæ jus Diocli prorsus nullum esset, quoniam patris illa fuisset, non matris, ad se pertraxisse per nefas. Erant enim illæ tres sorores ἐπίκληροι filiæ in domo patris sine fratre relictæ, eoque solæ heredes. Nam Diocles, tametsi filius esset illius fœminæ, e qua tres illas filias pater earum susceperat, non ideo tamen filius erat ejus viri, qui matris maritus fuisset. Idem.

Τῷ πατρὶ αὐτῶν] *patri earum*, non item suo, sed solummodo vitrico. Idem.

Διαθήκην] Quanquam nullum testamentum reliquerat harum puellarum pater, quo testamento cautum fuisset, ut nominatim Diocles hic ipsius filius adoptivus atque heres haberetur. Reliquerat autem ille nullum testamentum ideo, quod hunc heredem habere nollet, speransque, si testamentum nullum relinqueret, futurum, ut nemo filiabus suis, ut ἐπικλήροις, dominis legitimis hereditatis suæ, illam hereditatem eriperet. Idem.

Κατοικοδομήσας] Non ad literam, sed in sensu figurato, seu metaphorico, h. l. accipiendum est. κατοικοδομεῖν proprie est *locum structuris implere*. deinde id quod ex eo consequitur, *præstruendo alterius luminibus officere*; item, *eum in ædificio quodam ita concludere et obsepire ut exire nequeat*. Unde notio metaphorico efflorescit, hæc nempe, *laqueis captiosæ jurisprudentiæ et litium inexplicabilium ita irretire atque intricare ut exitum nullum inveniat*. Respexit ad h. l. Harpocration, sed ille, mea quidem sententia, secius interpretatus. κατωκοδόμησεν, κατέκλεισεν εἰς οἰκοδόμημα καὶ οὕτως ἀπέκτεινεν. ἐν τῷ κατὰ Διοκλέους πολλάκις. quasi Diocles sororis suæ maritum eo genere supplicii, immani et belluino certe, enecuisset, quo solebant, et nescio an adhuc quoque hodie passim locorum soleant, monachi, pœnam meriti esse visi, in angustam cellam abstrusi, fame enecari. *lebendig vermauren*. Sed falsam et alienam hanc esse interpretationem Isæus ipse docet, affirmans, eum, de quo hic agitur, a Diocle ἠτιμῶσθαι. Necatus fame si fuit in cella subterranea, profecto non potuit infamia notari, h. e. jure privari in forum veniendi. In forum, ni fallor, nemo venit fame peremptus. Quorsum pertinebat hoc de infamia, si homo vivus sepultus fuit. vivi solummodo ἀτιμοῦνται. Interim subjicit hic locus Harpocrationis suspicionem geminam; scil. aut ab Isæo, præter hanc orationem, adhuc aliam fuisse conscriptam adversus hunc ipsum Dioclem; aut, si minus id fuit, hanc ipsam orationem, in qua interpretanda cum maxime versamur, a vetustis etiam sub elogio τοῦ κατὰ Διοκλέους λόγου laudatam fuisse. Quod si est, fefellit Harpocrationem memoria. neque enim πολλάκις, quod ille ait, sed semel solummodo h. l. verbum κατοικοδομεῖν in hac oratione legitur. Sed vide, quæ ad p. 169. 3. dicemus. Idem.

Ἐκεῖνον] Servum puta, qui, jussu Dioclis, herum occiderat. Idem.

Ἐξέπεμψε] Athenis alio ablegavit. ne tormentis subjectus verum proderet, a Diocle puta se impulsum ad facinus perpetrandum fuisse. Idem.

υἱὸν αὐτοῦ τὴν οὐσίαν ἐπιτροπεύσας, καὶ κατέχει τὸν ἀγρὸν,
[1]φελλέα δὲ [χωρία] ἄττα ἐκείνῳ δέδωκε. καὶ ταῦτα ὡς
ὅτι ἀληθῆ λέγω, δεδίασι μὲν αὐτὸν, ἴσως δ' ἄν μοι καὶ 40
μαρτυρῆσαι ἐθελήσειαν· εἰ δὲ μὴ, τοὺς εἰδότας παρέξομαι
μάρτυρας. καί μοι κάλει δεῦρο αὐτοὺς πρῶτον.

ΜΑΡΤΥΡΕΣ.

ιε'. Οὕτω τοίνυν ἀσελγὴς ὢν καὶ βίαιος καὶ τὴν τῶν
ἀδελφῶν οὐσίαν ἀπεστερηκὼς οὐκ ἀγαπᾷ τὰ ἐκείνων ἔχων,
ἀλλ' ὅτι δίκην οὐδεμίαν [2]αὐτῶν δέδωκεν, ἥκει καὶ τὰ τοῦ
228 πάππου χρήματα ἡμᾶς ἀποστερήσων, καὶ τούτῳ δύο μνᾶς
— ὡς ἀκούομεν — μόνας δεδωκὼς οὐ μόνον περὶ χρημάτων 74
ἡμᾶς ἀλλὰ καὶ περὶ τῆς πατρίδος εἰς κινδύνους καθίστησιν.
ἐὰν γὰρ ἐξαπατηθῆτε ὑμεῖς πεισθέντες ὡς ἡ μήτηρ ἡμῶν
οὐκ ἦν πολῖτις, οὐδ' ἡμεῖς ἐσμέν· μετ' [3]Εὐκλείδην γὰρ ἄρ-
χοντα γεγόναμεν. ἆρα περὶ μικρῶν τινῶν ἡμῖν τὸν ἀγῶνα
κατεσκεύακε; καὶ ζῶντος μὲν τοῦ πάππου καὶ τοῦ πατρὸς
οὐδεμίαν αἰτίαν εἴχομεν, ἀλλ' ἀναμφισβήτητοι τὸν ἅπαντα 5
χρόνον διετελέσαμεν· [4]ἐπειδὴ δ' ἐκεῖνοι τετελευτήκασι, κἂν
νῦν νικήσωμεν, ὄνειδος ἕξομεν, διότι ἠμφισβητήθημεν, διὰ
τὸν Ὀρέστην τοῦτον τὸν κακῶς ἀπολούμενον, ὃς, μοιχὸς
ληφθεὶς καὶ παθὼν ὅ τι προσήκει τοὺς τὰ τοιαῦτα ποιοῦν-
τας, οὐδ' ὡς ἀπαλλάττεται τοῦ πράγματος, ὡς οἱ συνει-

[1] φελεάδα [χωρία ἄττα] [2] αὐτοῖς [3] Εὐκλείδη [4] ἐπεὶ

Αὐτοῦ] *illius*, quem per servum occiderat. Idem.

Φελεάδα χωρία ἄττα ἐκείνῳ δέδωκε] Viderint alii, num conferendo Harpocrationem, emendare h. l. valeant, cujus grammatici hæc sunt verba: φελλέα, Ἰσαῖος ἐν τῷ περὶ Κίρωνος κλήρου. τὰ πετρώδη καὶ αἰγίβοτα χωρία φελλέας ἐκάλουν. Num ergo leg. φελλέας δὲ ἐκείνῳ δέδωκε. ut ista duo vocabula χωρία ἄττα e scholio irrepserint. Saxosos autem quosdam et steriles agros ei, sororis suæ filio, pupillo suo, dedit, velut in compensationem istorum agrorum pinguium et fertilium, quos ei eripuerat. Idem. Atque ita usus est Ælianus Epist. Rustic. 2. Ἡμέραν ὁ μαλακὸς φελλέα ἐπέκοψε τὸ σκέλος. *mollis ille Hemeron in loco salebroso crus offendit.* Scripserit ergo Isæus: φελλέα δὲ χωρία ἄττα ἐκείνῳ δέδωκε. *prædia vero quædam salebrosa illi dedit.* Observvv. l. i. c. 2. Wesseling. φελλέας δὲ ἐκείν. Ionesius, qui verba χωρία ἄττα pro Scholio habet.

Δεδίασι] Sed quinam? non nominantur, et valde vereor ne quid h. l. desit. videtur tamen e loci nexu colligi posse, cognatos Dioclis, aut pupilli, designari. Reisk.

Τοὺς εἰδότας] Scil. ἐκτὸς τῶν προσηκόντων. Idem.

Αὐτοῖς] Imo vero αὐταῖς. nam de sororibus agitur. nisi contendas, una cum sororibus earum liberos quoque atque maritos designari. In re dubia reliqui lectionem, ut inveni. Idem.

Τούτῳ] Competitorem, et adversarium suum designat. Idem.

Ἐσμὲν] Πολῖται puta. Idem.

Παθὼν] Scil. τὴν ῥαφανίδωσιν. Idem.

Τοῦ πράγματος] Id est, τῆς μοιχείας. Idem.

δότες καταμαρτυροῦσι. τοῦτον μὲν [1] οὖν οἷός ἐστι, καὶ νῦν
10 ἀκούετε καὶ αὖθις ἀκριβέστερον πεύσεσθε, ὅταν κατ' αὐ-
τοῦ τὴν δίκην ἡμεῖς εἰσίωμεν· ὑμῶν δ' ἐγὼ δέομαι καὶ ἱκε- 229
τεύω, μή με περιίδητε περὶ τούτων ὑβρισθέντα τῶν χρη-
μάτων ὧν ὁ πάππος κατέλιπε, μηδ' ἀποστερηθέντα, ἀλλὰ
βοηθήσατε καθ' ὅσον ὑμῶν ἕκαστος τυγχάνει δυνάμενος.
ἔχετε δὲ πίστεις ἱκανὰς ἐκ μαρτυριῶν, ἐκ βασάνων, ἐξ
αὐτῶν τῶν νόμων, ὅτι τ' ἐσμὲν θυγατρὸς γνησίας Κίρωνος,
15 καὶ ὅτι προσήκει ἡμῖν μᾶλλον ἢ τούτοις κληρονομεῖν τῶν
ἐκείνου χρημάτων, ἐγγόνοις οὖσι τοῦ πάππου. μνησθέντες
οὖν καὶ τῶν ὅρκων οὓς ὀμόσαντες δικάζετε, καὶ τῶν λόγων
οὓς εἰρήκαμεν, καὶ τῶν νόμων, ᾗ δίκαιόν ἐστι, [2] ταύτῃ τὴν
ψῆφον τίθεσθε.

ις'. Οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν
ἀγνοεῖν τῶν εἰρημένων. λάβε δ' αὐτοῖς τὴν μαρτυρίαν τὴν
λοιπήν, ὡς ἐλήφθη μοιχὸς, καὶ ἀνάγνωθι.

[1] οὖν om.

[2] ταύτην

Τοῦτον μὲν] Addi velim οὖν. IDEM.

Εἰσίωμεν] Id quod factum esse, e loco Harpocrationis sub v. κατοικοδομεῖν paulo ante ad p. 167. 8. allegato, colligitur, ubi orationem Isæi adversus Dioclem laudat, in eaque sæpius ait usurpari voc. κατοικοδομεῖν. id quod in hanc de Cironis hereditate orationem non convenit. IDEM.

Ταύτῃ] Num ταύτην, ut redeat ad ᾗ. IDEM.

Ἀνάγνωθι] Post ἀνάγνωθι adde titulum ΜΑΡΤΥΡΙΑ. IDEM.

Θ.

ΙΣΑΙΟΥ

ΠΕΡΙ ΤΟΥ ΑΣΤΥΦΙΛΟΥ ΚΛΗΡΟΥ.

Pag. ed. Reisk. — Pag. ed. H. Step

ΥΠΟΘΕΣΙΣ.

229 Ἀστίφιλος καὶ ὁ λέγων τὸν λόγον ἀδελφοὶ ὁμομήτριοι· τελευτήσαντος δὲ τοῦ Ἀστυφίλου 74. 26
230 διαθήκας πρόηνεγκε Κλέων τις, ἀνεψιὸς ὢν αὐτοῦ, φάσκων αὐτὰς γενέσθαι εἰς τὸν υἱὸν ἑαυτοῦ. ὁ δὲ ἀδελφὸς τοῦ Ἀστυφίλου κατηγορεῖ τῶν διαθηκῶν ὡς πλαστῶν. Ἡ στάσις στοχασμός.

α΄. ΑΔΕΛΦΟΣ μοι ἦν ὁμομήτριος, ὦ ἄνδρες, Ἀστύφιλος, οὗ ἐστὶν ὁ κλῆρος· ἀποδημήσας οὖν μετὰ τῶν εἰς Μιτυλή- 30
νην στρατιωτῶν ἐτελεύτησε. πειράσομαι δ' ὑμῖν ἐπιδεῖξαι ὅπερ ἀντώμοσα, ὡς οὔτ' ἐποιήσατο ἐκεῖνος υἱὸν ἑαυτῷ, οὔτ' ἔδωκε τὰ ἑαυτοῦ, οὔτε διαθήκας κατέλιπεν, οὔτε προσήκει ἔχειν τὰ Ἀστυφίλου οὐδενὶ ἄλλῳ ἢ ἐμοί. ἔστι γὰρ ὁ Κλέων οὑτοσὶ ἀνεψιὸς [1] Ἀστυφίλῳ πρὸς πατρός, ὁ δὲ υἱὸς ὁ τούτου, 35
231 ὃν εἰσποιεῖ ἐκείνῳ, ἀνεψιαδοῦς. εἰσποίητος δ' ἦν ὁ πατὴρ ὁ Κλέωνος εἰς ἄλλον οἶκον, καὶ οὗτοι ἔτι εἰσὶν ἐν ἐκείνῳ τῷ οἴκῳ, ὥστε γένει μὲν διὰ τὸν νόμον οὐδὲν προσήκουσιν Ἀστυφίλῳ. ἐπειδὴ δὲ κατὰ ταῦτα οὐκ ἦν ἀμφισβήτησις, διαθήκας, ὦ ἄνδρες, ψευδεῖς — ὡς ἐγὼ οἶμαι ἐπιδείξειν — κατε-

[1] Ἀστυφίλου

ΑΣΤΥΦΙΛΟΥ] Personæ, in hac causa versatæ, hæ sunt. Avia actoris, cujus maritus, sed tacito nomine p. 176. pen. commemoratur. Huic fœminæ fuerunt duo liberi: Hierocles filius, et filia, quæ e priore marito, Euthycrate, peperit Astyphilum, super cujus hereditate contenditur, et filiam, a vitrico, nescio cui in matrimonium elocatam. v. p. 179. antep. e posteriore marito autem, Theophrasto, enixa est actorem hujus causæ. Sed Euthycrati, priori marito, frater fuit Thudippus quidam, cujus filius fuit ille Cleon, qui pro filio suo, haud nominato, hereditatem Astyphili, adversus actorem petebat. Reisk.

Οὖν] Si satis calleo morem oratorum loquendi, illumque morem Isæus hic tenuit, conveniat melius, ni fallor, οὗτος. Idem.

Εἰσποιεῖ] Cleon puta. Idem.

Οὗτοι] Cleon, et ejus filius, cum actore competens hereditatem Astyphili, et si qui adhuc alii fratres ei fuerunt. Idem.

Ἐν ἐκείνῳ τῷ οἴκῳ] In quam adoptati sunt, et unde in primigeniam suam domum nondum redierunt. Idem.

Γένει] Non enim erant Astyphili ἔγγονοι, sed solummodo natura συγγενεῖς. et ne συγγενεῖς quidem adhuc erant amplius, quia relicta domo paterna in alienam transierant. Idem.

Διὰ τὸν νόμον] Jubentem illam, ut filius ex aliqua domo elocatus, vel emancipatus, et in aliam adoptatus, ab illa sua primigenia domo alienus haberetur. Idem.

σκεύασαν καὶ ζητοῦσιν ἀποστερῆσαί με τῶν [1]τἀδελφοῦ. καὶ οὕτω σφόδρα Κλέων οὑτοσὶ καὶ πρότερον καὶ νῦν οὐδένα
40 ἄλλον τὸν κλῆρον ἡγεῖται ἕξειν ἢ αὑτόν, ὥστ' ἐπειδὴ τάχιστα ἠγγέλθη Ἀστύφιλος τετελευτηκώς, τοῦ μὲν πατρὸς τοῦ ἐμοῦ ἀσθενοῦντος, ἐμοῦ δὲ οὐκ ἐπιδημοῦντος ἀλλὰ στρατευομένου, εἰς τὸ χωρίον ἐνεβάτευσε, καὶ εἴ τι ἄλλο ἐκεῖνος κατέλιπεν, ἅπαντα ἔφη τοῦ υἱοῦ τοῦ ἑαυτοῦ εἶναι, πρίν τι ὑμᾶς ψηφίσασθαι. ἐπεὶ δ' ἐκομίσθη τὰ ὀστᾶ τοῦ ἀδελφοῦ, ὁ μὲν προσποιούμενος πάλαι υἱὸς εἰσπεποιῆσθαι οὐ πρού- 232
75. 1 θετο οὐδ' ἔθαψεν, οἱ δὲ φίλοι [2][οἱ] Ἀστυφίλου καὶ οἱ συστρατιῶται ὁρῶντες τὸν πατέρα τὸν ἐμὸν ἀῤῥωστοῦντα, ἐμὲ δὲ οὐκ ἐπιδημοῦντα, αὐτοὶ καὶ προὔθεντο καὶ τἆλλα πάντα τὰ νομιζόμενα ἐποίησαν καὶ τὸν ἐμὸν πατέρα ἀσθενοῦντα ἐπὶ τὸ μνῆμα ἤγαγον, εὖ εἰδότες ὅτι ἀσπάζοιτο αὐτὸν Ἀστύφιλος. τούτου δ' ὑμῖν αὐτοὺς τοὺς ἐπιτηδείους
5 τοὺς ἐκείνου μάρτυρας παρέξομαι τῶν παρόντων.

ΜΑΡΤΥΡΕΣ.

β'. Ὅτι μὲν οὐκ ἔθαψε Κλέων Ἀστύφιλον, οὐδ' αὐτὸς ἔξαρνος γένοιτο, μεμαρτύρηταί τε ὑμῖν· [3]ἐπειδὴ δ' ἐπεδήμησα ἐγὼ καὶ ἠσθόμην καρπουμένους τούτους τὰ ἐκείνου, ὁ δὲ υἱὸς αὐτοῦ ποιηθείη ὑπὸ [4]Ἀστυφίλου, καὶ τούτων διαθήκας καταλίποι παρὰ Ἱεροκλεῖ [5]Ἡφαιστίδῃ, ἀκούσας ἐγὼ
10 λέγοντος αὐτοῦ ταῦτα ἐπορευόμην παρὰ τὸν Ἱεροκλέα, εὖ μὲν εἰδὼς ὅτι ὡς οἷόν τε μάλιστα ἐπιτήδειος εἴη Κλέωνι, 233
οὐχ ἡγούμενος δ' ἂν αὐτὸν τολμῆσαί τι ψεύσασθαι κατὰ

[1] ἀδελφοῦ [2] [οἱ] om. [3] ὡς [4] τοῦ Ἀστυφ. [5] Ἡφαιστείδῃ

Τῶν ἀδελφοῦ] Malim τῶν τἀδελφοῦ, id est, τῶν τοῦ ἀδελφοῦ. Idem.

Ἐκομίσθη] Lesbo puta (nam apud Mitylenem obierat Astyphilus) Athenas. Idem.

Τοῦ ἀδελφοῦ] Subaudi τοῦ ἐμοῦ, Astyphili. Idem.

Ὁ προσποιούμενος] Cleonis filius. Idem.

Οὐ προὔθετο οὐδ' ἔθαψεν] De his vid. Petit. l. vi. tit. viii. §. 6.

Ἐκείνου] Patris mei, Theophrasti. Reisk.

Τῶν παρόντων] Bene si habet, accipi debet sive pro ἐκ τῶν τότε παρόντων, *e numero eorum qui tum rei gestæ interfuerunt*, sive pro ἐκ τῶν νῦν παρόντων, *ex eorum numero qui nunc in urbe adsunt*, vel *in vivis adhuc supersunt*. quanquam si hoc significare orator voluisset, videtur potius dicturus fuisse ἐκ τῶν περιόντων. Et pene vergit animus eo, ut aiam Isæum ita reliquisse, quanquam sententia loci potius ad τῶν τότε γεγονότων defert. *testes rerum tum gestarum*. Idem.

Ὅτι μὲν] Adde οὖν. Idem.

Ἡφαιστείδῃ] L. Ἡφαιστιάδῃ. Reliq. Att. c. 5. Meursius. Malim Ἡφαιστιάδῃ. nomen enim tribus, unde ductum est hoc gentile, fuit Ἡφαιστία. Reisk.

Πολεμῆσαι] Π. τολμῆσαι. Ἢ ἐθελῆσαι. H. Stephan. L. τολμῆσαι. Scalig. et Palmer.

Ἀστυφίλου τετελευτηκότος, καὶ ταῦτα θεῖον ὄντα καὶ ἐμοῦ καὶ ἐκείνου. ὅμως δε, ὦ ἄνδρες, οὐδὲν τούτων ὑπολογισάμενος ὁ Ἱεροκλῆς, ἐρωτώμενος ὑπ' ἐμοῦ ἀπεκρίνατό μοι ὅτι ἔχοι τὰς διαθήκας· λαβεῖν δὲ ἔφη αὐτὰς παρὰ Ἀστυφίλου, ὅτε εἰς Μιτυλήνην ἔμελλεν ἐκεῖνος ἐκπλεῖν. ὡς δὲ ταῦτ' ἔλεγεν, ἀνάγνωθί [1] μοι ταύτην τὴν μαρτυρίαν. 15

[2] ΜΑΡΤΥΡΙΑ.

γ'. Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες, οὔτε παραγενόμενος οὐδεὶς ἔτυχε τῶν οἰκείων ὅτε ὁ ἀδελφὸς ἐτελεύτησεν, οὔτ' ἐγὼ ἐπεδήμουν ὅτε τὰ ὀστᾶ αὐτοῦ δεῦρο ἐκομίσθη, ἀναγκαῖόν μοί [3] ἐστιν ἐξ αὐτῶν ὧν οὗτοι λέγουσιν ἐλέγχειν ψευδεῖς οὔσας τὰς διαθήκας ἃς ἐποιήσατο. εἰκὸς γὰρ ἐκεῖνον οὐ
234 μόνον ἐπιθυμεῖν υἱὸν ποιησάμενον καταλιπεῖν, ἀλλὰ καὶ 20 σκοπεῖσθαι ὅπως κυριώτατα ἔσται ἃ ἂν διαθῆται, καὶ τήν τε οὐσίαν, ὃν ἂν ἐκεῖνος εἰσποιήσηται, οὗτος ἕξει, καὶ ἐπὶ τοὺς βωμοὺς τοὺς πατρῴους οὗτος βαδιεῖται, καὶ τελευτήσαντι αὐτῷ καὶ τοῖς ἐκείνου προγόνοις τὰ νομιζόμενα ποιήσει· ἅπαντα δὲ ταῦτα μάλιστα εἰδέναι ὅτι γένοιντο, εἰ μὴ ἄνευ τῶν οἰκείων τῶν ἑαυτοῦ τὰς διαθήκας ποιοῖτο, ἀλλὰ πρῶτον μὲν συγγενεῖς παρακαλέσας, ἔπειτα δὲ φράτορας καὶ δημότας, ἔπειτα τῶν ἄλλων ἐπιτηδείων ὅσους 25 δύναιτο πλείστους· οὕτω γὰρ εἴτε κατὰ γένος εἴτε κατὰ δόσιν ἀμφισβητοίη τις, ῥᾳδίως ἂν ἐλέγχοιτο ψευδόμενος. ὁ τοίνυν Ἀστύφιλος οὐδὲν φαίνεται τοιοῦτον ποιήσας, οὐδὲ παραστησάμενος οὐδένα τούτων, ὅτε διέθετο ἃ οὗτοι φασὶν, εἰ μή τις ἄρα ὑπὸ [4] τούτων πέπεισται ὁμολογεῖν παρ-

[1] μοι om. [2] ΜΑΡΤΥΡΙΑ ὅτι Ἱεροκλῆς ἀπεκρίνατο. [3] ἐστιν om. [4] τούτου

Ὅτι Ἱεροκλῆς ἀπεκρίνατο] Aut delenda sunt hæc vocabula, ut e scholio in textum ingesta, aut sunt particula tituli. Reisk.

Ἃς ἐποιήσατο] Imo vero ἃς οὐδέποτε ἐποιήσατο. *testamentum, quod nunquam scripsit.* nam si orator hoc significare voluisset, *quod testamentum hi aiunt ab Astyphilo scriptum et relictum esse,* non dixisset ἃς ἐποιήσατο, sed ἃς οὗτοι φάσκουσιν αὐτὸν ποιήσασθαι. Nam ut ἐποιήσατο ad Hieroclem referatur, atque reddatur, *confinxit, commentus est, subjecit,* id vero inconsentaneum videtur. ποιεῖσθαι διαθήκας hoc sensu usurpari, idoneis exemplis probari nequit. Sin tamen possit, lenissimum sit ἃς ἐποιήσαντο subjicere, *quod hi commenti sunt.* Idem.

Οὗτος] Hoc iteratum polleatne vi quadam, cujus causa necesse fuisse videatur, ut geminaretur, an vitiose redundet, in medio relinquam. Idem.

Μάλιστα] Cohæret non cum εἰδέναι, sed cum γένοιτο, ut εἰδέναι cum εἰκός. Idem.

Συγγενεῖς] Malim aut τοὺς συγγενεῖς, aut συγγενεῖς ὅτι πλείστους. Idem.

Ἃ οὗτοι φασὶν] Subaudi αὐτὸν διαθέσθαι. Idem.

εἶναι. αὐτὸς δ' ὑμῖν πάντας τούτους μαρτυροῦντας παρ- 235
έξομαι.

ΜΑΡΤΥΡΕΣ.

30 δ'. Ἴσως τοίνυν Κλέων οὗτοσὶ φησὶν οὐκ εἰκὸς εἶναι τεκμηρίοις ὑμᾶς χρήσασθαι τούτοις τοῖς μάρτυσιν, ὅτι μαρτυροῦσι μὴ εἰδέναι Ἀστύφιλον ταῦτα διατιθέμενον. ἐγὼ δ' οἶμαι, περί [1] γε διαθηκῶν οὔσης τῆς ἀμφισβητήσεως καὶ περὶ τοῦ ποιηθῆναί τινα υἱὸν Ἀστυφίλῳ, ἡμῖν πολὺ βεβαιοτέραν εἶναι [2] μαρτυρίαν, ἣν οἱ ἀναγκαῖοι ἐκείνου περὶ 236
τῶν μεγίστων μή φασι παραγενέσθαι, μᾶλλον ἢ [3] ἣν οἱ μηδὲν προσήκοντες μαρτυροῦσι παρεῖναι. καὶ ἐχρῆν δ', ὦ
35 ἄνδρες, καὶ αὐτὸν Κλέωνα, μὴ δοκοῦντα εἶναι ἠλίθιον, ὅτε τὸν υἱὸν τὸν τούτου ἐποιεῖτο Ἀστύφιλος καὶ τὰς διαθήκας [4] κατέλειπε, παρακαλέσαι εἴ γέ τινα συγγενῆ ἐπιδημοῦντα ἐγίνωσκε, καὶ τοὺς ἄλλους, ὅτῳ ἐπὶ βραχύ περ ᾔδει Ἀστύφιλον χρώμενον. κωλῦσαι μὲν γὰρ οὐδεὶς ἂν αὐτὸν ἐδύνατο, ὅτῳ ἐβούλετο, δοῦναι τὰ ἑαυτοῦ· τούτῳ δ' ἂν μεγάλη μαρτυρία ἦν, ὅτι οὐ λάθρα ταῦτα διέθετο. ἔτι δ', ὦ ἄνδρες, εἰ
40 μὲν ὁ Ἀστύφιλος μηδένα ἐβούλετο εἰδέναι ὅτι τὸν Κλέωνος υἱὸν ἐποιεῖτο μηδ' ὅτι διαθήκας καταλίποι, εἰκὸς ἦν μηδὲ ἄλλον μηδένα ἐγγεγράφθαι ἐν τῷ γραμματείῳ μάρτυρα· εἰ δ' ἐναντίον μαρτύρων φαίνεται διαθέμενος, τούτων δὲ μὴ

[1] τε [2] τὴν μαρτυρίαν, ἣν [3] ἢν [4] κατέλιπε

Πάντας τούτους] *hos omnes* (digito præsentes commonstrat), quos paulo ante dicebam, cognatos, phratoras, demotas, familiares. Idem.

Τούτους μαρτυροῦντας] Videtur aut ἐμοί, *mihi*, hoc est, pro me, secundum me, ex animi mei sententia, aut τἀναντία, *contraria illorum prætensionibus*, interponendum esse. Idem.

Φησὶν] Præsens tempus h. l. usurpavit pro futuro φήσει, non sine exemplo. Idem.

Τεκμηρίοις] Id est, ἐν τάξει τεκμηρίων. planius utique dixisset sic: ταῖς τούτων μαρτυρίαις χρήσασθαι τεκμηρίοις, οὐ φασκόντων εἰδέναι Ἀστύφιλον ταῦτα διατιθέμενον. Pro ὅτι malim οἵ, *qui*. Idem.

Ἡμῖν] Interponendo commate ab insequentibus separavi, cohærens, non cum proximis, πολὺ βεβ. sed cum remotiori οὔσης τῆς ἀμφισβητήσεως. ferri potest, et exemplis similibus excusari atque probari, quod arcte inter se cohærentia tam longe distracta sint. Movet tamen hæc orationis durities penes me quidem suspicionem, leg. esse ἢ μὴ loco pronominis ἡμῖν. *scripseritne Astyphilus testamentum necne, et filiumne adoptarit necne.* Idem.

Ἤν] *si*, pro ἐάν. sic adverbialiter cum spiritu leni exarandum curavi. Articulus postpositivus huic loco non convenit. Idem vitium rursus versu proximo quoque correxi. Idem.

Περὶ τῶν μεγίστων] Ad hæc verba videtur addendum esse σκουδάζοντι aut simile quid. Idem.

Τοὺς ἄλλους] Tametsi ferri potest, malim tamen τῶν ἄλλων ut mollius. Idem.

Αὐτὸν] Astyphilum. Idem.

Τούτῳ] Cleoni puta. Idem.

Διέθετο] Astyphilus. Idem.

Τούτων] H. l. æquivalet vocabulo μαρτύρων, idem est, ac si dixisset: φαίνεται δὲ διαθέμενος ἐναντίον μαρτύρων, μὴ τῶν μάλιστα χρωμένων αὐτῷ, ἀλλὰ —. Idem.

τῶν μάλιστα χρωμένων ἀλλὰ τῶν ἐντυχόντων, πῶς εἰκός
237 ἐστιν ἀληθεῖς εἶναι τὰς διαθήκας; οὐ γὰρ ἡγοῦμαι ἔγωγε
οὐδένα, υἱὸν ἑαυτῷ ποιούμενον, τολμῆσαι ἄλλους τινὰς παρα-
καλέσαι ἢ τούτους, οὕςτερ καὶ ἱερῶν καὶ ὁσίων [1] κοινωνοὺς 76
ἀνθ' αὑτοῦ εἰς τὸν ἔπειτα χρόνον ἔμελλε καταλιπεῖν. ἀλλὰ
μὴν οὐδ' αἰσχυνθῆναι οὐδενὶ προσήκει ἐπὶ τοιαύταις διαθή-
καις ὡς πλείστους μάρτυρας παρίστασθαι, νόμου γε ὄντος
ἐξεῖναι ὅτῳ βούλοιτο δοῦναι τὰ ἑαυτοῦ.

ε'. Σκέψασθε δὲ, ὦ ἄνδρες, καὶ ἐκ τοῦ χρόνου ὃν οὗτοι
λέγουσι περὶ τῶν διαθηκῶν. ὅτε γὰρ εἰς Μιτυλήνην ἐξέπλει 5
στρατευόμενος, τότε φασὶν αὐτὸν ταῦτα διαθέσθαι· φαί-
νεται δὲ ὁ Ἀστύφιλος τῷ τούτων λόγῳ τὰ μέλλοντα ἅπαντα
ἔσεσθαι προειδώς. πρῶτον μὲν [2] γὰρ ἐστρατεύσατο εἰς Κό-
ρινθον, ἔπειτα εἰς Θετταλίαν, ἔτι δὲ τὸν Θηβαϊκὸν πόλεμον
ἅπαντα, καὶ ἄλλοσε ὅποι [3] περ αἰσθάνοιτο στράτευμα
συλλεγόμενον, ἀπανταχοῖ ἀπεδήμει λοχαγῶν· καὶ οὐδ' ἐν
μιᾷ τούτων [4] τῶν ἐξόδων διαθήκας κατέλιπεν. ἡ δ' εἰς τὴν 10
238 Μιτυλήνην στρατεία τελευταία αὐτῷ ἐγένετο, ἐν ᾗ καὶ
ἀπέθανε. τῷ οὖν ἂν ὑμῶν φανείη πιστὸν, πρότερον ἄλλας
στρατείας τοῦ Ἀστυφίλου στρατευομένου καὶ εὖ εἰδότος
ὅτι ἐν [5] ἁπάσαις μέλλοι κινδυνεύειν, οὕτως ἀκριβῶς τὰ παρὰ

[1] ἀνθ' αὑτοῦ κοινωνοὺς [2] γὰρ om. [3] περ om. [4] ἐξόδῳ [5] πάσαις μέλλει

Χρωμένων] Subaudi αὐτῷ, vel adde potius. Idem.

Ὁσίων] Post ὁσίων videtur τῷ υἱῷ deesse. *quos filio adoptato relicturus sit consortes* —. Idem.

Προειδὼς] Atqui negatum hoc est homini nato. ergo Astyphilus tum non scripsit testamentum; ergo tota istæc prætensio vana est. Idem.

Πρῶτον μὲν] Addendum videtur γάρ. Idem.

Ἅπαντα] Subaudiri posse e præmissis ἐστρατεύετο haud infitiabor; dubito tamen nihilominus, annon διεπολέμει addendum sit. Idem.

Τελευταία — ἐν ᾗ καὶ ἀπέθανε] Hæc non sunt, quæ obiter intuenti videantur esse, tautologa. fieri enim potest, ut tu, ab extrema tua expeditione domum, emeritis stipendiis, reversus, ætatem in longinquo senii otio degas. differunt istæc inter se quamplurimum, postrema militia defungi, et in postrema diem supremum obire. Idem.

Στρατευομένου] Usurpavit (nam in usu temporum diligentissimi profecto non sunt hi scriptores) pro στρατευσαμένου, aut ἐστρατευμένου. sæpe numero tamen haud imnærito culpa hujus perturbationis in librariorum conferatur indiligentiam. Idem.

Τὰ παρὰ τῆς τύχης] Illa duo fortuita, quæ hic dicuntur concurrisse, sunt istæc. 1) ut Astyphilus, qui nunquam antea de testamento condendo cogitasset, in tot alias expeditiones egressus, tum demum cœperit hac de re cogitare, cum expeditioni accingeretur ei, quæ ipsi postrema reapse fuit. 2) ut ab illa expeditione domum non sit reversus, de cujus expeditionis exitu non magis ipsi constare in utramvis partem poterat, quam de ullius alius exitu ipsi constiterat reliquarum omnium, quæ tot erant numero. Locus hic ex illa parte Dialectices repetitus est, ubi de probabilibus docetur. Idem.

τῆς τύχης συμβῆναι, ὥςτ' ἐν μὲν τῷ πρόσθεν χρόνῳ μηδὲ περὶ ἑνὸς αὐτὸν τῶν αὑτοῦ διαθέσθαι, ὅτε δὲ τὸ τελευταῖον ἔμελλε στρατεύεσθαι, [1] ἐθελοντήν τε ἐκπλεῖν, [2] τῷ καὶ μά- 239
λιστα ἐκ ταύτης τῆς στρατείας ἐλπίζοντα σωθήσεσθαι, πῶς τοῦτον πιστὸν ἤδη τὰς διαθήκας τότε καταλιπεῖν καὶ ἐκπλεύσαντα τελευτῆσαι;

ς'. Χωρὶς δὲ τούτων, ὦ ἄνδρες δικασταί, ἔτι μείζω τεκμήρια παρέξομαι ὡς οὐδὲν ἀληθὲς λέγουσιν οὗτοι. ἐπιδείξω γὰρ ὑμῖν ἔχθιστον ἁπάντων [3] ὄντα Ἀστύφιλον Κλέωνι, καὶ οὕτω σφόδρα καὶ δικαίως μισοῦντα τοῦτον, ὥςτε πολὺ δὴ θᾶττον διαθέμενον μηδένα ποτὲ τῶν ἑαυτοῦ οἰκείων διαλεχθῆναι Κλέωνι, μᾶλλον ἢ τὸν τούτου υἱὸν ποιησάμενον. Εὐθυκράτει γὰρ, ὦ ἄνδρες, τῷ πατρὶ τῷ Ἀστυφίλου αἴ- 240
τιος γενέσθαι λέγεται τοῦ θανάτου Θούδιππος ὁ Κλέωνος τούτου πατὴρ, οἰκισάμενος ἐκεῖνον διαφορᾶς τινὸς αὐτοῖς γενομένης ἐν τῇ [4] νεμήσει τοῦ χωρίου, καὶ οὕτως αὐτὸν διατε- 241

[1] ἐθελοντής [2] τὸν [3] εἶναι [4] νεμέσει

Ὅτε δὲ τὸ τελευταῖον] Idem est, ac si dixisset: τότε δὲ διαθέσθαι, ὅτε τὸ τ. IDEM.

Ἐθελοντής τε ἐκπλεῖν] Subaudi ἔμελλε. nam qui ultro capesserent militiam, non jussi, hi minus patebant discriminibus, quippe qui cogi non possent ad adeundum loca periculosa, si nollent ipsi caput periculis objicere, neque operas navarent militares, nisi ultroneas. Erat ergo probabilitas multo maxima, fore ut Astyphilus ex ejusmodi expeditione salvus rediret. Tanto minus erat probabile, eum in procinctu ejusmodi expeditionis de testamento condendo cogitasse. IDEM.

Τὸν] Imo vero καίτοι τὸν —. IDEM.

Διαθέμενον] Id est, γράψαντα καὶ κελεύσαντα ἐν τῇ διαθήκῃ. IDEM.

Μᾶλλον] Post πολὺ θᾶττον offendere facile possit. verum tamen ego equidem, cætera si recte haberent planaque via procederent, hoc sim æquo laturus animo, qui sciam μᾶλλον post comparativos alios præmissos haud raro παρέλκειν. Sed hiat oratio. illa duo participia διαθέμενον et ποιησάμενον infinitivo carent, quo fulciantur. Ego equidem nullus dubito in hoc μᾶλλον latere id, quod sententia postulat et subjicit, μέλλειν τελευτᾶν. *post scriptam in testamento hanc clausulam, ne quis necessariorum cum Cleone vel sermones communicet, de vita decessurum fuisse, multo potius, quam ut Cleonis filium pro suo adoptasset.* IDEM.

Ποιησάμενον] Sic dedi de meo, pro vulgari πολεμησόμενον. Et Salmasium quoque idem voluisse atque in mente certe habuisse suspicor, tametsi sive calamus ejus aberravit, sive is, qui annotatiunculas ejus, ex illo Græcorum oratorum exemplo Stephanico, quo Salmasius adhuc superstes usus fuit, quod exemplum Leidensis bibliotheca publica hodie servat, exscripsit, quo ad me mitteret. In excerptis Wyttenbachianis certe hæc verba reperi, velut a Salmasio scripta: "Lege ποιήσομεν. Intelligitur ejus Astyphili testamento potius mandatum fuisse, ne quisquam horum cum Cleone colloquatur, quam ut sibi pro filio adoptet." Hæc si scripsit Salmasius, raptim et festinans ea scripsit, quæ meliora et magis expolita videtur rescripturus fuisse, si publice locum hunc agitasset, et reliquos quoque nodos enodaturus, quos in schedis intactos præteriit. IDEM.

Θούδιππος] Nomen proprium, mihi quidem perquam suspectum, et alias nusquam oblatum. unde enim derivabitur? num a Θεὸς et ἵππος? unde vero illud δ in media voce? deinde numinis nomen cum vocabulo ἵππος copulantes, numen illud nominatim significant, non sic nude et vage θεὸς usurpant, ut e. c. Ποσείδιππος. an Σωεύσιππος leg. est? IDEM.

Νεμέσει] Revocavi hanc lectionem ex Aldina, cui Stephanus et Scaliger suffe-

θῆναι, ὥςτε ἐκ τῶν πληγῶν αὐτὸν ἀσθενήσαντα οὐ πολλαῖς ἡμέραις ὕστερον ἀποθανεῖν. ὡς δὲ ταῦτ' ἔστιν ἀληθῆ, ἴσως μὲν καὶ Ἀραφηνίων καὶ πολλοὶ τῶν τότε συγγεωρ- 25
γούντων μαρτυρήσαιεν ἄν μοι, διαῤῥήδην δὲ περὶ τηλικούτου πράγματος οὐκ ἂν ἔχοιμι ὅπως ὑμῖν παρασχοίμην. καὶ γὰρ αὐτὸν τυπτόμενον ἰδὼν Ἱεροκλῆς, ὃ τὸ γραμματεῖον φάσκων
242 παρ' ἑαυτῷ τεθῆναι, οἶδ' ὅτι οὐκ ἂν [1] ἐθελήσαι μαρτυρῆσαι ἐναντία ταῖς διαθήκαις, αἷς αὐτὸς ἀποφαίνει. ὅμως μέντοι [2] καὶ κάλει Ἱεροκλέα, ἵνα ἐναντία τούτων μαρτυρήσῃ ἢ ἐξο- 30
μόσηται.

ΜΑΡΤΥΡΙΑ.

ἀκριβῶς μὲν ᾔδειν· τοῦ γὰρ αὐτοῦ ἀνδρός ἐστιν, ἃ μὲν οἶδεν, ἐξόμνυσθαι, τῶν δὲ μὴ γενομένων πίστιν ἐθέλειν ἐπιθεῖναι ἢ μὴν εἰδέναι γενόμενα· ὡς δέ, ὅτε ἀπέθνησκεν ὁ Εὐθυκράτης ὁ πατὴρ Ἀστυφίλου, ἐπέσκηψε τοῖς οἰκείοις μηδένα ποτὲ ἐάσειν ἐλθεῖν τῶν Θουδίππου ἐπὶ τὸ μνῆμα τὸ ἑαυτοῦ, τούτων ὑμῖν τὸν ἔχοντα τὴν τηθίδα τοῦ Ἀστυφίλου μάρτυρα παρέξομαι. 35

[1] ἐθελήσει

[2] καὶ om.

cerant νεμήσει, opinantes nempe illi, in quo falsi fuerunt, νέμεσιν esse numen, νέμησιν partitionem, ut quamcunque aliam, sic hereditariam quoque. Idem.

Αὐτὸν] Patrem meum. Idem.

Ῥαφηνίων] Lege confidenter Ἀραφηνίων. Ἀραφὴν demus fuit Atticæ, de quo Demosthenes in or. c. Macartat., et Ἀραφηνάδε adverbio ad locum usus est Harpocration, et Stephanus et Suidas de eodem meminerunt. Palmer.

Καὶ πολλοὶ] Id est, πάνυ πολλοί. Palmerium, cui magis placet οἱ πολλοὶ non audio. Reisk.

Διαῤῥήδην δὲ] Hic videtur deesse τὸν μαρτυρήσοντα. Sententia paulo obscurius adumbrata hæc videtur esse: testabantur quidem Arapheniorum non nulli, et multi quidem illi, ὅτι λέγεται, famam ferri, Euthycratem a fratre Thudippo ad necem fuisse commulcatum. Qui autem disertis verbis id aiat vere factum esse, facile non exstiturum esse quemquam, ob difficultatem probationis, et magnitudinem periculorum atque damnorum eum manentium, qui cædis criminationem certis et perspicuis documentis evictam non dederit. Idem.

Οἶδ'] Id est, σαφῶς οἶδα, vel εὖ οἶδα, pro *certo scio*. Idem.

Τούτων] Id est, τῶν δικαστῶν. Nam Araphenii, tametsi laudati ab actore pro testibus fuerunt, citati tamen ad testimonium dicendum ideo non fuerant. Idem.

Μαρτυρήσῃ ἢ ἐξομόσηται] Qui testes producebant, testimonia ipsi sæpius dictabant prius et scriptis comprehendebant, maxime si qui interpellati testimonium defugiebant; quos in jus vocabant, testimonium dicturos vel ejuraturos. Sic Hieroclem vocari jubet, ut is vel contra scriptum, quod a se manarat, testimonium perhiberet, vel testimonium ejuraret. In Anim. ad Jus A. et R. l. vi. c. 9. §. 13. Heraldus.

Ἤδειν] Subaudi ὅτι ἐξομόσεται Ἱεροκλῆς εὖ εἰδώς. quanquam aut id, aut similem quandam sententiam addi malim, quam subaudiri solummodo, quod durum et inficetum est: Noram jam ante, ita esse eventurum, ut Hierocles, qui probe nosset factum, tamen juratus negaret se nosse. Reisk.

Μαρτυρίαν] Π. μάρτυρα. H. Stephan. Sic dedi pro vulgari μαρτυρίαν, quod si probabitur, erit paulo ante τοῦ ἔχοντος leg. pro vulgari τὸν ἔχοντα. quod sit paulo durius et inconcinnius. Reisk.

ΜΑΡΤΥΡΙΑ.

ἀκούων τοίνυν ταῦτα ὁ Ἀστύφιλος καὶ [1]τούτου καὶ τῶν ἄλλων προσηκόντων [2]εὐθέως ἐκ παίδων, ἐπειδὴ τάχιστα ἤρχετο φρονεῖν, οὐδεπώποτε διελέχθη Κλέωνι, ἀλλὰ πρότερον ἐτε-
λεύτησεν, οὐχ ἡγούμενος ὅσιον εἶναι, τοιαύτην αἰτίαν ἔχον- 243
τος Θουδίππου περὶ τὸν αὑτοῦ πατέρα, τῷ ἐκείνου υἱεῖ διαλέγεσθαι. ὡς οὖν τὸν ἅπαντα χρόνον διάφορος ἦν Κλέωνι,
40 τούτων ὑμῖν τοὺς συνειδότας μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

ζ'. Εἰς τὰς θυσίας τοίνυν, ἐν αἷς περ οἱ ἄλλοι Ἀθηναῖοι ἑστιῶνται, πρῶτον μὲν δημότην ὄντα, ἔπειτα ἀνεψιὸν, ἔτι δὲ τὸν υἱὸν τὸν τούτου μέλλοντα ποιεῖσθαι, εἰκὸς δήπου ἦν, ὁπότε περ ἐπιδημοίη, μηδὲ μεθ' ἑνὸς ἄλλου ἰέναι τὸν Ἀστύφιλον ἢ μετὰ Κλέωνος. ὡς τοίνυν οὐδέποτ' ἦλθε μετ' αὐτοῦ,
77. 1 ὑμῖν τῶν δημοτῶν μαρτυρίαν ἀναγνώσεται.

ΜΑΡΤΥΡΙΑ.

η'. Οὕτως τοίνυν διακείμενος τῷ τετελευτηκότι Κλέων ἀξιοῖ τὸν υἱὸν τὸν ἑαυτοῦ τὰ ἐκείνου ἔχειν. καὶ τί δεῖ τοῦτον λέγειν; ἀλλ' Ἱεροκλῆς, θεῖος ὢν καὶ ἐμοὶ, οὕτως ἐστὶ 244
τολμηρὸς ὥστ' οὐ γενομένας διαθήκας ἥκει φέρων, καί φησι
5 παρ' ἑαυτῷ Ἀστύφιλον ταύτας καταλιπεῖν. καίτοι, Ἱερόκλεις, πολλὰ κἀγαθὰ παθὼν ὑπὸ Θεοφράστου τοῦ πατρὸς τοῦ ἐμοῦ, ὅτε χεῖρον ἔπραττες ἢ νυνὶ, καὶ ὑπὸ Ἀστυφίλου, οὐδετέρῳ αὐτοῖν τὴν ἀξίαν χάριν ἀποδίδως· ἐμὲ μὲν γὰρ υἱὸν ὄντα Θεοφράστου, σαυτῷ δὲ ἀδελφιδοῦν, ἀποστερεῖς ἅ μοι

[1] τούτων

[2] εὐθέως om.

Τούτων] Avia et ejus marito. Idem.

Δημότην] Cleonis puta. Idem.

Ἐπιδημοίη] Astyphilus nempe. Sic dedi de meo, pro vulgari ἀποδημοῖ. quoties scil. ejusmodi dies festi atque epulæ inciderent in ea tempora, quibus Astyphilus domi, in urbe, esset, non foris, in castris. Idem.

Ἰέναι] *ire*. sic rursus de meo dedi, pro vulgari εἶναι. Idem.

Τοῦτον λέγειν] Comparat inter se duo exempla immanis et crudelis cupiditatis atque impudentiæ. Miramini, judices, ait, ex me audientes portentosæ cupiditatis atque impudentiæ exemplum, a Cleone erga Astyphilum consobrinum proditum. Sed desinetis mirari, cum audieritis, id quod multo est portentosius, ipsum adeo avunculum Astyphili in cineres et bona ejus tam infestis modis sævire. Hierocles is est —. Idem.

Θεῖος ὢν καὶ ἐμοὶ] Id est, θεῖος ὢν αὐτῷ ὁμοίως καὶ ἐμοί. frater enim germanus erat Hierocles ejus fœminæ, quæ Astyphilo et actori hujus causæ mater erat communis, tametsi patres eorum diversi fuissent. Idem.

οἱ νόμοι ἔδοσαν, Ἀστυφίλου δὲ τεθνεῶτος καταψεύδῃ, καὶ τὸ κατὰ σαυτὸν μέρος τοὺς ἐχθίστους καθίστης τῶν ἐκείνου κληρονόμους. καὶ πρὶν μὲν ληχθῆναι τοῦ κλήρου, ὦ ἄνδρες, 10 εὖ εἰδὼς ὁ Ἱεροκλῆς ὅτι οὐδενὶ ἄλλῳ γίνοιτο τὰ Ἀστυφίλου ἢ ἐμοὶ, ἐν μέρει ἑκάστῳ τῶν ἐκείνου ἐπιτηδείων προσήει πωλῶν τὸ πρᾶγμα καὶ τοὺς οὐδὲν προσήκοντας πείθων ἀμφισ-
245 βητεῖν, λέγων ὅτι θεῖος εἴη Ἀστυφίλῳ καὶ ἀποφαίνοι διαθήκας ἐκεῖνον καταλελοιπότα, εἴ τις αὐτῷ κοινώσαιτο· ἐπειδὴ δὲ πρὸς Κλέωνα διωμολογήσατο καὶ τῶν τοῦ ἀδελφοῦ ἐμερίσατο, νυνὶ ὡς ἀληθῆ λέγων ἀξιώσει πιστεύεσθαι, δοκεῖ 15 δέ μοι κἂν ὀμόσαι ἄσμενος, εἴ τις αὐτῷ ὅρκον διδοίη. καὶ ἐμοὶ μὲν συγγενὴς ὢν οὐδὲ τὰ γενόμενα ἐθέλει μαρτυρεῖν· ᾧ δ' οὐδὲν προσήκει, τούτῳ τὰ ψευδῆ συλλαμβάνει καὶ τῶν οὐ πραχθέντων γραμματεῖον ἥκει φέρων· πολὺ γὰρ προυργιαίτερον ἡγεῖται εἶναι τὸ χρηματίζεσθαι ἢ τὴν ἐμὴν συγγένειαν. ὡς δὲ ἐπηγγέλλετο [1] περιιὼν διαθήκας [2] ἀποφαίνειν, εἴ τις αὐτῷ κοινώσαιτο, αὐτοῦ ὑμῖν ᾧ προσῆλθε μαρτυρίαν 20 παρέχομαι.

ΜΑΡΤΥΡΙΑ.

τί οὖν χρὴ, ὦ ἄνδρες, ὄνομα θέσθαι τούτῳ τῷ ἀνδρὶ, ὅστις ἐθέλει οὕτω ῥᾳδίως διὰ τὸ ἑαυτοῦ κέρδος τῶν τεθνεώτων τινὸς καταψεύδεσθαι; ὡς δὲ οὐδὲ Κλέωνι προῖκα τὰς διαθήκας ἀποφαίνει, ἀλλὰ μισθὸν εἴληφεν, αὕτη ὑμῖν ἡ μαρτυρία οὐ μικρὸν τεκμήριον ἔσται. τοιαῦτα μέντοι κοινῇ ἐπ' ἐμοὶ τεχνάζουσιν· ἡγεῖται γὰρ αὐτῶν ἑκάτερος εὕρημα 25 ἔχειν ὅ τι ἂν τῶν Ἀστυφίλου λάβῃ.

246 θ'. Ὡς μὲν [3] οὖν οὐκ εἰσὶν ἀληθεῖς αἱ διαθῆκαι, ἀλλὰ Κλέων καὶ Ἱεροκλῆς βούλονται ὑμᾶς ἐξαπατῆσαι, καθ' ὅσον ἐδυνάμην ἀπέδειξα· ὡς δ', εἰ καὶ μηδὲν προσήκων ἔτυ-

[1] περὶ ὧν [2] ἀποφαίνοι [3] οὖν om.

Τὸ πρᾶγμα] Id est, τὸν κλῆρον καὶ τὸ περὶ τὰς ψευδεῖς διαθήκας σκευώρημα. Idem.

Κοινώσαιτο] Id est, μερίτην αὐτὸν τοῦ κλέμματος ποιήσαιτο. Si quis secum, Hierocle puta, prædam partiri, et se in ejus communionem admittere velit. Idem.

Τοῦ ἀδελφοῦ] Τοῦ ἐμοῦ δηλονότι. Idem.

Περὶ ὧν διαθήκας ἀποφαίνοι] Imo vero περιιὼν, ὡς [vel ὅτι] διαθ. ἀ. Idem.

Ἔσται] Post ἔσται deest titulus Μαρτυρία. Idem. Markland.

Ὡς μὲν] Adde οὖν. Transit hic a priore parte actionis ad alteram. Illa cum docuisset, supposititium esse illud testamentum prætensum, aggreditur nunc docere: si Astyphilus, qui testamentum nullum unquam scripsisset, voluisset scribere, non potuisse alium heredem scribere, quam se, actorem. Reisk.

Μηδὲν προσήκων] Fidem promissis tuis, Isæe, non facis, aut oblitus tui loqueris inconsentanea. Docere contendens, acto-

χον Ἀστυφίλῳ, δικαιότερός εἰμι ἔχειν τὰ ἐκείνου, ἢ οὗτοι,
διδάξω ὑμᾶς. ὅτε γὰρ ἐλάμβανε Θεόφραστος ὁ ἐμὸς πατὴρ
τὴν ἐμὴν μητέρα καὶ Ἀστυφίλου παρὰ Ἱεροκλέους, ἦλθε
30 καὶ αὐτὸν ἐκεῖνον ἔχουσα μικρὸν ὄντα, καὶ διῃτᾶτο παρ'
ἡμῖν τὸν ἅπαντα χρόνον ὁ Ἀστύφιλος, καὶ ἐπαιδεύθη ὑπὸ 247
τοῦ πατρὸς τοῦ ἐμοῦ. καὶ ἐπειδὴ ἐγὼ ἐγενόμην καὶ ὥραν
εἶχον παιδεύεσθαι, μετ' ἐκείνου συνεπαιδευόμην. λάβε δέ
μοι ταύτην τὴν μαρτυρίαν, εἶτα τὴν τῶν διδασκάλων ὅποι
ἐφοιτῶμεν.

[1]ΜΑΡΤΥΡΙΑΙ.

τὸ τοίνυν χωρίον τὸ ἐκείνου πατρῷον, ὦ ἄνδρες, ὁ πατὴρ
ὁ ἐμὸς ἐφύτευε καὶ ἐγεώργει καὶ ἐποίει διπλασίου ἄξιον.
35 ἀνάβητέ μοι καὶ τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

ἐπεὶ τοίνυν ἐδοκιμάσθη ὁ ἀδελφὸς, ἀπέλαβε πάντα ὀρ-
θῶς καὶ δικαίως, ὥστε ἐκεῖνον μηδεπώποτε μηδὲν ἐγκα-
λέσαι τῷ ἐμῷ πατρί. μετὰ δὲ ταῦτα τὴν ἀδελφὴν τὴν
ἐκείνου ὁμοπατρίαν [2]ἐνεγύησεν ὁ ἐμὸς πατὴρ ὅτῳ ἐδόκει 248
αὐτῷ, καὶ τἆλλα διῴκει, καὶ ταῦτα τῷ Ἀστυφίλῳ ἐξήρκει·

[1] ΜΑΡΤΥΡΙΑΙ om.

[2] ἐνεγγύησεν

rem, etiamsi Astyphilum nulla parte cognationis attigisset, tamen ab eo heredem fuisse necessario scribendum, doces ita, ut planum facias, actori matrem cum Astyphilo fuisse communem. Ergone fratres uterinos negas esse inter se προσήκοντας? Atqui quæ potest propior esse consanguinitas, quam duos ex eodem utero prodisse? Non hoc doces, quod te profiteris facturum, etiamsi Astyphilus frater actoris non fuisset, tamen actorem ab eo heredem necessario scribendum fuisse. Nam si Theophrastus matrem Astyphili domum suam non duxisset, non videtur operam daturus fuisse, ut Astyphilus liberaliter educaretur, neque curasset eum beneficiis promereri. IDEM.

Ἦλθε] Scil. ἡ ἐμὴ μήτηρ εἰς τὸν οἶκον τὸν ἀνδρός. Fieri quoque possit, ut post ἦλθε exciderit μετὰ τῆς ἀδελφῆς. venit mater nostra in domum patris mei, habens secum præter sororem Astyphili, etiam Astyphilum ipsum. v. versu antep. IDEM.

Τὸν ἅπαντα χρόνον] Ad pubertatem usque. IDEM.

Μαρτυρίαν] Necessariorum puta et familiarium actoris et parentum ejus, confirmantium, actorem una cum Astyphilo in domo Theophrasti educatum liberaliter fuisse. IDEM.

Ἐφοιτῶμεν] Post ἐφοιτῶμεν deest titulus ΜΑΡΤΥΡΙΑΙ. recitantur enim duo diversa testimonia, alterum illud, cujus argumentum modo indicavimus, alterum ludimagistrorum. IDEM.

Μετὰ δὲ ταῦτα] Non videtur ita accipiendum, ac si significaretur, sororem Astyphili ab ejus vitrico, Theophrasto, tum demum fuisse nuptui elocatam, postquam Astyphilus jam vir factus esset, sed indicat solummodo transitum ad enumerationem aliorum beneficiorum, quibus Theophrastus Astyphilum ornavit, adhuc impuberem. Nam alias debuisset non vitricus privignam, sed frater, tutelæ jam suæ factus, sororem marito ejus in manus dare, ut κύριος sororis. Nisi si volumus dictione illa, ταῦτα τῷ Ἀστυφίλῳ ἐξήρκει, significari, Astyphilum vitrico, de jure suo sororem desponsandi, ultro decessisse. Quicquid ejus est, quæstio hæc magni momenti non est. IDEM.

ἱκανὴν γὰρ ἡγήσατο βάσανον εἰληφέναι ἀπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ τῆς εἰς αὐτὸν εὐνοίας, ἐκ μικροῦ παιδίου τεθραμμένος 40 παρ' αὐτῷ. μαρτυροῦσι δὲ ἡμῖν καὶ περὶ τῆς ἐγγύης οἱ εἰδότες.

ΜΑΡΤΥΡΕΣ.

εἰς τοίνυν τὰ ἱερὰ ὁ πατὴρ ὁ ἐμὸς τὸν Ἀστύφιλον παῖδα ἦγε μεθ' ἑαυτοῦ ὥσπερ καὶ ἐμὲ πανταχῇ· καὶ εἰς τοὺς θιάσους [1] τοὺς Ἡρακλέους ἐκεῖνον [2] αὐτὸν εἰσήγαγεν, ἵνα μετέχοι τῆς κοινωνίας. αὐτοὶ [3] δ' ὑμῖν οἱ θιασῶται μαρτυρήσουσιν.

ΜΑΡΤΥΡΕΣ.

ί. Ἐγὼ δέ, ὦ ἄνδρες, ὡς διεκείμην πρὸς τὸν ἀδελφὸν 78. 1 σκέψασθε. πρῶτον μὲν γὰρ συνετράφην ἐκείνῳ ἐκ παιδίου, ἔπειτα οὐδέποτε διάφορος ἐγενόμην, ἀλλ' ἠσπάζετό με, ὡς 249 ἴσασιν οἱ οἰκεῖοι πάντες οἱ ἡμέτεροι καὶ οἱ φίλοι· οὓς βούλομαι ὑμῖν μάρτυρας ἀναβιβάσαι.

ΜΑΡΤΥΡΕΣ.

ιά. Δοκεῖ ἂν οὖν ὑμῖν Ἀστύφιλος, ὦ ἄνδρες, οὕτω μὲν μισῶν Κλέωνα, τοσαῦτα δ' ἀγαθὰ ὑπὸ τοῦ πατρὸς τοῦ 5 ἐμοῦ πεπονθώς, αὐτὸς τῶν ἐχθρῶν ἄν τινος υἱὸν ποιήσασθαι ἢ τὰ ἑαυτοῦ δοῦναι, τοὺς εὐεργέτας καὶ τοὺς συγγενεῖς ἀποστερήσας; ἐγὼ μὲν οὐκ ἂν οἴομαι, εἰ καὶ δεκάκις ὁ Ἱεροκλῆς διαθήκας ψευδεῖς [4] ἀποδεικνύει, ἀλλὰ καὶ διὰ τὸ ἀδελφὸν εἶναι καὶ διὰ τὴν ἄλλην οἰκειότητα πολὺ μᾶλλον προσήκειν ἐμοὶ ἢ τῷ Κλέωνος υἱεῖ, ἐπεὶ τούτοις γε οὐδὲ προσποιήσασθαι καλὸν ἦν [5] τῶν Ἀστυφίλῳ, οἵτινες οὕτω 10

[1] τοῦ [2] αὐτὸν om. [3] δ' om. [4] ἀποδεικνύῃ [5] τῷ

Παῖδα] Subaudi ἔτι ὄντα. Idem.

Τῆς κοινωνίας] Id est, τῆς αὐτῶν κοινωνίας. Quodnam autem hoc fuerit collegium thiasotarum Herculis, qui ortum, cur institutum, quibus legibus usum, quibus gavisum privilegiis et juribus, mihi non constat. Videtur ejusmodi sodalitium fuisse, atque ævo medio fuit Calendariorum. Idem.

Αὐτοὶ] Malim ἃς αὐτοὶ —. Idem.

Ἀναβιβάσαι] Post ἀναβιβάσαι videtur titulus μάρτυρες deesse. Idem.

Ἐμοὶ] Aut pone ἐμοὶ, aut pone υἱεῖ, deesse videtur τῶν ἐκείνου. *bona Astyphili mihi potius competere quam filio Cleonis.* Idem.

Ἐπεὶ] *quandoquidem.* sic dedi de meo, pro vulgari ἐπί. Idem.

Καλὸν ἦν] Pone καλὸν ἦν deest προσήκειν. quoniam hos [Cleonem ejusque necessarios] decebat, ne fingere quidem, et verbis præ se ferre, nedum serio contendere, cum Astyphilo ullam sibi necessitudinem intercedere. Idem.

Οὕτω διέκειντο] Videtur μὲν interponendum. opponuntur enim inter se, vivus adhuc et spirans Astyphilus, et ossa ejus. Idem.

διέκειντο πρὸς αὐτὸν, τὰ δὲ ὀστᾶ οὐκ ἔθαψαν, ἀλλὰ πρότερον ἐπὶ τὴν οὐσίαν ἦλθον, πρὶν ἐκείνῳ τὰ νομιζόμενα ποιῆσαι. ἔπειτα νῦν ἀξιώσουσι κληρονομεῖν τῶν Ἀστυφίλου, 250
οὐ μόνον τὰς διαθήκας λέγοντες, ἀλλὰ καὶ τὸ γένος παρατιθέντες, ὅτι ἀνεψιὸς ἦν Κλέων πρὸς [1] πατρός. ὑμᾶς δε, ὦ ἄνδρες, οὐκ εἰκός ἐστι τῷ τούτου γένει προσέχειν τὸν νοῦν.
15 οὐδεὶς γὰρ πώποτε ἐκποίητος γενόμενος ἐκληρονόμησε τοῦ οἴκου ὅθεν ἐξεποιήθη, ἐὰν μὴ ἐπανέλθῃ κατὰ τὸν νόμον. οὗτοι μέντοι ἀκριβῶς εἰδότες ὅτι οὐκ ἐποιήσατο Ἀστύφιλος τὸν Κλέωνος υἱὸν, πολλάκις ἐληλυθότι αὐτῷ οὐδεπώποτε κεκρεανομήκασι. λάβε μοι καὶ ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

ιβ'. Ἑκατέρῳ οὖν ἡμῶν, ἐξ ὧν ἀντωμόσαμεν σκεψάμενοι,
20 ψηφίσασθε. Κλέων μὲν γάρ φησι τὸν υἱὸν τὸν ἑαυτοῦ Ἀστυφίλῳ εἰσποιηθῆναι, καὶ ταῦτ' ἐκεῖνον διαθέσθαι· ἐγὼ δ' οὔ φημι, ἀλλ' ἐμὰ εἶναι πάντα τὰ Ἀστυφίλου, ἀδελφὸς ὢν ἐκείνου, ὡς καὶ αὐτοὶ τοῦτο ἴσασι. μὴ τοίνυν, ὦ ἄνδρες, εἰσποιήσησθε υἱὸν Ἀστυφίλῳ, ὃν οὐδ' αὐτὸς ζῶν ἐκεῖνος ἐποιήσατο, ἀλλὰ τοὺς νόμους οὓς ὑμεῖς ἔθεσθε βεβαιώσατέ μοι· [2] κατὰ τούτους γὰρ ἀμφισβητῶ, ὁσιωτάτην δέησιν δεό- 251
μενος, ὦ ἄνδρες, τῆς τοῦ ἀδελφοῦ οὐσίας κληρονόμον [3] με
25 καταστῆσαι. ἀπέδειξα ὑμῖν ὡς οὐδενὶ ἐκεῖνος δέδωκε τὰ ἑαυτοῦ, καὶ μάρτυρας ἁπάντων ὧν εἶπον παρεσχόμην. βοηθήσατε οὖν μοι· καὶ εἰ λέγειν ἐμοῦ δύναται Κλέων μᾶλλον, τοῦτο αὐτῷ ἄνευ τοῦ νόμου καὶ τοῦ δικαίου μηδὲν ἰσχυσάτω, ἀλλ' ὑμᾶς αὐτοὺς βραβευτὰς ἁπάντων καταστήσατε. διὰ τοῦτο γὰρ συλλέγεσθε, ἵνα τοῖς μὲν ἀναισχυντοῦσι μηδὲν πλέον ᾖ, οἱ δὲ ἀδυνατώτεροι τολμῶσι περὶ τῶν δικαίων
30 ἀμφισβητεῖν, εὖ εἰδότες ὅτι [4] ὑμεῖς οὐδενὶ ἄλλῳ τὸν νοῦν προσέχετε. ἅπαντες οὖν, ὦ ἄνδρες, μετ' ἐμοῦ γένεσθε. ὡς [5] ἐάν

[1] τοῦ πατρὸς [2] κατ' αὐτοὺς [3] με om. [4] ὑμεῖς om. [5] ἄν

Τούτου] Sive ad Cleonem, sive ad Cleonis filium redit. IDEM.

Οὗτοι] Astyphilus puta et ejus necessarii. IDEM.

Ἐληλυθότι αὐτῷ] Cleoni puta, ejusve filio, cum sæpe venisset, πρὸς αὐτοὺς, ad se, rogans participationem extorum cum ipsis. IDEM.

Ταῦτ'] Ut Cleonis filius sibi defuncto pro filio adoptato arrogaretur. IDEM.

Δεόμενος] Scil. ὑμᾶν. IDEM.

Κληρονόμον καταστῆσαι] Interponendum videtur ἐμέ. IDEM.

Ἀπέδειξα ὑμῖν] Rursus interponendum videtur h. l. γάρ. IDEM.

τι ἄλλο ψηφίσησθε Κλέωνι πειθόμενοι, σκέψασθε ὁπόσων αἴτιοι γενήσεσθε. πρῶτον μὲν τοὺς ἐχθίστους Ἀστυφίλου ἐπί τε τὰ μνήματα ἰέναι καὶ ἐπὶ τὰ ἱερὰ ἐκείνου ποιήσετε· 252 ἔπειτα τὰς Εὐθυκράτους ἐπισκήψεις, τοῦ πατρὸς τοῦ Ἀστυφίλου, ἀκύρους ποιήσετε, ἃς αὐτὸς πρότερον ἀπέθανεν [1] ἢ παραβῆναι· ἔπειτα τετελευτηκότα Ἀστύφιλον παρανοίας 35 αἰσχήσετε. εἰ γὰρ [2] τούτου ἐποιήσατο υἱὸν ὃς τῷ πατρὶ πολεμιώτατος ἦν, πῶς οὐ δόξει τοῖς ἀκούσασι παρανοεῖν ἢ ὑπὸ φαρμάκων διεφθάρθαι; ἔτι δ' ἐμέ, ὦ ἄνδρες δικασταί, ἐκτραφέντα ἐν τῷ αὐτῷ καὶ συμπαιδευθέντα Ἀστυφίλῳ καὶ ἀδελφὸν ὄντα, περιόψεσθε ὑπὸ Κλέωνος ἀποστερηθέντα τῶν ἐκείνου. ἀντιβολῶ ὑμᾶς καὶ ἱκετεύω ἐκ παντὸς τρόπου 40 ψηφίσασθαί μοι. οὕτω γὰρ ἂν μάλιστα Ἀστυφίλῳ τε [3] χαρίσαισθε κἀμὲ οὐκ ἂν [4] ἀδικήσαιτε.

[1] ἢ ἀπέθανε [2] τοῦτον [3] χαρίσεσθε [4] ἀδικήσετε

Ὁπόσων] Subaudi κακῶν, nisi potius id addendum sit. Idem.

Τὰ ἱερὰ] Valesius ad Harpocr. p. 88. vult τὰ ἡρία legi. Sed fallitur. nam primum quidem τὰ μνήματα et τὰ ἡρία idem significant. deinde vero, qui alicujus in genus reciperentur ejusque hereditatem adirent, ejus non modo monumenta gentilia, sed etiam sacra participabant, quibus addicti fuissent cum legatario majores ejus. Idem.

Ἃς αὐτὸς πρότερον ἢ ἀπέθανε παραβῆναι] Locus male sanus, cui nonnulla desunt. præterea dubium est utrum αὐτὸς ad Euthycratem, an ad Astyphilum referatur. Stephanus, profecto sagaciter, ita conjiciebat leg. esse: πρότερον ἂν ἀπέθανεν ἢ παραβῆναι. posset ad eandem sententiam sic componi lectio: πρότερον ἂν ἀποθανεῖν εἵλετο, ἢ παραβῆναι. Ego vero suspicor Isæum sic reliquisse ἃς αὐτοῖς [Astyphilo ejusque posteris et necessariis omnino omnibus] ἐπέσκηψε [scil. Euthycrates] πρότερον, ἢ ἀπέθανε, μὴ παραβῆναι. *quas illis moriens præcepit ne migrarent.* Idem.

Τοῦτον] Num τούτου, Cleonis puta. Idem.

Ἀντιβολῶ ὑμᾶς] Interpone οὖν. Idem.

Χαρίσεσθε] Rarior inventu forma hæc est; usitatior χαριεῖσθε. Idem.

I.

ΙΣΑΙΟΥ

ΠΡΟΣ ΞΕΝΑΙΝΕΤΟΝ

ΠΕΡΙ ΤΟΥ ΑΡΙΣΤΑΡΧΟΥ ΚΛΗΡΟΥ.

Pag. ed. Steph. Pag. ed. Reisk.

ΥΠΟΘΕΣΙΣ.

79. 1 Ἀρίσταρχός τις τεσσάρων παῖς γενόμενος παῖδων, Κυρωνίδου καὶ Δημοχάρους καὶ τῆς μη- 253
τρὸς τοῦ λέγοντος τὸν λόγον καὶ ἄλλης κόρης, τοῦτον μὲν τὸν Κυρωνίδην ἔτι περιὼν εἰσεποίησεν εἰς τὸν Ξεναινέτου τοῦ κατὰ μητέρα πάππου κλῆρον, αὐτὸς δὲ κληρονόμους τοὺς λοιποὺς ἑαυτῷ κατέλειψε παῖδας. μετὰ ταῦτα τελευτᾷ μὲν Δημοχάρης ἄπαις, καὶ ἡ μία θυγάτης αὐτοῦ καὶ αὐτὴ ἄπαις. ὁ δὲ κλῆρος ὅλος ἔρχεται δικαίως εἰς τὴν μητέρα τοῦ λέγοντος τὸν λόγον. καὶ ταῦτα μὲν οὕτω· μετὰ δὲ τὴν τελευτὴν Ἀριστάρχου Ἀριστομένης, ἀδελφὸς ὢν αὐτοῦ καὶ κατὰ νόμον ἐπίτροπος τῶν τοῦ ἀδελφοῦ γιγνόμενος παίδων, ἐκδέδωκε Κυρωνίδῃ τὸν ἐκποίητον υἱὸν Ἀριστάρχου τὴν θυγατέρα ἑαυτοῦ, ἐπαγγειλάμενος περιποιήσαι αὐτῷ τὸν Ἀριστάρχου κλῆρον. ὁ δὴ καὶ πεποίηκε· γενομένου γὰρ υἱοῦ τῷ Κυρωνίδῃ, πρῶτον μὲν ὄνομα τῷ παιδὶ τὸ τοῦ πάππου δεδώκασιν, Ἀρίσταρχον ὀνομάσαντες, [1] εἶτα εἰσεποίησαν αὐτὸν εἰς τὸν πάππου οἶκον ὡς δὴ τοῦτο ἐκείνου [2] πρεσταξάντος, καὶ παραδέδωκεν Ἀριστομένης αὐτῷ [3] τὸν ὅλον τοῦ πάππου κλῆρον. ἔτι δὲ παῖς ὢν ἐκεῖνος τελευτᾷ κληρονομεῖν κατὰ διαθήκας ἐνεστήσατο τὸν 254
ἴδιον ἀδελφὸν Ξεναίνετον. τούτων [4] οὕτω γενομένων καὶ κρατούντος Ξεναινέτου τὴν Ἀριστάρχου τοῦ παλαιοῦ οὐσίαν, ἀμφισβητεῖ πρὸς αὐτὸν ὁ υἱὸς τῆς θυγατρὸς Ἀριστάρχου τοῦ παλαιοῦ, λέγων ἑαυτὸν μόνον εἶναι κληρονόμον δικαίως τῶν Ἀριστάρχου τοῦ παλαιοῦ χρημάτων. ὁ μὲν γὰρ Κυρωνίδης — φησὶν — ἐκποίητος ἐγένετο· ὁ δὲ πατὴς υἱὸν ἔχων γνήσιον τὸν Δημοχάρην, οὐκ ἐδύνατο θετὸν ἑαυτῷ ποιῆσαι παῖδα· ὁ δὲ Δημοχάρης ἀτελὴς ὢν οὐδὲ αὐτὸς ἐδύνατο [5] εἰσποιῆσαι τῷ πατρὶ θετὸν υἱόν· ἀλλ' οὐδ' ἡ ἄλλη θυγάτηρ αὐτοῦ ἡ προτελευτήσασα. ὥστε οὐ κατὰ τὸν νόμον — φησὶ — τῆς εἰσποιήσεως γενομένης τοῦ [6] μικροῦ Ἀριστάρχου, οὐκέτι συνίσταται ἡ διαθήκη αὐτοῦ, τοῦ νέου Ἀριστάρχου· ἃ γὰρ μὴ δικαίως ἐκτήσατο, πῶς ἄλλῳ παραπέμψειν ἐδύνατο; ἀναιρουμένης δὲ τῆς διαθήκης εἰκότως ὁ κλῆρος εἰς τὸν λέγοντα τὸν λόγον ἐφέρετο, υἱὸν ὄντα τῆς γνησίας θυγατρὸς Ἀριστάρχου τοῦ παλαιοῦ. καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ στάσις δὲ πραγματικὴ ἔγγραφος· ζητεῖ γὰρ εἰ δεῖ τὰς τοιαύτας συνεστάναι διαθήκας, καὶ τίς [7] δικαιότερα λέγει.

1 α΄. ΕΒΟΥΛΟΜΗΝ, ὦ ἄνδρες, ὥσπερ Ξεναίνετος οὑτοσὶ δύναται ψευδῆ λέγειν θαῤῥαλέως, οὕτω κἀγὼ τἀληθῆ πρὸς ὑμᾶς περὶ ὧν ἀμφισβητοῦμεν εἰπεῖν δυνηθῆναι· οἶμαι γὰρ 255

[1] καὶ [2] πράξαντος [3] τὸν ὅλον om. [4] οὕτω om.
[5] ποιῆσαι [6] παλαιοῦ [7] δικαιότερος

Πράξαντος] L. πρεστάξαντος. REISK. Δικαιότερος] L. δικαιότερα. IDEM.

Tabula generis, hac oratione celebrati,

Xenænetus

Aristomenes — Aristarchus, super cujus hereditate agitur — filia

Apollodorus filia — Cyronides — Demochares — filia — filia

Xenænetus · Aristarchus. — actor — filiæ.

ἂν ὑμῖν εὐθέως δῆλον γενέσθαι, εἴθ' ἡμεῖς ἀδίκως ἐπὶ τὸν κλῆρον ἥκομεν, εἴθ' οὗτοι μὴ προσηκόντως πάλαι τὰ χρή- 5 ματα ταῦτα εἰλήφασι. νῦν δὲ οὐκ ἐξ ἴσου διακείμεθα, ὦ ἄνδρες. οἱ μὲν γὰρ καὶ λέγειν δεινοὶ καὶ παρασκευάσασθαι ἱκανοί, ὥστε καὶ ὑπὲρ ἑτέρων πολλάκις ἐν ὑμῖν ἠγωνίσθαι· ἐγὼ δὲ μὴ ὅτι ὑπὲρ ἄλλου, ἀλλ' οὐδ' ὑπὲρ ἐμαυτοῦ πώποτε δίκην ἰδίαν εἴρηκα, ὥστε πολλῆς δεῖ με συγγνώμης τυχεῖν παρ' ὑμῶν.

β'. Ἠνάγκασμαι [1] μὲν οὖν, ὦ ἄνδρες, διὰ τὸ μὴ δύνασθαι 10 δίκην παρ' αὐτῶν λαβεῖν, τὴν μητέρα τὴν ἐμὴν πρὸς τῇ ἀνακρίσει Ἀριστάρχου εἶναι ἀδελφὴν προσγράψασθαι· οὐ μὴν διὰ τοῦτο ὑμῖν ἥδε ἡ γνῶσις ἧττον περὶ αὐτῶν εὐκρινὴς [2] γενήσεται, ἀλλ' ἐκ τῶν νόμων [3] σκοποῦσιν εἰ τὰ ἑαυτοῦ δέδωκε τούτῳ Ἀρίσταρχος ἢ τὰ μηδὲν προσήκοντα. ἔστι δὲ δίκαιον τοῦτο, ὦ ἄνδρες· ὁ γὰρ νόμος κελεύει τὰ μὲν ἑαυτοῦ
256 διαθέσθαι ὅτῳ ἂν ἐθέλῃ, τῶν δὲ ἀλλοτρίων οὐδένα κύριον 15 πεποίηκε. τοῦτο οὖν ὑμᾶς πειράσομαι πρῶτον διδάσκειν, ἐάν μου μετ' εὐνοίας ἀκοῦσαι ἐθέλητε. εἴσεσθε γὰρ ὡς ὁ κλῆρος οὗτος οὐ τούτων ἦν ἐξ ἀρχῆς, ἀλλὰ τῆς ἐμῆς μητρὸς πατρῴος· ἔπειτα καὶ ὡς Ἀρίσταρχος οὐδὲ καθ' ἕνα νόμον αὐτὸν εἴληφεν, ἀλλὰ παρὰ πάντας τοὺς νόμους ἀδικεῖ μετὰ τῶν οἰκείων τὴν ἐμὴν μητέρα. ὅθεν οὖν σαφέστατα μαθήσεσθε ὡς ἔχει ταῦτα, ἐντεῦθεν ὑμᾶς πρῶτον πειράσομαι 20 διδάσκειν.

γ'. Ἀρίσταρχος γὰρ ἦν, ὦ ἄνδρες, Συπαλλήτιος. οὗτος ἔλαβε Ξεναινέτου Ἀχαρνέως θυγατέρα, ἐξ ἧς γίνεται Κυρωνίδης καὶ Δημοχάρης καὶ ἡ μήτηρ ἡ ἐμὴ καὶ ἄλλη τούτων ἀδελφή. Κυρωνίδης μὲν οὖν ὁ τοῦδε πατὴρ καὶ θατέρου τοῦ

[1] μὲν om. [2] φανήσεται [3] σκοποῦμεν

Οὗτοι] Xenænetus junior, et cum eo facientes, adversarii actoris. Idem.

Εἶναι ἀδελφὴν] Interponi vult Scaliger Κυρανίδου. quod non intelligo. Nam si Ἀριστάρχου copulavit cum ἀνακρίσει, falsus fuit. Qui potest dudum mortuus examinari? Idem. Anglice Ionesius: *that my mother was the daughter of Aristarchus and sister of Cyronides:* prorsus de suo.

Περὶ αὐτῶν] Id est, περὶ τούτων τῶν πραγμάτων, vel, his de bonis, hereditate Aristarchi. v. p. 186. 7. Reisk.

Τούτῳ] Xenæneto juniori, filio Cyronidis. Idem.

Τούτων] Aristarchi et Xenæneti juniorum. Idem.

Οἰκείων] Subaudi τῶν ἑαυτοῦ. ipseque et reliqui ejus necessarii injuriam fecerunt matri meæ. Idem.

Συπαλλήτιος] Lege Συπαλλήτιος ex Diogene Laertio in Zenone, Hesychio, et Stephano. Palmer.

Τοῦδε] Xenæneti junioris. Reisk.

Θατέρου] Aristarchi junioris. Idem.

τόνδε τὸν κλῆρον ἀδίκως ἔχοντος ἐξεποιήθη εἰς ἕτερον οἶκον, ὥστε αὐτῷ τῶν χρημάτων οὐδὲν ἔτι προσῆκεν· Ἀριστάρχου
80.1 δὲ τοῦ πατρὸς τούτων τελευτήσαντος Δημοχάρης υἱὸς κληρονόμος τῶν ἐκείνου κατέστη. τούτου δὲ παιδὸς ἀποθανόντος καὶ τῆς ἑτέρας ἀδελφῆς, ἡ μήτηρ ἡ ἐμὴ [1]ἐπὶ παντὶ τῷ οἴκῳ ἐπίκληρος ἐγένετο. καὶ οὕτω μὲν ἐξ ἀρχῆς ἅπαντα [2]ταυτὶ
τῆς ἐμῆς μητρὸς ἐγένετο· προσῆκον δ' αὐτῇ μετὰ τῶν χρη- 257
μάτων τῷ ἐγγύτατα γένους συνοικεῖν, πάσχει δεινότατα,
5 ὦ ἄνδρες. Ἀριστομένης γὰρ ἀδελφὸς ὢν ἐκείνου τοῦ Ἀριστάρχου, ὄντος αὐτῷ υἱέος καὶ θυγατρός, [3]ἀμελήσας ἢ αὐτὸς αὐτὴν ἔχειν ἢ τῷ υἱεῖ μετὰ τοῦ κλήρου ἐπιδικάσασθαι, τούτων μὲν οὐδὲν ἐποίησε, τὴν δὲ ἑαυτοῦ θυγατέρα ἐπὶ τοῖς [4]τῆς ἐμῆς μητρὸς χρήμασι Κυρωνίδῃ ἐξέδωκεν, ἐξ ἧς ὁ Ξεναίνετος οὗτος καὶ Ἀρίσταρχος ὁ τελευτήσας ἐγένετο. τὸ μὲν οὖν ἀδίκημα, καὶ ὃν τρόπον τῶν χρημάτων ἀπεστε-
10 ρήθην, τοῦτ' ἐστίν, ὦ ἄνδρες. μετὰ δὲ ταῦτα τὴν ἐμὴν μητέρα ἐκδίδωσι τῷ ἐμῷ πατρί. Κυρωνίδου δὲ τελευτήσαντος τὸν τοῦ Ξεναινέτου ἀδελφὸν εἰσάγουσιν Ἀριστάρχῳ υἱόν, οὐδὲ καθ' ἕνα νόμον, ὦ ἄνδρες, ὡς ἐγὼ ἐκ πολλῶν τεκμηρίων ὑμῖν ἐπιδείξω. πρῶτον μὲν οὖν μάρτυρας ὑμῖν παρέξομαι, ὡς Κυρωνίδης ἐκποίητος εἰς τὸν Ξεναινέτου οἶκον ἐγένετο καὶ ἐν ἐκείνῳ ἐτελεύτησεν, ἔπειθ' ὡς Ἀρίσταρχος, οὗ ἦν οὗτος
15 ὁ κλῆρος, πρότερος τοῦ υἱέος Δημοχάρους ἐτελεύτησε, Δημοχάρης δὲ παῖς ὢν ἀπέθανε καὶ ἡ ἑτέρα ἀδελφή, ὥστε τὸν κλῆρον ἐπὶ τῇ ἐμῇ μητρὶ γενέσθαι. καί μοι κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

οὕτω μὲν ἐξ ἀρχῆς ἦν, ὦ ἄνδρες, ὁ κλῆρος, περὶ οὗ νῦν 258
ὁ λόγος ἐστί· Κυρωνίδου μὲν ἐκποιήτου γενομένου εἰς τὸν Ξεναινέτου οἶκον, τοῦ δὲ πατρὸς Ἀριστάρχου τῷ υἱεῖ Δη-

[1] ἐν [2] ταυτὶ om. [3] μελλήσας [4] τῆς om.

Ἀριστάρχου] Seniore puta. IDEM.

Τούτων] Cyronidis, Democharis, et duarum filiarum. IDEM.

Ἐν παντὶ] L. ἐπὶ παντὶ — ad Herodot. l. iii. c. 224. VALCKENAER. Cf. p. 82. 2. ed. H. Steph.

Μελλήσας] *penes quem erat, sive ipse mallet sibi habere, sive* — nam hoc significatu μέλλειν h. l. est accipiendum. Sic dedi de meo, pro vulgari ἐμελήσας, cui Stephanus ἐθελήσας suffectum ibat. Palmerius μελήσας (simplici λ) dederat, videtur tamen geminatum dare voluisse. REISK.

Ἀριστάρχῳ] Seniori. IDEM.

Ἐξ ἀρχῆς ἦν] Adde ἡμῶν vel ἡμέτερος. IDEM.

μοχάρει καταλιπόντος, ἐκείνου δὲ τῇ ἀδελφῇ τῇ ἑαυτοῦ 20
ταύτῃ, μητρὶ δὲ ἐμῇ.

δ'. Δεῖ δὲ, ἐπειδὴ λίαν ἀναισχυντοῦσιν, ὦ ἄνδρες, καὶ τὰ χρήματα παρὰ τὸ δίκαιον ἔχειν ἀξιοῦσι, μαθεῖν ὑμᾶς ὡς οὐδὲ καθ' ἕνα νόμον Ἀρίσταρχος εἰς τοὺς φράτορας τοὺς ἐκείνου εἰσῆκται· ἐὰν γὰρ τοῦτο μάθητε, σαφῶς εἴσεσθε ὅτι τῷ μὴ δικαίως ἔχοντι οὐδὲ διατίθεσθαι περὶ αὐτῶν προσῆκεν. οἶμαι τοίνυν πάντας ὑμᾶς εἰδέναι, ὦ ἄνδρες, ὅτι κατὰ διαθήκας αἱ εἰσαγωγαὶ τῶν εἰσποιήτων γίνονται, διδόντων τε αὐτῶν καὶ υἱεῖς [1]ποιουμένων, ἄλλως δὲ οὐκ 25
ἔξεστιν. εἴτε οὖν Ἀρίσταρχον φήσει τις [2]αὐτὸν διαθέσθαι, οὐκ ἀληθῆ λέξει· γνησίου γὰρ ὄντος αὐτῷ Δημοχάρους υἱέος οὔτ' ἂν ἐβούλετο ταῦτα διαπρᾶξαι, οὔτε ἐξῆν δοῦναι τὰ ἑαυτοῦ ἑτέρῳ· εἴτε Ἀριστάρχου τελευτήσαντος Δημο-
259 χάρην αὐτὸν ποιήσασθαι, καὶ ταῦτα ψεύσονται. παιδὸς γὰρ οὐκ ἔξεστι διαθήκην γενέσθαι· ὁ γὰρ νόμος διαρρήδην κωλύει παιδὶ μὴ ἐξεῖναι συμβάλλειν μηδὲ γυναικὶ πέρα 30
[3]μεδίμνου κριθῶν. μεμαρτύρηται δὲ Ἀρίσταρχον μὲν πρό-

[1] ποιούντων [2] αὐτὸν om. [3] μεδίμνων

Ἀρίσταρχος] Junior nimirum. Idem.

Ἐκείνου] Democharetis, aut, quod perinde est, Aristarchi senioris. Idem.

Αὐτῶν] Scil. τῶν διατιθεμένων. cum ipsi legatores per se, non per alios, neque alii pro ipsis, jam vita defunctis, ita constituunt. Idem.

Ἀρίσταρχον] Seniorem. Idem.

Διαπρᾶξαι] Imo vero διαπράξασθαι. Idem.

Αὐτὸν] Scil. τὸν φάσκοντα. si quis aiat a Democharete se adoptatum. Idem.

Μεδίμναν] Fui aliquando in opinione, in qua Petitum quoque LL. Att. [l. vi. tit. vi. §. 2.] p. 577. fuisse postmodum reperi, μεδίμνου legi hic oportere. Jam vero censeo vulgatum bene habere, et respondere Latino *singulos medimnos*. neque puer æs alienum contrahere, aut commercium pactumve facere, spondere de re emenda vendendave potest, quæ excedat pretium medimni unius. Et sic quoque fœmina. Sunt hi duo medimni. Recte ergo μεδίμναν in plurali usurpavit. Unusquisque puer, et unaquæque fœmina cavere de medimnis singulis potest, cum aliqua forensi validitate, non ultra. Confiunt sic tot medimni, quot sunt contrahentes hujusmodi. μεδίμνοιν in duali dicere non licebat; nam sic exstitisset sententia, falsa illa quidem, et juri Attico atque veritati historicæ repugnans, licuisse pueris quibusque de binis medimnis cavere, et sic pariter quoque fœminis quibusque. Id quod secus erat. Henricus Stephanus primam syllabam vocabuli μεδίμναν geminandum esse suspicabatur, scil. με̄ μεδίμναν. Conjectura, ad speciem probabilis et subtiliter atque ingeniose excogitata: (ecquid enim fieri possit facilius, ecquid usu venit crebrius, quam ut eædem literæ collisæ alteræ alteras absorbeant?) reapse tamen imaginaria et abhorrens. id quod vel ipsa summæ immanitas statim prodit. Et cur legislator numerum imparem pari 40. aut 50. prætulisset? Reisk. Vid. Meurs. Lect. Att. l. ii. c. 4. et Them. Att. l. ii. c. 9. Lex, qua de agitur, non est testamentaria, sed de contractibus. Συμβάλλειν sæpe notat *contrahere et pactum conventumque facere*. Athenis impuberes et mulieres non erant κύριοι ὑπὲρ μέδιμνον κριθῶν, si quid ultra hordei medimnum contraxerant sposponderantve, jure nullum erat. Justa hinc conclusione conficit Isæus παιδὸς οὐκ ἐξεῖναι διαθήκην γενέσθαι, sive non posse eum res suas testamento dare legare. Vidit Petiti errorem Salmasius de Mod. Usur. c. 10. p. 425. Cæterum testamenta Athenis in frequenti erant usu, introducta

τερον Δημοχάρους τοῦ υἱέος τελευτῆσαι, ἐκεῖνον δὲ, ὕστερον 260
τοῦ πατρός· ὥστε κατά γε διαθήκην ἐκείνων, [1]οὐδ' εἰ διέθεντο προσῆκεν αὐτῷ τούτων τῶν χρημάτων κληρονομῆσαι. ἀνάγνωθι [2]δὴ καὶ τοὺς νόμους, καθ' οὓς οὐδετέρῳ αὐτῶν ἐξῆν διαθήκας ποιήσασθαι.

NOMOI.

35 οὐ τοίνυν, ὦ ἄνδρες, οὐδὲ Κυρωνίδην οἷόν τε ἦν υἱὸν Ἀριστάρχῳ εἰσποιῆσαι, ἀλλ' αὐτῷ μὲν ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον [3]ἐξῆν, υἱὸν ἐγκαταλιπόντα ἐν τῷ Ξεναινέτου οἴκῳ, [4]ἐξ αὐτοῦ δέ τινα ἀγαγεῖν οὐκ ἔστι νόμος· ἢ ἐὰν φῶσι, ψεύσονται. ὥστ' οὐδ' ἂν φάσκωσιν ὑπ' ἐκείνου ποιηθῆναι, νόμον [5]ἕξουσι δεῖξαι, καθ' ὃν ἐξῆν αὐτῷ ταῦτα πρᾶξαι· ἀλλ' ἐξ ὧν αὐτοὶ λέγουσιν, ἔτι φανερώτερον ὑμῖν γενή-
40 σεται τοῦτο, ὅτι παρανόμως καὶ ἀσελγῶς ἔχουσι τὰ τῆς 261
μητρὸς χρήματα.

ε'. Καὶ μὲν δὴ, ὦ ἄνδρες, οὐδ' Ἀριστομένει γε οὐδ' Ἀπολλοδώρῳ, οἷς προσῆκει τὴν ἐμῆς μητρὸς ἐπιδικάσασθαι, οὐδὲ τούτοις ἐξῆν. θαυμαστὸν γὰρ ἂν ἦν, εἰ τὴν ἐμὴν μητέρα ἔχοντι Ἀπολλοδώρῳ ἢ Ἀριστομένει οὐκ ἂν οἷόν τε ἦν τῶν ἐκείνης κυρίῳ γενέσθαι, κατὰ τὸν νόμον ὃς οὐκ ἐᾷ τῶν

[1] ἦν οὐ διέθεντο, οὐ [2] δὲ [3] ἐξῆν υἱὸν om.
[4] ἐξῆν, υἱὸν αὐτοῦ δὲ ἂν, ψεύσονται. ὥστε οὐδ' ἂν φάσκωσι τινὰ ἀγαγεῖν, οὐκ ἔστι νόμος· ἢ ἐὰν φῶσιν ὑπ'
[5] οὐχ ἕξουσι

potissimum ἵνα μὴ ἐξερημωθῇ ὁ οἶκος, ut Demosthenes loquitur or c. Macart. §. δ'., sive ne familia testatoris exstingueretur, neque illi deessent qui mortuo justa facerent. Itaque si liberis orbus esset, testamento adsciscebat, ut hereditatem una cum sacris cernerent. Præclare hæc Isæus docet or. de Apollod. Hered. §. ς'. WESSELING.

Ἐκείνων] Aristarchi majoris et Democharetis. etiamsi comminiscamur eos testamentum scripsisse, quod illi nullum scripserunt (nam neque voluere, neque licebat); tamen ne sic quidem competebat Aristarchi majoris hereditas Aristarcho minori. REISK.

Αὐτῷ] Aristarcho minori. IDEM.

Ἀριστάρχῳ] Seniori. IDEM.

Αὐτοῦ δὲ] Fœde mutilatus h. l. e conjectura sanari mera nequit, sed deploratus est, nisi meliores et integriores libri succurrant. Quare satius est insanabile hoc ulcus prorsus non attingere, tametsi loci nonnulli medicam manum critices conjecturalis haud respuere videntur. IDEM.

Λέγουσιν] Opponit ea, quæ reapse præ se ferunt, iis, modo commemoratis, quæ comminisci, si velint, possint. Nam paulo ante dixerat, ἂν φῶσιν et ἂν φάσκωσιν. Ista quidem, ait, fortassean *alius* aliquis istos fingat et inducat jactantes. quæ autem *ipsi* palam præ se ferunt, hæc sunt. IDEM.

Προσῆκει] Malim προσῆκε. IDEM.

Ἐξῆν] Scil. ἔχειν τὰ ἡμέτερα, aut υἱοὺς εἰσποιεῖν. IDEM.

Εἰ] Conturbata constructio, neque eodem filo procedens. Sequi enim cum deberet (p. 188. 2.) ἑτέρῳ δὲ, subito mutata oratio, interrogationem ironicam subjicit ἀλλ' ἑτέρῳ — *attamen, scilicet*, si dis placet, vel *nempe* (cum sanna) licebit eidem Aristomeni —. IDEM.

Κυρίῳ] Sic correxi vulgarium vitium κυρίων mea sententia. Stephanus inter duas rationes emendandi optionem dederat, in margine sic conjectans: Π. κύριον ἢ κυρίῳ. Sed posterius unice verum est. Suspicabar aliquando κυρίῳ in duali quoque

τῆς ἐπικλήρου κύριον εἶναι, ἀλλ' ἢ τοὺς παῖδας ἐπὶ δίετες
ἡβήσαντας κρατεῖν τῶν χρημάτων· ἀλλ' ἑτέρῳ αὐτὴν ἐκδόντι 81. 1
262 ἐξέσται εἰς τὰ ταύτης χρήματα υἱὸν εἰσποιῆσαι; δεινὰ
μέντ' ἂν γίνοιτο. καὶ τῷ μὲν πατρὶ αὐτῆς, εἰ παῖδες ἄρ-
ρενες μὴ ἐγένοντο, οὐκ ἂν ἐξῆν ἄνευ ταύτης διαθέσθαι· κε-
λεύει γὰρ ὁ νόμος σὺν ταύταις κύριον εἶναι δοῦναι, ἐάν τῳ
βούλοιτο, τὰ ἑαυτοῦ· τῷ δὲ μήτε λαβεῖν αὐτὴν ἀξιώσαντι 5
μήτε πατρὶ ὄντι, ἀλλ' ἀνεψιῷ, παρὰ πάντας τοὺς νόμους
εἰσαγαγόντι ἔσται κυρίως ταῦτα πεπραγμένα; καὶ τίς
ὑμῶν ταῦτα πεισθήσεται; ἐγὼ μέν, ὦ ἄνδρες, σαφῶς
ἐπίσταμαι ὅτι οὔτε Ξεναίνετος οὔτε ἄλλος οὐδεὶς ἀνθρώπων
ἕξει ἀποδεῖξαι ὡς οὐ τῆς ἐμῆς μητρὸς [1] οὗτος κλῆρός ἐστι,
τοῦ ἀδελφοῦ αὐτῇ τοῦ Δημοχάρους καταλιπόντος· ἐὰν δ' ἄρα
τολμῶσι περὶ αὐτῶν λέγειν, νόμον κελεύετε δεῖξαι καθ' ὃν
γεγένηται ἡ εἰσποίησις Ἀριστάρχῳ, καὶ τίς ὁ εἰσποιήσας. 10
τοῦτο γὰρ δίκαιόν ἐστιν. ἀλλ' οἶδ' ὅτι οὐχ ἕξουσιν ἐπιδεῖξαι.

ϛ'. Περὶ μὲν οὖν τοῦ τὸν κλῆρον εἶναι τῆς μητρὸς ἐξ
ἀρχῆς καὶ ἀδίκως αὐτὴν ὑπὸ τούτων [2] ἀπεστερῆσθαι, ἔκ τε
τῶν εἰρημένων καὶ μεμαρτυρημένων καὶ ἐξ αὐτῶν τῶν νόμων
ἱκανῶς ἡγοῦμαι ἀποδεδεῖχθαι. οὕτω δὲ καὶ τούτοις φανερόν 15
ἐστιν ὅτι οὐ προσηκόντως ἔχουσι ταῦτα τὰ χρήματα,
ὥστ' οὐκ ἐπὶ τῷ δικαίως Ἀρίσταρχον εἰσαχθῆναι εἰς τοὺς
φράτορας τὸν λόγον ποιοῦνται μόνον, ἀλλὰ καὶ δίκην φασὶν
263 ὑπὲρ τούτων τῶν χρημάτων τὸν πατέρα τὸν ἑαυτῶν ἐκτε-
τικέναι, ἵνα, ἂν μὴ κατ' ἐκεῖνο δικαίως δοκῶσιν ἔχειν, κατά
γε ταῦτα εἰκότως προσήκων αὐτοῖς φαίνηται. ἐγὼ δ', ὦ
ἄνδρες, ὅτι οὐκ ἀληθῆ λέγουσι, μεγάλοις ὑμᾶς τεκμηρίοις 20

[1] ὁ

[2] ἀποστερεῖσθαι

legi posse. Sed dualem quoque excludit insequens ἐκδόντι. Idem. Leg. κύριον. De Mod. Usur. p. 169. Salmasius.

Τῶν] Sic dedi de mea et Scaligeri [et Salmasii] sententia pro vulgari τὸν, subauditur χρημάτων. Reisk.

Ἀλλ' ἢ] Idem est ac si dixisset: ἀλλὰ μόνους ἐᾷ τοὺς παῖδας κρατεῖν. Idem. Leg. ἄλλον ἢ - - - ἡβήσαντας, καὶ κρατεῖν. Salmasius.

Ἑτέρῳ] Non cohæret cum ἐκδόντι, sed ab eo regitur. hoc volo. Dictio ἐξέσται ἐκδόντι ἑτέρῳ tantundem valet atque si dixisset: ἔσται δὲ ἐν ἐξουσίᾳ τοῦ αὐτοῦ Ἀρισταρχον εἰσποιεῖν υἱὸν εἰς τὰ ταύτης χρήματα, μετὰ τὸ ἐκδοῦναι αὐτὴν ἑτέρῳ, δηλονότι τῷ ἐμῷ πατρί. Reisk.

Ἀριστάρχῳ] Juniori. Idem.

Ἑαυτῶν] Xenæneti puta, et Aristarchi, juniorum. Sic dedi (postulabat enim præmissum φασὶν) pro vulgari ἑαυτοῦ. Idem.

Κατ' ἐκεῖνο] Scil. τὸ μέρος, δηλονότι, τὸ εἰσποιηθῆναι δικαίως Ἀρίσταρχον Δημοχάρητι. Idem.

Προσήκων] Bene si habet, deest post αὐτοῖς voc. ὁ κλῆρος. ego vero suspicor leg. esse προσήκειν in infinitivo, scil. τὰ χρήματα. Idem.

διδάξω. εἰ γὰρ ἦν — ὡς οὗτοι λέγουσιν — ὑπόχρεως οὗτος ὁ κλῆρος, οὔτ' ἂν χρήματα οὗτοι ὑπὲρ αὐτῶν ἐζέτινον — οὐ γὰρ προσῆκον αὐτοῖς, ἀλλ' οἷς ἐγένετο ἡ ἐμὴ μήτηρ ἐπίδικος, τούτοις ἀναγκαῖον ἦν ὑπὲρ αὐτῶν βουλεύσασθαι —, οὔτ' ἂν εἰσεποίουν εἰς τοῦτον τὸν κλῆρον υἱὸν Ἀριστάρχῳ, μέλλοντες ὠφεληθήσεσθαι μὲν μηδέν, ζημιωθήσεσθαι δὲ μεγάλα. ἢ ἕτεροι μέν, [1]ὅταν περὶ χρημάτων δυστυχῶσι,
25 τοὺς σφετέρους αὐτῶν παῖδας εἰς ἑτέρους οἴκους εἰσποιοῦσιν, 264
ἵνα μὴ μετάσχωσι τῆς τοῦ πατρὸς ἀτιμίας· οὗτοι δὲ ἄρα εἰς ὑπόχρεων οὐσίαν καὶ οἴκοθεν εἰσεποίουν σφᾶς αὐτούς, ἵνα καὶ τὰ ὑπάρχοντα προσαπολέσειαν; οὐκ ἔστι ταῦτα, ἀλλ' ὁ μὲν κλῆρος ἐλεύθερος ἦν καὶ τῆς ἐμῆς μητρὸς ἐγένετο, οὗτοι δὲ φιλοχρηματοῦντες καὶ ἐκείνην ἀποστεροῦντες ταῦτα πάντα ἐμηχανήσαντο.

30 ζ'. Ἴσως οὖν τις, ὦ ἄνδρες, τὸν χρόνον ὑμῶν θαυμάσειε, πῶς ποτὲ πολὺν οὕτως εἰάσαμεν καὶ ἀποστερούμενοι οὐκ ἤμεν ἐπ' αὐτά, ἀλλὰ νυνὶ περὶ αὐτῶν τοὺς λόγους ποιούμεθα. ἐγὼ δὲ οἶμαι μὲν οὐ δίκαιον εἶναι διὰ τοῦτο ἔλαττον ἔχειν, εἴ τις μὴ ἐδυνήθη ἢ κατημέλησεν — οὐ γὰρ τοῦτό ἐστι σκεπτέον, ἀλλὰ τὸ πρᾶγμα εἰ δίκαιον ἢ μή —· ὅμως μέντοι καὶ περὶ τούτων αἴτιον εἰπεῖν ἔχομεν, ὦ ἄν-
35 δρες. ὁ γὰρ πατὴρ οὑμὸς ἐπὶ προικὶ ἐγγυησάμενος τὴν ἐμὴν μητέρα συνῴκει, [2]τὸν δὲ κλῆρον τούτων καρπουμένων οὐκ εἶχεν ὅπως εἰσπράξαιτο· ὅτε γὰρ περὶ αὐτοῦ λόγους ἐποιή- 265
σατο τῆς μητρὸς κελευούσης, οὗτοι ταῦτα αὐτῷ ἠπείλησαν, αὐτοὶ ἐπιδικασάμενοι αὐτὴν ἕξειν, εἰ μὴ βούλοιτο αὐτὸς ἐπὶ προικὶ ἔχειν. ὁ δὲ πατήρ, ὥστε τῆς μητρὸς μὴ στερηθῆναι, καὶ δὶς τοσαῦτα χρήματα εἴασεν ἂν αὐτοὺς καρποῦσθαι.

[1] , ὅταν μὲν

[2] τῶν

Ὑπὲρ αὐτῶν] Imo vero ὑπὲρ αὐτοῦ. redit enim ad præmissum ὁ κλῆρος. IDEM.

Προσῆκον] Malim προσῆκεν, scil. τοῦτο ποιεῖν. IDEM.

Ὑπὲρ αὐτῶν] Scil. sive τῶν χρημάτων, sive τῶν χρεῶν. IDEM.

Ἕτεροι ὅταν μὲν] Malim verba sic strui: ἕτεροι μὲν, ὅταν περὶ —. IDEM.

Οἴκοθεν] F. οἶκον. MARKLAND.

Ἦμεν] Solet hoc pro ἤειμεν reperiri, per syncopen, aiunt, nescio quam recte. REISK.

Ἔχειν] δίκαιον accipio h. l. non pro neutro, sed pro masculino, subaudi τινά. quod e proximo εἴ τις hic est adsciscendum. IDEM.

Ἐπὶ προικὶ] Id est, οὐκ ἐπὶ κλήρῳ, ὡς οὐκ οὖσαν ἐπίκληρον. accipiens enim pater actoris cum uxore dotem, fatebatur, uxorem suam non esse ἐπίκληρον, h. e. virginem, cui patris hereditas soli competeret, sed ei esse fratrem, heredem universorum bonorum. IDEM.

Τῶν δὲ κλῆρον τούτων] Aut τὸν δὲ κλῆρον τούτων leg. est, aut τῶν δὲ κλῆρον τοῦτον. IDEM.

καὶ τοῦ μὲν τὸν πατέρα μὴ ἐπεξελθεῖν ὑπὲρ τούτων τοῦτό 40
ἐστι τὸ αἴτιον· μετὰ δὲ ταῦτα ὁ Κορινθιακὸς πόλεμος
ἐγένετο, ἐν ᾧ ἐγὼ κἀκεῖνος στρατεύεσθαι ἠναγκαζόμεθα,
ὥστε οὐδετέρῳ ἂν ἡμῶν δίκην ἐξεγένετο λαβεῖν. εἰρήνης τ'
αὖ γενομένης ἐμοί τι ἀτύχημα πρὸς τὸ δημόσιον συνέβη,
ὥστε μὴ ῥᾴδιον εἶναι πρὸς τούτους διαφέρεσθαι. ὥστε οὐ
μικρὰς ἔχομεν αἰτίας περὶ τοῦ πράγματος. ἀλλὰ νυνὶ
δίκαιον εἰπεῖν ἐστιν, ὦ ἄνδρες, τίνος δόντος [1]ἔχει τὸν κλῆ-
ρον, κατὰ ποίους νόμους εἰς τοὺς φράτορας εἰσῆκται, καὶ 82.
πῶς οὐκ ἐπίκληρος ἦν ἐπὶ τούτοις χρήμασιν ἡ ἐμὴ μήτηρ.
ταῦτα γάρ ἐστι περὶ ὧν ὑμᾶς δεῖ τὴν ψῆφον ἐνεγκεῖν, οὐκ
εἰ χρόνῳ τι ὕστερον ἡμεῖς τῶν ἡμετέρων εἰσπραττόμεθα. μὴ
266 δυνηθέντων δὲ ἐπιδεῖξαι, δικαίως ἂν ἐμὸν αὐτὸν εἶναι [2]ψη-
φίσαισθε.

ἡ. Τοῦτο μὲν [3]οἶδ' ὅτι ποιεῖν οὐχ οἷοί τ' ἔσονται· χα-
λεπὸν γὰρ πρὸς νόμους καὶ δίκαιον πρᾶγμα ἀντιλέγειν 5
ἐστί· περὶ δὲ τοῦ τεθνεῶτος λέξουσιν, ἐλεοῦντες ὡς ἀνὴρ
[4]ὢν ἀγαθὸς ἐν τῷ πολέμῳ τέθνηκε, καὶ ὅτι οὐ δίκαιόν ἐστι
τὰς ἐκείνου διαθήκας ἀκύρους καθιστάναι. ἐγὼ δὲ καὶ αὐτός,
ὦ ἄνδρες, οἶμαι δεῖν κυρίας εἶναι τὰς διαθήκας, ἃς ἂν ἕκα-
στος διαθῆται περὶ τῶν ἑαυτοῦ· περὶ μέντοι τῶν ἀλλοτρίων
οὐ κυρίας εἶναι τὰς διαθήκας, ὥσπερ ἃς ἕκαστος περὶ τῶν
ἑαυτοῦ διαθῆται. ταῦτα δὲ οὐ τούτων ὄντα, ἀλλὰ ἡμετερα 10
φαίνεται. ὥστε ἂν ἐπὶ τοῦτον τὸν λόγον καταφεύγῃ καὶ
μάρτυρας παρέχηται ὡς διέθετο ἐκεῖνος, ἐπιδεικνύναι κε-
267 λεύετε εἰ δικαίως τὰ ἑαυτοῦ. τοῦτο [5]γὰρ δίκαιόν ἐστι. δει-

[1] αὐτῷ [2] ψηφίσεσθε [3] δ' οἶδ' [4] μὲν [5] καὶ

Ὑπὲρ τούτων] *harum rerum*, vel *horum bonorum, causa in jure eos persequi*. Idem.

Ἀτύχημα πρὸς τὸ δημόσιον] Ærarius fiebam, pecunia mulctatus, quam statim dependere non poteram. Idem.

Δίκαιον εἰπεῖν ἐστιν] Scil. αὐτόν. malim tamen in nominativo legi δίκαιος, Xenænetus puta. Idem.

Οὐκ εἰ χρόνῳ τι ὕστερον ἡμεῖς τῶν ἡμετέρων] Alius verba sic struxisset paulo planius: οὐκ εἰ χρόνῳ πολλῷ ὕστερον ἡμεῖς τῶν τι ἡμετέρων. Idem.

Αὐτὸν] Scil. τὸν κλῆρον. mallem tamen αὐτὸ in neutro, ut referatur ad τῶν ἡμετέρων τι. Idem.

Τοῦτο μὲν δ' οἶδα] Aut leg. ἀλλὰ τοῦτο μὲν εὖ οἶδα, aut τοῦτο μὲν γὰρ (aut τοῦτο μέντοι) εὖ οἶδα ὅτι —. Idem.

Ὥσπερ ἃς] Mutatum hoc ibat Scaliger cum ἅσπερ εἷς. sed bene habet vulgata. in ὥσπερ subauditur a communi οἶμαι κυρίας εἶναι τὰς διαθήκας, ἃς ἕκαστος —. Idem.

Τούτων] Π. τοῦτον. H. Stephan. Scalig.

Τὰ ἑαυτοῦ] Subaudi διέθετο e præmissis. Dubito etiam an leg. sit: δικαίως, καὶ τὰ ἑαυτοῦ. Reisk.

Τοῦτο καὶ δίκαιον] Malim τοῦτο γὰρ καὶ δίκαιον. Idem.

νότατα γὰρ πάντων γένοιτο, εἰ Κυρωνίδης μὲν καὶ οὗτοι, ὄντες ἐκείνου, μὴ μόνον τὸν Ξεναινέτου οἶκον πλέον ἢ τεττάρων ταλάντων ἔξουσιν, ἀλλὰ καὶ τόνδε προσλήψονται· ἐγὼ δὲ τῆς μητρὸς οὔσης κυρίας καὶ ἐκ τῶν αὐτῶν Κυρωνίδη γεγενημένος, εἰ μηδὲ τὸν τῆς μητρὸς κλῆρον λήψομαι, καὶ ταῦτα μηδ' ἐχόντων τούτων ἐπενεγκεῖν παρ' ὅτου ποτ' εἰλήφασι. καίτοι δίκαιον, ὦ ἄνδρες, ὥσπερ τῶν ἀμφισβητησίμων χωρίων δεῖ τὸν ἔχοντα ἢ θέτην ἢ πρατῆρα παρέχεσθαι ἢ καταδεδικασμένον φαίνεσθαι, οὕτω καὶ τούτους καθ' ἕν τι τούτων ἀποφήναντας αὐτὸν ἀξιοῦν ἐπιδικάζεσθαι, καὶ μὴ πρὸ δίκης τὴν Ἀριστάρχου θυγατέρα, ἐμὴν δὲ μητέρα, ἐκ τῶν πατρῴων ἐκβάλλειν. ἀλλὰ γὰρ, ὦ ἄνδρες, οὐχ ἱκανόν ἐστι Ξεναινέτῳ τὸν Ἀριστομένους οἶκον καταπεπαιδεραστηκέναι, ἀλλὰ καὶ τοῦτον οἴεται δεῖν τὸν αὐτὸν τρόπον διαθεῖναι. ἐγὼ δ', ὦ ἄνδρες δικασταὶ, βραχείας οὐσίας ὑπαρξάσης ἀδελφὰς μὲν ἐξέδωκα, ὅσα ἐδυνάμην ἐπιδοὺς, 268
κόσμιον δ' ἐμαυτὸν παρέχων καὶ ποιῶν τὰ προσταττόμενα καὶ τὰς στρατείας στρατευόμενος ἀξιῶ τῶν τῆς μητρὸς πατρῴων μὴ ἀποστερηθῆναι. ἀπέδειξα δ' ὑμῖν Κυρωνίδην μὲν τὸν τούτων πατέρα ἐκποίητον γενόμενον καὶ οὐκ ἐπανελθόντα εἰς τὸν πατρῷον οἶκον, τὸν δὲ πατέρα τὸν Κυρωνίδου καὶ τῆς ἐμῆς μητρὸς Δημοχάρει τῷ υἱῷ τοῦτον τὸν κλῆρον καταλιπόντα, ἐκεῖνον δὲ ἄπαιδα ὄντα τελευτήσαντα, καὶ εἰς τὴν ἐμὴν μητέρα τοῦτον τὸν κλῆρον ἐπιγιγνόμενον.

Ταλάντων] Subaudi ὄντα, aut ἄξιον ὄντα. IDEM.

Ἐπενεγκεῖν] Subaudi ἐπί τινα τὴν πρόφασιν. referre ad aliquem suam prætensionem, causari, prætendere aliquem. IDEM.

Πρακτῆρα] Π. πρατῆρα. H. STEPHAN. Quicunque fundum domumve possidet, debet ejus nomen edere, a quo aut oppignerata illa, aut empta habet. REISK.

Αὐτὸν] Scil. τὸν κλῆρον. sed adde ἔχειν, et nescio an οὕτως quoque, ut sit ἀποφήναντας τοῦτον ἔχειν, οὕτως ἀξιοῦν. IDEM.

Τὰς στρατείας] Subaudi τὰς γεγενημένας, aut τὰς προστεταγμένας. IDEM.

Ἀξιῶ] Stephanus volebat δὲ addi. Ego solummodo τ' paulo ante v. 17. post κόσμιον in δ' mutavi. IDEM.

Ἐπιγιγνόμενον] Malim περιγιγν. IDEM.

ΙΑ.

ΙΣΑΙΟΥ

ΠΕΡΙ ΤΟΥ ΑΓΝΙΟΥ ΚΛΗΡΟΥ.

Pag. ed. Reisk. | Pag. ed. H.

ΥΠΟΘΕΣΙΣ.

268 Ἀγνίας τις εἶχεν ἀνεψιοὺς πολλοὺς, Θεόπομπον καὶ τὸν ἀδελφὸν αὐτοῦ Στρατοκλέα καὶ 83.
Στράτιον καὶ Εὐβουλίδην. εἶτος μέλλων τελευτᾶν ἐποιήσατο θετὸν αὐτῷ θυγατέρα, κελεύσας
269 ἐν ταῖς διαθήκαις, εἴ τι πάθοι ἡ θυγάτης, ἔχεσθαι τὸν κλῆρον εἰς Γλαύκωνα, ἀδελφὸν αὐτοῦ
τυγχάνοντα ὁμομήτριον. ἐπὶ τούτοις αὐτοῦ τελευτήσαντος ἡ θυγάτης λαβοῦσα τὸν κλῆρον ἐτε-
λεύτησεν. ἀποθανόντος δὲ καὶ Εὐβουλίδου ἡ θυγάτης αὐτοῦ, τοῦ Εὐβουλίδου, δικασαμένη πρὸς
Γλαύκωνα ἔλαβε τὴν οὐσίαν. μετὰ ταῦτα τελευτησάντων καὶ τῶν περὶ τὸν Στρατοκλέα καὶ
Στράτιον Θεόπομπος μόνος ἐδικάσατο πρὸς αὐτὴν, καὶ ἔλαβε τὸν κλῆρον. πρὸς τοῦτον ὁ υἱὸς τοῦ
ἀδελφοῦ [1] αὐτοῦ, Στρατοκλέους, δικάζεται· πρὸς αὐτὸν δὲ ἐπιτρόπου τινὸς υἱὸς, φάσκων ἐξ ἴσου
τὰ τῆς κληρονομίας ἀρμόζειν τῷ τε Θεοπόμπῳ καὶ τῷ παιδὶ τοῦ ἀδελφοῦ αὐτοῦ. Ἡ στάσις
πραγματική.

270 α΄. ΔΙΑ ταῦθ' ὑμῖν ἀνέγνων τοὺς νόμους, ὅτι κατὰ τὸν 1
πρῶτον αὐτῶν ἰσχυρίζεται τῷ παιδὶ τοῦ ἡμικληρίου προσ-
ήκειν, οὐκ ἀληθῆ λέγων. οὐ γὰρ ἦν ἡμῖν Ἀγνίας ἀδελφὸς,
ὁ δὲ νόμος περὶ ἀδελφοῦ χρημάτων πρῶτον ἀδελφοῖς τε καὶ
ἀδελφιδοῖς πεποίηκε τὴν κληρονομίαν, ἂν ὦσιν ὁμοπάτορες· 5
τοῦτο γὰρ ἐγγυτάτω τοῦ τελευτήσαντος γένος ἐστίν. ἐὰν δ'

[1] αὐτοῦ om.

ΑΓΝΙΟΥ] Plenum stemma generis ex hac oratione constituere haud licuit. Satis igitur habebimus, quædam momenta consanguinitatis horum hominum, quorum nomina hac in oratione commemorantur, hic ponere, quo causa suopte intricata et obscura fiat aliquanto explicatior atque dilucidior.

Actor, et Hagnias, et Eubulides, et Stratocles, et Stratius erant consobrini ἐκ πατραδέλφων. Fratres igitur fuerant eorum patres. v. p. 195. 3. Hagniæ mater fuerat soror Stratii.

Hagnias suæ sororis filiam instituerat heredem, cui suffecerat Glauconem, fratrem uterinum.

Theophon erat frater, ut videtur, Stratoclis. cujus Stratoclis filius videtur cum actore, tutore suo, super Hagniæ hereditate contendisse. p. 197. 19.

Actor in matrimonio habebat sororem Macartati, cui Macartato alterum suorum filiorum pro filio adoptivo arrogarat. p. 207. 20. Idem.

Διὰ ταῦθ' ὑμῖν ἀνέγνων τοὺς νόμους] Videri possit huic orationi initium deesse. quod utrum vere sit, nec ne, in dubio relinquam. Si minus est, præmissa fuit ejus exordio legum ad hanc causam facientium recitatio. Sed Tayloro quoque initium orationis abruptum indicare videbatur, nonnihil deesse. Et profecto, quæ desunt, si haberemus, causam hanc, nunc obscurissimam, liquidius perspiceremus. Idem.

Ἰσχυρίζεται] Scil. ὁ ἀντίδικος. Idem.

Τῷ παιδὶ] Cujus tutor sum. filio Stratoclis. Idem.

Τοῦ ἡμικληρίου] Bonorum ab Hagnia relictorum semissem. Idem.

Περὶ ἀδελφοῦ χρημάτων] Subaudi διατάττων vel διαγραφεύων. Idem.

οὗτοι μὴ ὦσι, δεύτερον ἀδελφὰς ὁμοπατρίας καλεῖ καὶ παῖδας τοὺς ἐκ τούτων. ἐὰν δὲ μὴ ὦσι, τρίτῳ γένει δίδωσι τὴν ἀγχιστείαν, ἀνεψιοῖς παρὸς πατρὸς μέχρις ἀνεψιῶν παίδων. ἐὰν δὲ καὶ τοῦτ' [1]ἐκλείπῃ, εἰς τὸ γένος πάλιν ἐπανέρχεται, καὶ
10 ποιεῖ τοὺς πρὸς μητρὸς τοῦ τελευτήσαντος κυρίους αὐτῶν, 271
κατὰ ταὐτὰ καθάπερ τοῖς πρὸς πατρὸς ἐξ ἀρχῆς ἐδίδου τὴν κληρονομίαν. ταύτας [2]ποιεῖ τὰς ἀγχιστείας ὁ νομοθέτης μόνας, [3]συντομωτέρως τοῖς ῥήμασιν ἢ ἐγὼ φράζω· τὴν μέντοι διάνοιαν ὧν βούλεται, ταύτῃ δείκνυσιν. ὁ δὲ παῖς οὗτος οὐδὲ καθ' ἓν τούτων ὀνομάτων Ἁγνία προσήκει [4]τῇ ἀγχιστείᾳ, ἀλλ' ἔξω τῆς συγγενείας ἐστίν. ἵνα δ' ἀκριβῶς μάθητε
15 περὶ ὧν ψηφιεῖσθε, τοὺς πολλοὺς λόγους ἐάσας οὗτος εἰπάτω ὅ τι ὁ παῖς προσήκει τουτωνὶ τῶν εἰρημένων τῷ τὸν κλῆρον καταλιπόντι· κἂν φανῇ κατά τι προσήκων, ἑκὼν ἐγὼ 272
συγχωρῶ τὸ ἡμικλήριον εἶναι τοῦ παιδός. εἰ δέ τοι μηδὲν τούτων ἔξει εἰπεῖν, πῶς οὐκ ἐλεγχθήσεται φανερῶς ἐμὲ μὲν συκοφαντῶν, ὑμᾶς δ' ἐξαπατῆσαι παρὰ τοὺς νόμους ζητῶν; ἀναβιβασάμενος οὖν αὐτὸν ἐναντίον ὑμῶν ἐρωτήσω τὰ
20 ἐν τοῖς νόμοις ὑπαναγινώσκων· οὕτω γὰρ εἴσεσθε εἰ προσήκει τῷ παιδὶ τῶν Ἁγνίου χρημάτων ἢ μή. λάβε οὖν αὐτοῖς τοὺς νόμους. σὺ δ' ἀνάβηθι δεῦρο, ἐπειδὴ δεινὸς εἶ διαβάλλειν καὶ τοὺς νόμους διαστρέφειν. σὺ δ' ἀναγίνωσκε.

[5]ΝΟΜΟΙ.

ἐπίσχες. ἐρωτήσω σε. ἀδελφὸς ἔσθ' ὁ παῖς Ἁγνίου, ἀδελ-

[1] ἐκλίπῃ [2] τὰς ποιητὰς ἀγχ. [3] συντομωτέρας
[4] τῇ om. [5] ΝΟΜΟΙ. om.

Εἰς τὸ γένος] Malim εἰς τὸ πρῶτον γένος. paulo ante τὸ τρίτον γένος commemorarat. primum γένος, seu primus velut articulus consanguinitatis est is, quo pater et mater continentur. Exhausto genere patris, quæ est primi articuli prima portio, transit hereditas ad primi articuli secundam portionem, quæ complectitur necessarios matris legatoris. Idem.

Αὐτῶν] Scil. τῶν χρημάτων, id est, τοῦ κλήρου. sæpe Isæus in his causis ad hereditates pertinentibus, quæ ex ejus operibus adhuc solæ supersunt, vocis αὐτὰ hoc sensu, id est, pro hereditate controversa, usurpat. Idem.

Μόνας] Addendum videtur δίδωσι. legislator has solas statuit, aut permittit necessitudines sanguinis. Idem.

Συντομωτέρας] Malim aut adverbialiter συντομωτέρως, aut in dativo plur. συντομωτέροις legi. Idem.

Φράζω] Malim φράζων. Idem.

Ὅ τι] Id est, καθ' ὅ τι ὄνομα. quonam nomine vel titulo. οὗτος redit ad pupilli advocatum. v. p. 194. 9. Idem.

Αὐτοῖς] Taylor malebat αὐτούς. Idem.

Σὺ δὲ] Primum hoc σὺ δὲ conversum est ad patronum pupilli, adversus quem hæc oratio pugnat. secundum, proxime insequens, ad scribam. Idem.

Ἀναγίνωσκε] Hic deesse videtur titulus ΝΟΜΟΙ. aut ΑΝΑΓΝΩΣΙΣ ΤΩΝ ΝΟΜΩΝ. Idem.

Ἐπίσχες] Scribam alloquitur. Illud

273 φιδοῦς ἐξ ἀδελφοῦ ἢ ἐξ ἀδελφῆς γεγονώς, ἢ ἀνεψιός, ἢ ἐξ ἀνεψιοῦ πρὸς μητρὸς ἢ πρὸς πατρός; τί τούτων τῶν ὀνομάτων, οἷς ὁ νόμος τὴν ἀγχιστείαν δίδωσι; καὶ ὅπως μὴ ἐκεῖνο [1]ἐρεῖς, ὅτι ἐμὸς ἀδελφιδοῦς· οὐ γὰρ περὶ τοῦ ἐμοῦ 25 κλήρου νῦν ὁ λόγος ἐστί· ζῶ γάρ. εἰ δ' [2]ἦν ἅπαις ἐγὼ τετελευτηκὼς καὶ ἠμφισβήτει τῶν ἐμῶν, τοῦτο ἂν προσήκοι ἀποκρίνασθαι ἐρωτωμένῳ. νῦν δὲ φῂς τῶν Ἀγνίου χρημάτων τὸ ἡμικλήριον εἶναι τοῦ παιδός· δεῖ δή σε τῆς ἀγχιστείας, ὅτι ὁ παῖς Ἀγνίᾳ προσήκει, τὸ γένος εἰπεῖν. [3]φράσον οὖν τουτοισί.

β'. Αἰσθάνεσθε ὅτι οὐκ ἔχει τὴν συγγένειαν εἰπεῖν, ἀλλ' ἀποκρίνεται πάντα μᾶλλον ἢ ὃ δεῖ μαθεῖν ἡμᾶς. καίτοι τόν γε πράττοντά τι δίκαιον οὐ προσῆκεν ἀπορεῖν ἀλλ' εὐθὺς 30 274 λέγειν, καὶ μὴ μόνον τοῦτο ποιεῖν, ἀλλὰ καὶ διόμνυσθαι καὶ τοῦ γένους παρέχεσθαι μαρτυρίας, ἵνα μᾶλλον ἂν ἐπιστεύετο ὑφ' ὑμῶν. νῦν δ' ἐφ' οἷς ἀπόκρισιν οὐ δέδωκεν, οὐ μάρτυρας παρέσχετο, οὐχ ὅρκον ὤμοσεν, οὐ νόμον ἀνέγνωκεν, 84. 1 οἴεται δεῖν ὑμᾶς, ὀμωμοκότας ψηφιεῖσθαι κατὰ τοὺς νόμους, αὐτῷ πειθομένους ἐμοῦ καταγνῶναι ταύτην τὴν εἰσαγγελίαν παρὰ τοὺς νόμους· οὕτω σχέτλιος καὶ ἀναιδὴς ἄνθρωπός ἐστιν. ἀλλ' οὐκ ἐγὼ ποιήσω τούτων οὐδέν, ἀλλὰ καὶ τὸ γένος ἐρῶ τοὐμόν, καὶ ὅθεν [4]μοι προσήκει τῆς κληρονομίας, καὶ τὸν παῖδα ἐπιδείξω καὶ τοὺς πρότερον ἀμφισβητήσαν- 5 τας ἐμοὶ τοῦ κλήρου πάντας ἕξω τῆς ἀγχιστείας ὄντας, ὡς-θ' ὑμᾶς ὁμολογεῖν. ἀνάγκη δ' ἐστὶν ἐξ ἀρχῆς τὰ συμβεβηκότα εἰπεῖν· ἐκ τούτων [5]γὰρ γνώσεσθε τήν τε ἐμὴν

[1] ἐρῇς [2] οὖν ἄπαις ἐγὼ ἦν [3] φράσον - - - εἰπεῖν om. [4] ἐμοὶ [5] γὰρ om.

autem σὲ ad patronum pupilli conversum est. IDEM.

Ἔθ' ὁ παῖς] Π. ἔσθ' ὁ παῖς. H. STEPHAN.

Ἀγνίου, ἀδελφιδοῦς ἐξ —] Videtur sic legendum Ἀγνίου; hic desinit interrogatio. respondet ipse pro adversario. οὔ. non est. tum pergit interrogare ἀδελφιδοῦς οὖν ἐξ — vel ἀλλ' ἀδελφιδοῦς ἐξ — Aut si simplicius mavis Ἀγνίου, ἢ ἀδελφιδοῦς ἐξ — Etiam Taylor malebat ἢ ἀδελφιδοῦς. RELISK.

Τί τούτων] Videtur aut τί τούτῳ leg. subaudiendo ἐστὶ, aut alias sive καλεῖται sive αὐτῷ interponendum. IDEM.

Τῆς ἀγχιστείας, ὅτι] Malim τῆς ἀγχιστείας καθ' ὅ τι — possit quidem videri ὅ τι tantundem valere atque καθ' ὅ τι, idque defendi e p. 193. 13. ubi etiam ὅ τι usurpatum fuit pro καθ' ὅ τι. Ego tamen valde vereor, ne ibi quoque hoc in locum illius sufficiendum sit. IDEM.

Τὸ γένος] Stephanus ergo hæc vocabula ad τῆς ἀγχιστείας referebat, cum iisque copulata volebat. id quod ex illa, qua usus est, h. l. interpungendi ratione constat. Videtur tamen potius ad καθ' ὅ τι τῆς ἀγχ. subaudi debere μέρος, et ad τὸ γένος, κατά. qua parte propinquitatis attingat Hagniam, ratione consanguinitatis. IDEM.

Ταύτην τ. ε. π. τ. νόμους] Hic videtur πεποιημένω deesse, ut dativus hic cum πειθομένους αὐτῷ cohæreat. IDEM.

ἀγχιστείαν καὶ ὅτι τούτοις οὐδὲν προσήκει τῆς κληρονομίας.

γ΄. Ἐγὼ γὰρ καὶ Ἀγνίας, ὦ ἄνδρες, καὶ Εὐβουλίδης καὶ Στρατοκλῆς καὶ Στράτιος ὁ τῆς Ἀγνίου μητρὸς ἀδελφὸς ἐξ ἀνεψιῶν ἐσμὲν γεγονότες· καὶ γὰρ οἱ πατέρες ἡμῶν ἦσαν ἀνεψιοὶ ἐκ πατραδέλφων. Ἀγνίας οὖν, ὅτε ἐκπλεῖν παρεσκευάζετο πρεσβεύσων ἐπὶ ταύτας τὰς πράξεις αἰ τῇ πόλει συμφερόντως εἶχον, οὐκ ἐφ' ἡμῖν τοῖς ἐγγύτατα γένους, εἴ τι πάθοι, τὰ ὄντα κατέλιπεν, ἀλλ' ἐποιήσατο θυγατέρα 275
αὐτοῦ ἀδελφιδῆν· εἰ δέ τι καὶ αὐτὴ πάθοι, Γλαύκωνι τὰ ὄντα ἐδίδου, ἀδελφῷ ὄντι ὁμομητρίῳ· καὶ ταῦτ' ἐν διαθήκαις ἐνέγραψε. χρόνων δὲ διαγενομένων μετὰ ταῦτα τελευτᾷ μὲν Εὐβουλίδης, τελευτᾷ δ' ἡ θυγάτηρ ἣν ἐποιήσατο Ἀγνίας, λαμβάνει δὲ τὸν κλῆρον Γλαύκων κατὰ τὴν διαθήκην. ἡμεῖς δ' οὐ πώποτ' ἠξιώσαμεν ἀμφισβητῆσαι πρὸς τὰς ἐκείνου διαθήκας, ἀλλ' ᾠόμεθα δεῖν περὶ τῶν αὐτοῦ τὴν ἐκείνου γνώμην εἶναι κυρίαν, καὶ τούτοις ἐνεμένομεν. ἡ δ' Εὐβουλίδου θυγάτηρ μετὰ τῶν αὐτῇ συμπραττόντων λαγχάνει τοῦ κλήρου, καὶ λαμβάνει νικήσασα τοὺς κατὰ [1] τὴν διαθήκην ἀμφισβητήσαντας, ἔξω μὲν οὖσα τῆς ἀγχιστείας, ἐλπίσασα δ' — ὡς ἔοικεν — ἡμᾶς πρὸς αὐτὴν οὐκ ἀντιδικήσειν, ὅτι οὐδὲ πρὸς τὰς διαθήκας ἠμφισβητήσαμεν. ἡμεῖς δὲ, ἐγὼ καὶ Στράτιος καὶ Στρατοκλῆς, ἐπειδὴ τοῖς ἐγγύτατα γένους ἐγεγένητο ἐπίδικος ὁ κλῆρος, παρεσκευάζοντο ἅπαντες λαγχάνειν· πρὶν δὲ γενέσθαι τὰς λήξεις τῶν δικῶν ἡμῖν, τελευτᾷ μὲν ὁ Στράτιος, τελευτᾷ δ' ὁ Στρατοκλῆς, λείπομαι δ' ἐγὼ μόνος τοῦ πρὸς πατρὸς ὢν ἀνεψιοῦ παῖς, ᾧ μόνῳ 276
κατὰ τοὺς νόμους ἐγίνετο ἡ κληρονομία, πάντων ἤδη τῶν ἄλλων ἐκλελοιπότων, οἳ ταύτῃ [2] μοι τῇ συγγενείᾳ προσήκοντες ἐτύγχανον. τῷ δὲ γνώσεσθε τοῦθ', ὅτι ἐμοὶ μὲν ἀγ-

[1] τὴν om. [2] μὲν

Ἐκ τούτων γνώσεσθε] Assentior Stephano sic emendanti: ἐκ τούτων γὰρ γνώσ. Idem.

Θυγάτηρ] Scil. Phylomache, causam agens an. 4. Ol. civ. sub archontem Nicophemum. Cf. Demosth. Macartat. et Ionesii Commentarium in Isæum.

Οὖσα] Sic dedi de meo pro vulgari οὖσαν. Accedit ad me consensus Taylori, cujus hæc est postrema ad Isæum annotatio. Reisk.

Παρεσκευάζοντο] Imo vero παρεσκευαζόμεθα. Idem.

Τοῦ] Videtur τετελευτηκότος addendum esse. Hagnias designatur. Idem.

Ταύτῃ μὲν] Num ταύτῃ ἡμῖν. Idem.

Τῷ] Hic loci interrogat, idemque valet atque τίνι, quanam re? Idem.

χιστεύειν, τοῖς δ' ἐξ ἐκείνων γεγονόσιν οὐκ ἦν, ἐν οἷς οὗτος ὁ παῖς ἦν; αὐτὸς ὁ νόμος δηλώσει. τὸ μὲν γὰρ εἶναι τὴν ἀγχιστείαν ἀνεψιοῖς πρὸς πατρὸς μέχρις ἀνεψιῶν παίδων ὁμολογεῖται παρὰ πάντων· εἰ δὲ μεθ' ἡμᾶς δίδωσι τοῖς ἡμε- 30
τέροις παισὶ, τοῦτ' ἤδη σκεπτέον ἐστί. λάβε οὖν αὐτοῖς τὸν νόμον, καὶ ἀναγίνωσκε.

ΝΟΜΟΣ.

Ἐὰν δὲ μηδεὶς ᾖ πρὸς πατρὸς μέχρις ἀνεψιῶν παίδων, τοὺς πρὸς μητρὸς κυρίους εἶναι κατὰ τὰ αὐτά.

ἀκούετε, ὦ ἄνδρες, ὅτι ὁ νομοθέτης οὐκ εἶπεν, ἐὰν μηδεὶς ᾖ πρὸς πατρὸς μέχρις ἀνεψιῶν παίδων, τοὺς τῶν ἀνεψιαδῶν εἶναι κυρίους, ἀλλὰ ἀπέδωκε τοῖς πρὸς μητρὸς τοῦ τελευτή- 35
σαντος, ἂν ἡμεῖς μὴ ὦμεν, τὴν κληρονομίαν ἤδη, ἀδελφοῖς καὶ ἀδελφαῖς καὶ παισὶ τοῖς τούτων καὶ τοῖς ἄλλοις, κατὰ
277 [1] ταὐτὰ [2] καθάπερ καὶ ἐξ ἀρχῆς ἦν ὑπειρημένον· τοὺς δὲ ἡμετέρους παῖδας ἔξω τῆς ἀγχιστείας ἐποίησεν. οἷς δὲ μηδ' εἰ καὶ τετελευτηκότες ὦσιν, ὡς ἐγὼ, δίδωσιν ὁ νόμος τὴν Ἁγνίου κληρονομίαν, πῶς ἐμοῦ τε ζῶντος καὶ κατὰ τοὺς νόμους ἔχοντος οἴονται αὐτοῖς εἶναι τὴν ἀγχιστείαν; οὐδαμῶς 40
δήπουθεν. ἀλλὰ μὴν εἰ τούτοις μὴ μέτεστιν, ὧν οἱ πατέρες ταὐτὸν ἐμοὶ προσῆκον, οὐδὲ τούτῳ τῷ παιδὶ γίνεται· καὶ γὰρ ὁ τούτου πατὴρ ὁμοίως ἦν ἐκείνοις συγγενής. οὐκοῦν δεινὸν, ἐμοὶ μὲν διαῤῥήδην οὕτω τῶν νόμων δεδωκότων τὴν κληρονομίαν, τούτους δ' ἔξω τῆς ἀγχιστείας πεποιηκότων, τολμᾶν τουτονὶ συκοφαντεῖν, καὶ διαγωνίσασθαι μὲν, ἡνίκ' ἐγὼ τοῦ κλήρου τὴν δίκην ἐλάγχανον, μὴ οἴεσθαι δεῖν, μηδὲ 85. 1
παρακαταβάλλειν, οὗ περὶ τῶν τοιούτων εἴ τι δίκαιον εἶχεν εἰπεῖν διαγνωσθῆναι προσῆκεν, ἐπὶ δὲ τοῦ παιδὸς ὀνό-

[1] ταῦτα [2] καθάπερ om.

ΝΟΜΟΣ] Cf. Petit. in Legg. Att. l. vi. tit. vi. §. 9. et Iac. Perizon. Dissert. ii. p. 128. in paucis (verba Wesselingii sunt) a Petito et vero deflectens.

Μὴ ὦμεν] Scil. περίλοιποι. Reisk.

Κατὰ ταῦτα καὶ] Potest fieri ut hæc dictio recte habeat. Usitatior tamen, si bene memini, dicendi ratio est: κατὰ ταὐτὰ, ὡς καὶ ἐξ ἀρχῆς. significat, quo modo successionis vel processus a legibus hereditates posteris a parte patris descendentibus assignatæ fuissent, eodem prorsus modo eas assignari descendentibus a parte matris. Idem.

Ὑπειρημένον] In hac compositione ὑπὸ significat tantundem atque πρὸ more crebro. Idem.

Τετελευτηκότες ὦσιν ὡς ἐγὼ] Imo vero τετελευτηκὼς ὦ ἐγώ. ne si ego quidem defunctus sim. me e vivis sublato. Idem.

Ταὐτὸν] Adverbialiter, pro κατὰ ταὐτὸ μέρος. pariter, eodem modo, atque ego. Idem.

Συγγενὴς] Hagniæ puta. Idem.

Τουτονὶ] Hunc adversarium meum, patronum pupilli mei. Idem.

ματι πράγματ' ἐμοὶ παρέχειν καὶ περὶ τῶν μεγίστων εἰς κίνδυνον καθιστάναι· καὶ περὶ μὲν τῶν ὁμολογουμένων εἶναι 278
τοῦ παιδὸς χρημάτων μηδ' αἰτιᾶσθαί με, μηδ' ὡς τι εἴ-
μὲν ἐκ τῶν ῥητόρων τῶν Ἀττικῶν, ὁ δὲ τὰς περὶ Κρήτην συναγήοχε μυθολογίας, ὁ δὲ πρεσβύτερος μὲν ἀμφοῖν τούτοιν, Δήλιος δὲ τὸ γένος, πεπραγματευμένος τοῦτο μὲν ἔπος τοῦτο δὲ πρᾶγμα, τέταρτος δὲ ὁ περὶ Ὁμήρου λόγον συντεθεικώς. ἐθέλω δὲ πρὸς μέρος περὶ ἑκάστου διελθεῖν, καὶ πρῶτον περὶ τοῦ ῥήτορος. ἔστι τοίνυν οὗτος κατά γε τὴν ἐμὴν δόξαν οὐδὲν ἀπολείπων τῆς Ὑπερείδου χάριτος, ὥςτ' εἰπεῖν, Καὶ νύ κεν ἢ παρέλασεν· ἐνθύμημα γὰρ φέρει πιστικὸν καὶ σχῆμα παντοδαπὸν, πιθανότητός γε μὴν οὕτως εὖ ἥκει ὥςτε παριστάνειν τοῖς ἀκούουσι μὴ ἄλλως γεγονέναι τὸ πρᾶγμα ἢ ὡς αὐτὸς λέγει. καὶ νομίσειεν ἄν τις εὐήθεις εἶναι τοὺς ὑπολαβόντας τὸν λόγον τὸν κατὰ Δημοσθένους εἶναι τούτου· πολὺ γὰρ ἀπέχει τοῦ χαρακτῆρος, ἀλλ' ὅμως τοσοῦτον σκότος ἐπιπεπόλακεν ὥςτε τοὺς μὲν ἄλλους αὐτοῦ λόγους σχεδόν που ὑπὲρ ἑξήκοντα καὶ ἑκατὸν ὄντας ἀγνοεῖν συμβέβηκε, τὸν δὲ μὴ γραφέντα ὑπ' αὐτοῦ μόνον ἐκείνου νομίζεσθαι. ἡ δὲ λέξις ἐστὶ τοῦ Δεινάρχου κυρίως ἠθικὴ, πάθος κινοῦσα, σχεδὸν τῇ πικρίᾳ μόνον καὶ τῷ τόνῳ τοῦ Δημοσθενικοῦ χαρακτῆρος λειπομένη, τοῦ δὲ πιθανοῦ καὶ κυρίου μηδὲν ἐνδέουσα.

β'. Ἐκ τούτων οὐδέν ἐστιν οὔτε ἀκριβὲς ἀλλ' οὔτε ἀληθὲς εὑρεῖν· οὔτε γὰρ γένος τἀνδρὸς οὔτε χρόνους καθ' οὓς ἦν οὔτε τόπον ἐν ᾧ διέτριψε δεδήλωκε, ὀνόματα δὲ μόνον κοινὰ καὶ περιτρέχοντα ἐσπούδασε, καὶ πλῆθος λόγων εἶπεν οὐδενὶ τῶν σύμφωνον, εἰ δεῖ δὲ τοὐναντίον. ἃ οὖν ἐγὼ αὐτὸς δι' ἐμαυτοῦ κατελαβόμην, ταῦτ' ἐστίν. Δείναρχος ὁ ῥήτωρ υἱὸς μὲν ἦν Σωστράτου, Κορίνθιος δὲ τὸ γένος· ἀφικόμενος δὲ εἰς Ἀθήνας, καθ' ὃν χρόνον ἤνθουν αἵ τε τῶν φιλοσόφων καὶ ῥητόρων διατρι-

Δήλιος] Perperam in exemplari [h. e. editione P. Victorii Tornesiana] scriptum δῆμος. SYLBURG.

Πεπραγματευμένος etc.] Hæc non intelligo. Latinus interpres reddidit, *qui et poeta fuit, et dux egregius.* Num pro πρᾶγμα leg. est *σύγγραμμα. et carminis auctor, et historiæ.* REISK.

Καὶ νύ κεν] Alludit ad Homericum illud, Iliad. φ. καὶ νύ κεν ἢ παρέλασσεν ἢ ἀμφήριστον ἔθηκεν: quod de Platone quoque usurpavit supra 17, 45. SYLBURG.

Γε μὴν] Dedi auctore Sylburgio, pro vulgari τε μὴν. REISK.

Τοσούτους σκοποὺς ἐπιπεπόληκεν] Legendum videtur, *τοσοῦτον οὗτος ἐπιπεπόλακεν, usque adeo hæc eminuit oratio:* et v. 18. passivo fine *ἀγνοεῖσθαι, ignorari.* SYLBURG. Ego e vitiosæ vulgatæ ruderibus effeci τοσοῦτον σκότος ἐπιπεπόλακεν, ab ἐπιπολάζειν. REISK.

Ἀγνοεῖν] Recte admonet Sylburgius, leg. esse ἀγνοεῖσθαι in passivo. IDEM.

Κυρίου] Malim καιρίου. IDEM.

Οὔτε ἀκριβὲς etc.] Fort. leg. ἐκ τούτων οὐδέν ἐστιν οὔτ' ἀκριβὲς, οὔτε κομψὸν, ἀλλ' οὐδ' ἀληθές. *non solum nil exasciatum, neque exquisitum, sed ne verum quidem.* ἀλλὰ subjicit, in præmissis οὐ μόνον esse subaudiendum. IDEM.

Οὐδενὶ τῶν —] Sententia talem quampiam mutilati hujus loci scripturam postulat: οὐδενὶ τῶν πρότερον (vel τῶν δοκίμων, τῶν πιθανῶν) σύμφωνον. εἰ δεῖ δὲ τἀληθῆ λέγειν, καὶ τοὐναντίον. vel ἤδη δὲ καὶ τοὐναντίον. SYLBURG. Pro εἰ δὲ malebat Casaubonus ἔδει δὲ, subaud. ποιεῖν. mihi videtur locus sic posse sarciri: οὐδενὶ τῶν ὄντων σύμφωνον· εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, πᾶν τοὐναντίον, scil. τοῖς οὖσι. REISK.

βαὶ, Θεοφράστῳ τε συνεγένετο καὶ Δημητρίῳ τῷ Φαληρεῖ· εὐφυὴς δὲ περὶ τοὺς πολιτικοὺς λόγους γενόμενος, ἀκμαζόντων ἔτι τῶν περὶ Δημοσθένην, ἤρξατο λόγους γράφειν καὶ προήει κατὰ μικρὸν εἰς δόξαν· μάλιστα δὲ ἤκμασε μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν, Δημοσθένους μὲν καὶ τῶν ἄλλων ῥητόρων φυγαῖς ἀϊδίοις καὶ θανάτοις περιπεσόντων, οὐδενὸς δ' ὑπολειπομένου μετὰ τοὺς ἄνδρας ἀξίου λόγου. καὶ διετέλεσεν ἐτῶν πέντε καὶ δέκα χρόνον λόγους συγγράφων τοῖς βουλομένοις, ἕως Κάσσανδρος τὴν πόλιν κατέσχεν· ἐπὶ δὲ Ἀναξικράτους ἄρχοντος, ἐφ' οὗ κατέλυσαν τὴν ἐν τῇ Μουνυχίᾳ φρουρὰν ὑπὸ Κασσάνδρου κατασταθεῖσαν οἱ περὶ Ἀντίγονον καὶ Δημήτριον βασιλεῖς, αἰτίαν ἔχων ἅμα τοῖς ἐπιφανεστάτοις Ἀθηναίοις, καίτοι ξένος αὐτὸς ὤν, καταλῦσαι τὸν δῆμον, ὁρῶν ἠρεθισμένους τοὺς Ἀθηναίους· καὶ μάλιστα τῷ πλουτεῖν ἑαυτὸν, ὑφορώμενος μὴ διὰ τοῦτο πάθῃ τι δεινὸν, εἰσελθεῖν μὲν εἰς δικαστήριον οὐχ ὑπέμεινεν, ἐξελθὼν δὲ τῆς πόλεως καὶ ἐλθὼν εἰς Χαλκίδα τὴν ἐν Εὐβοίᾳ τὸν ἀπ' Ἀναξικράτους χρόνον ἕως Φιλίππου πεντεκαιδεκαετῆ γενόμενον ἐκεῖ διέτριψεν, εἴ τις αὐτῷ γένοιτο διὰ Θεοφράστου καὶ τῶν ἄλλων φίλων κάθοδος, περιμένων.

γ'. Συγχωρήσαντος δὲ τοῦ βασιλέως μετ' ἄλλων φυγάδων κἀκείνῳ κατελθεῖν, ἀφικόμενος εἰς Ἀθήνας καὶ παρ' ἑνὶ τῶν φίλων Προξένῳ καταχθεὶς χρυσίον ἀπολλύει, γηραιὸς ὢν ἤδη καὶ τὰς ὄψεις ἀσθενής. ὀλιγώρως δ' ἔχοντος τοῦ Προξένου πρὸς τὴν ζήτησιν, δίκην ἔλαχεν αὐτῷ περὶ τῶν χρημάτων, αὐτὸς οὐδεπώποτε πρότερον εἰς δικαστήριον παρελθών. οὗτος μὲν ὁ βίος τἀνδρός. ἀποδείκνυται δ' ἕκαστον αὐτῶν, ἔκ τε τῶν ἱστοριῶν τῶν Φιλοχόρου, καὶ ἐξ ὧν αὐτὸς περὶ ἑαυτοῦ συνέγραψεν ἐν τῷ λόγῳ τῷ κατὰ Προξένου, ὃς εἴρηται μὲν μετὰ τὴν φυγὴν, προσκειμένην δ' ἔχει τὴν γραφὴν ταύτην· Δείναρχος Σωστράτου Κορίνθιος Προξένῳ ᾧ σύνειμι βλάβης ταλάντων δύο. Ἔβλαψέ με Πρόξενος, ὑποδεξάμενος εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ τὴν ἐν ἀγρῷ ὅτε πεφευγὼς Ἀθήνηθεν κατῄειν ἐκ Χαλκίδος, χρυσίου μὲν στατῆρας ὀγδοήκοντα καὶ διακοσίους καὶ πέντε, οὓς ἐκόμισα ἐκ Χαλκίδος, εἰδότος Προξένου, καὶ εἰσῆλθον ἔχων εἰς τὴν οἰκίαν αὐτοῦ,

Μετὰ τοῦ ἀνδρὸς] Procul dubio legendum IDEM. *μετὰ τοὺς ἄνδρας. post illos viros.* SYLBURG.

Πεντεκαίδεκα ἔτη] Forsan rectius conjuncte πεντεκαιδεκαετῆ, vel πεντεκαιδεκέτη. IDEM. Dedi prout ille volebat, et in Bodleiano esse testatur Hudsonus. Nescio præterea quoque, an Dionysius sic dederit: καὶ αὐτὸν πεντεκαιδεκαετῆ γενόμενον. *quod ipsum quoque tempus, pariter atque illud prius, quindecennale fuit.* REISK.

Τοῦ βασιλέως] Demetrium Poliorcetam designat. IDEM.

Προσκειμένην] Recte sic, si formula hæc accusationis calci orationis subjecta fuit. verum probabilius est præmissam orationi fuisse, velut fundamentum, cui ædificium superstruitur. L. ergo προκειμ.

Βλάβης] Integre sic foret dictum: βλάβης δίκην εἴληχα, δύο ταλάντων ἀξίαν, aut δύο ταλάντων τίμημα ἐπιγεγραμμένος. IDEM.

Ἔβλαψέ με] Cohæret cum hoc verbo ἐπιβουλεύσας τούτοις, id est, διὰ τοῦ ἐπιβουλεῦσαι τούτοις. IDEM.

Χαλκίδος] Aut deest post hoc nomen, ἔχων. aut dicendum est, orationem esse ἀνακόλουθον, seu dissolutam et fluxam. Nam accusativi στατῆρας et ἀργυρώματα natabunt, fulcro destituta. Aliam rationem iniit Sylburg. IDEM.

Καὶ εἰσῆλθον ἔχων] Si transpositione facta, καὶ in præcedentibus ante χρυσίου collocetur, et ἔχων ante εἰσῆλθον, structura et sententia erit planior. SYLBURG.

ἀργυρώματα δὲ οὐκ ἐλάττω εἴκοσι μνῶν ἄξια, ἐπιβουλεύσας τούτοις· οὐ μὴν ἀλλὰ καὶ ἐν αὐτῷ τῷ λόγῳ, εὐθὺς μὲν ἐν ἀρχῇ περὶ τοῦ μηδεμίαν δίκην πρότερον εἰσελθεῖν δεδήλωκεν, ἐν δὲ τοῖς ὕστερον μετὰ ταῦτα, πρῶτον μὲν ἐν τῷ προοιμίῳ τὴν βλάβην τὴν γενομένην αὐτῷ διὰ Προξένου δεδήλωκεν, ἐν δὲ τοῖς ἑξῆς περί τε τῆς φυγῆς καὶ τῶν ἄλλων διεξέρχεται πάντων, ἐξ ὧν γίγνεται φανερὰ τὰ προειρημένα· καὶ ἔτι πρὸς τούτοις, ὅτι ξένος διέμεινε καὶ γέρων ἤδη ὢν εἶπε τὸν λόγον, ἐξ ὧν ἐπὶ τῷ τέλει τῆς δίκης εἴρηκε. ταῦτα μὲν αὐτὸς ὁ Δείναρχος περὶ ἑαυτοῦ· Φιλόχορος δὲ ἐν ταῖς Ἀττικαῖς ἱστορίαις περί τε τῆς φυγῆς τῶν καταλυσάντων τὸν δῆμον καὶ περὶ τῆς καθόδου πάλιν οὕτως λέγει· Τοῦ γὰρ Ἀναξικράτους ἄρχοντος, εὐθὺ μὲν ἡ τῶν Μεγαρέων πόλις ἑάλω· ὁ δὲ Δημήτριος ὁ κατελθὼν ἐκ τῶν Μεγάρων κατεσκευάζετο τὰ πρὸς τὴν Μουνυχίαν, καὶ τὰ τείχη κατασκάψας ἀπέδωκε τῷ δήμῳ. ὕστερον δὲ εἰσηγγέλθησαν πολλοὶ πολιτῶν, ἐν οἷς καὶ Δημήτριος ὁ Φαληρεύς· τῶν δὲ εἰσαγγελθέντων τοὺς μὲν οὐχ ὑπομείναντας τὴν κρίσιν ἐνεθανάτωσαν τῇ ψήφῳ, τοὺς δ' ὑπακούσαντας ἀπέλυσάν. ταῦτα μὲν οὖν τῆς ὀγδόης. ἐν δὲ τῇ ἐνάτῃ φησί· Τοῦ δ' ἐνιαυτοῦ τουδὶ διελθόντος, ἑτέρου δ' εἰσιόντος, ἐν ἀκροπόλει σημεῖον ἐγένετο τοιοῦτο· Κύων εἰς τὸν τῆς Πολιάδος νεὼν εἰσελθοῦσα καὶ δῦσα εἰς τὸ Πανδρόσιον, ἐπὶ τὸν βωμὸν ἀναβᾶσα τοῦ Ἑρκίου Διὸς τὸν ὑπὸ τῇ ἐλαίᾳ κατέκειτο. πάτριον δ' ἔστι τοῖς Ἀθηναίοις κύνα μὴ ἀναβαίνειν εἰς ἀκρόπολιν. περὶ τὸν αὐτὸν δὲ χρόνον καὶ ἐν τῷ ἱερῷ μεθ' ἡμέραν, ἡλίου τ' ἐξέχοντος καὶ οὔσης αἰθρίας, ἀστὴρ ἐπί τινα

Ἐλάττω] Lege ἔλαττον adverbialiter. Reisk.

Πρότερον] E præcedentibus repetitum videtur: ideoque expungendum. Sylburg. Ego pro vulgari πρότερον arbitratu meo dedi ὕστερον. Redundantia est ὕστερον μετὰ ταῦτα, sed ea Græcis haud insolita. Reisk.

Τὸν λόγον] Post τὸν λόγον e præcedentibus subaudiendum φανερὸν γίνεται. Sylburg. Ego suspicor post τὸν λόγον excidisse, μάλιστα δέ, scil. γίγνεται ταῦτα φανερά. Reisk.

Ταῦτα] Malim καὶ ταῦτα. facile potuit καὶ elidi in concursu cum extrema syllaba vocabuli εἴρηκε. Idem.

Αὐτῆς τῶν καλεσάντων] Vera lectio esse videtur: τῆς φυγῆς τῶν καταλυσάντων τὸν δῆμον. ut colligitur ex p. 260. 12. Sylburg.

Λέγειν] Multum abit hæc Philochori traditio a Diodorea p. 439. tomi secundi. Reisk.

Ὁ κατελθὼν] Aut detrahendus est articulus, aut interponendum πολιορκητής. nam de eo hic agitur. Idem.

Τὰ πρὸς τὴν Μουνυχίαν] Id est, τὰ πρὸς πολιορκίαν τῆς Μουνυχίας. Idem.

Ἀπέδωκε τῷ δήμῳ] Quid? num αὐτήν? facillimum foret hoc subaudire. verum quid proderat populo arx diruta? num ergo τὴν ἐλευθερίαν addi debet, aut τὴν πολιτείαν? Idem.

Τῆς ὀγδόης] In margine Bodleiani testatur Hudsonus hæc legi: ταῦτα μὲν ἐπὶ τῆς ὀγδόης. perinde est, utrum optes. eadem est in utraque lectione sententia. ἐπὶ tantundem valet, atque ἐν. vel l. ἐκ. Subauditur in vulgata ἱστορίας τοῦ Φιλοχόρου ῥῆσίς ἐστι. Idem.

Τοῦ διελθόντος] Rectius τούτου διελθόντος, vel τουδὶ ἐξελθόντος aut παρελθόντος. Sylburg. Ego arbitratu meo dedi τουδὶ διελθόντος. Paulo post malim μὴ ἐᾶν ἀναβαίνειν. Reisk.

Ἐν τῷ ἱερῷ] Num ἐν τῷ αὐτῷ ἱερῷ. Sed cur in templo Minervæ Poliadis solummodo, non item in reliqua urbe, fuisset stella de die visa? Num leg. ἐν τῷ Γεραίστῳ. ut a Geræsto portentum hoc Athenas fuerit nuntiatum? An Ἱερῷ majore prima litera est exarandum, ut significet portum celebrem in Ponto? Idem.

χρόνον ἐγένετο ἐκφανής. ἡμεῖς δ', ἐρωτηθέντες ὑπέρ τε τοῦ σημείου καὶ τοῦ φαντάσματος εἰς ὃ φέρει, φυγάδων κάθοδον ἔφαμεν προσημαίνειν ἀμφότερα· καὶ ταύτην οὐκ ἐκ μεταβολῆς πραγμάτων ἐσομένην, ἀλλ' ἐν τῇ καθεστώσῃ πολιτείᾳ· καὶ τὴν κρίσιν ἐπιτελεσθῆναι συνέβη.

δ'. Προειρημένων δὴ τούτων, ἓν ἔτι λείπεται καὶ ἀναγκαιότατον, τὴν ἡλικίαν αὐτοῦ διορίσαι, ἵνα καὶ περὶ τῶν λόγων τῶν τε γνησίων αὐτοῦ καὶ μὴ σαφές τι ἔχωμεν λέγειν. τίθεμεν δὴ αὐτὸν ἑβδομηκοστὸν ἔχοντα ἔτος ἀπὸ τῆς φυγῆς κατεληλυθέναι, ὡς καὶ αὐτός φησι γέροντα αὐτὸν ἀποκαλῶν· ἀφ' οὗ χρόνου καὶ καλεῖν τοὺς ἐν τῇ ἡλικίᾳ ταύτῃ μάλιστα εἰώθαμεν. ὑποκειμένων δὲ τούτων ὁλοσχερεῖ λογισμῷ — τὸ γὰρ ἀκριβὲς οὐκ ἔχομεν —, εἴη ἂν κατὰ Νικόφημον ἄρχοντα γεγονώς. εἰ δέ τις ἢ πρεσβύτερον ἢ νεώτερον τῶν εἰρημένων χρόνων αὐτὸν εἶναί φησι, πρὸς τῷ μηδὲν ὑγιὲς λέγειν καὶ λόγους οὗ πολλοὺς ἀφέληται, μᾶλλον δὲ πάντας πλὴν πέντε ἢ ἕξ, τῶν μὲν πρεσβύτερον αὐτόν, τῶν δὲ νεώτερον εἶναι λέγων. οὐ μὴν ἀλλὰ καὶ ἄρξασθαι λέγοντες αὐτὸν λόγους συγγράφειν ἀπὸ τοῦ πέμπτου ἢ ἕκτου πρὸς τῷ εἰκοστῷ ἔτους οὐκ ἂν ἁμάρτοιμεν, ἄλλως τε καὶ τῶν περὶ Δημοσθένη τότε ἀκμαζόντων. ἕκτος δὲ καὶ εἰκοστός ἐστιν ἀπὸ Νικοφήμου Πυθόδημος. ὥςθ' ὅσους εὑρίσκομεν πρεσβυτέρους τούτου τοῦ ἄρχοντος φερομένους εἰς αὐτὸν λόγους ἐν τοῖς οὖσιν, ὡς εἴθισται, ἀπιστοίημεν ἂν εἰκότως. ἔτι δὲ καὶ τοὺς ἀπ' Ἀναξικράτους ἕως Φιλίππου τετελεσμένους ἀγῶνας ὁμοίως ἐν τοῖς ψευδέσιν ἀναγράφοιμεν ἄν· οὐ γὰρ εἰς Χαλκίδα ἄν τινες ἔπλεον λόγων χάριν, ἢ ἰδίων ἢ δημοσίων· οὐ γὰρ τέλεον ἠπόρουν οὕτω λόγων.

ε'. Ἐπεὶ δὲ ὁ χρόνος τἀνδρὸς, ὡς οἷόν τε ἀκριβέστατα, εὕρηται, πρὸς ὃν καὶ τῶν λόγων τούς τε γνησίους καὶ μὴ διακρινοῦμεν· καιρὸς ἤδη καὶ περὶ τοῦ χαρακτῆρος αὐτοῦ λέγειν. ἔστι δὲ

Φαντάσματος] Φάντασμα pro φάσμα notatum etiam in antiq. Rom. 260, 16. Philochorum autem μάντιν et ἱεροσκόπον fuisse, atque inter alia scripsisse περὶ μαντικῆς, περὶ θυσιῶν, περὶ μυστηρίων τῶν Ἀθήνησι, testatur etiam Suidas. SYLBURG.

Καὶ μὴ] Malim τῶν interponi, et sic quoque versu pen. καὶ τοὺς μή. REISK.

Καὶ καλεῖν] Interpone γέροντας. IDEM.

Οὐκ ἔχομεν] Potest ferri. videtur tamen potius addendum esse εἰπεῖν vel simile quid. IDEM.

Φησὶ] Malim φήσῃ in conjunct. aor. 1. IDEM.

Ἀφέληται] Forsan rectius ἀφελεῖται. SYLBURG. Non improbabiliter id quidem. videtur tamen vulgata quoque defendi quodammodo posse, subaudiendo, id quod in talibus subaudiri debet, ὅρα μὴ — *vereor ne — vide ne — nescio an — ei erepturus sit orationes multas*, quæ ejus revera sunt. Pro αὗ lege ἂν αὐτόν. REISK.

Εὑρίσκομεν] Malim aut εὑρίσκοιμεν, aut εὑρίσκωμεν. IDEM.

Τοὺς φερομένους] Sententia talem quampiam lectionem requirit: τοὺς φερομένους εἰς αὐτὸν λόγους, ἐν τοῖς γνησίοις εἶναι ἀπιστοίημεν ἂν εἰκ. et seq. v. ἀπ' Ἀναξικρ. *ab Anaxicrate:* ut pag. 260. v. 16. SYLBURG. Articulum τοὺς, sententiæ et linguæ rationi officientem, arbitratu meo expunxi. REISK.

Οὖσιν εἴθισται] Dedi de meo: οὖσιν, ᾗ καὶ εἴθισται, scil. γίγνεσθαι. orationes falso ei contributas in numero earum, quæ revera ejus sunt, ut solet fieri, non in Dinarcho solum, sed in aliis quoque omnibus oratoribus. IDEM.

Τέλεον] Adverbialiter, pro τελέως, ὅλως, ὁλοσχερῶς. ad ἠπόρουν subauditur Ἀθήνησι. *non enim profecto ipsis ibi*, Athenis, *deerant prorsus orationes*, h. e. oratores, qui orationibus conscribendis mercedes mereri vellent. IDEM.

δυσόριστον. οὐδὲν γὰρ οὔτε κοινὸν οὔτ' ἴδιον ἔσχεν οὔτ' ἐν τοῖς ἰδίοις οὔτ' ἐν τοῖς δημοσίοις ἀγῶσιν· ἀλλὰ καὶ τοῖς Λυσίου παραπλήσιος ἔστιν ὅπου γίνεται καὶ τοῖς Ὑπερείδου καὶ τοῖς Δημοσθένους λόγοις. καὶ τούτων πολλὰ δή τις ἔχει παραδείγματα ἐκθέσθαι· τοῦ μὲν Λυσιακοῦ χαρακτῆρος ἔν τε τῷ περὶ Μνησικλέους λόγῳ καὶ ἐν τῷ κατὰ Λυσικράτους ὑπὲρ Νικομάχου καὶ ἐν ἄλλοις πολλοῖς, τοῦ δ' Ὑπερείδου, ταῖς τε οἰκονομίαις ἀκριβεστέρου καὶ ταῖς κατασκευαῖς γενναιοτέρου πως ὄντος τῶν Λυσιακῶν, ἐν πλείοσι μὲν ἢ τριάκοντα Δεινάρχου λόγοις παραδείγματα εὑρεῖν ἐστὶν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῷ περὶ τῆς Ἀγάθωνος διαμαρτυρίας. οὐ μὴν ἀλλὰ καὶ τοῦ Δημοσθενικοῦ χαρακτῆρος, ὃν μάλιστα ἐμιμήσατο, πολὺ πλείω δύναιτ' ἄν τις εἰπεῖν, ὡς καὶ ἐν τῷ κατὰ Πολυεύκτου· προοιμιάζεται γὰρ ὁμοίως ἐκείνῳ καὶ δι' ὅλου τοῦ λόγου παραπλήσιος μεμένηκε.

σ'. Πῶς οὖν ἄν τις δυνηθείη τοὺς γνησίους αὐτῷ γνωρίζειν λόγους; πρῶτον μὲν, εἰ ἐπίσταιτο τοὺς τῶν ἄλλων χαρακτῆρας· ἔπειτα τοὺς μὲν Λυσίου παραπλησίους λόγους τούτῳ προσφέροι, τοὺς δ' Ὑπερείδου δόξαντας εἶναί τισι Δεινάρχου λόγους, μακρὰ ταῖς ἐπιγραφαῖς τῶν βιβλίων χαίρειν εἰπὼν, τοὺς δὲ τῷ Δημοσθενικῷ χαρακτῆρι προσεληλυθότας, ὡς οἷόν τε τούτου τοῦ ἀνδρὸς διαβεβαιοῖτο εἶναι. ἔστι μὲν γὰρ τῶν ἄλλων ῥητόρων, οὓς μεμίμηται, μεγίστη γνῶσις ἡ ὁμοειδία τῶν λόγων. — αὐτίκα ὁ μὲν Λυσίας ἔν τε τοῖς ἰδίοις καὶ τοῖς δημοσίοις ἀγῶσιν αὐτὸς αὑτῷ ὁμολογούμενός ἐστιν, εἴς τε τὸν λεκτικὸν τρόπον καὶ τὴν τῶν ὀνομάτων σαφήνειαν καὶ σύνθεσιν αὐτοφυῆ μὲν καὶ λείαν εἶναι δοκοῦσαν, παντὸς δὲ λόγου κατὰ τὴν ἡδονὴν διαφέρουσαν· ὁ δ' Ὑπερείδης κατὰ μὲν τὴν ἐκλογὴν τῶν ὀνομάτων ἡττᾶται Λυσίου, κατὰ δὲ τὸν πραγματικὸν τρόπον διαφέρει, διηγεῖται δὲ πολλαχῶς, ποτὲ μὲν κατὰ φύσιν, ποτὲ δὲ ἀπὸ τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν πο-

Δυσόριστον] Potest ferri, subaudiendo χρῆμα, vel τι. malim tamen ut melius et convenientius, δυσόριστος. IDEM.

Ἔσχεν] Num ἔχει. verum non satis intelligo, qui dicatur Dinarchus, neque vulgare quidquam, aut cum aliis commune, neque proprium ipsi habuisse. Ergone nihil habuit oratoris? Paulo post l. ἔχοι. IDEM.

Περὶ Μνησικλέους] Num κατὰ Μν. IDEM.

Κατὰ Λυσικράτους] Pro Λυσικράτους legitur infra Νικοκράτους, 118, 12. SYLBURG.

Ὑπερείδου] Malim in adjectivo Ὑπερειδείου. ut modo præcessit Λυσιακοῦ, et statim insequitur Δημοσθενικοῦ. REISK.

Τῶν Λυσιακῶν] Subaudi οἰκονομιῶν et κατασκευῶν. IDEM.

Αὐτῷ] Rectius αὐτοῦ significatione scilicet possessiva. SYLBURG. Quanquam fateor αὐτοῦ planius esse, altero tamen haud offendor, quod ita est elegans et exquisitum, ut usu satis tritum sit. Possit quoque legi αὐτῶν. REISK.

Προσφέροι] Insolentius dictum videtur. malim προσνέμοι. IDEM.

Δεινάρχου λόγους] Post Δεινάρχου λόγους addendum videtur φαίη εἶναι vel simile quid. Si, quæ ab Hyperide profectæ nonnullis visæ sunt orationes, eas fidenter aiat Dinarchi esse, nil curans titulos librorum, Hyperidi eas tribuentium. Aut pro λόγους subjice λέγοι. IDEM.

Διαβεβαιοῖτο εἶναι] Subaudi, si quas inveniat in codicibus quibusdam Demostheni tributas orationes, quas ejus esse certo non constet. IDEM.

Τρόπον] Malim πόπον. v. paulo post v. pen. IDEM.

Παντὸς δὲ λόγου] Hic videtur εἰς τἀκριβέστατον κατεσκευασμένου, aut similis sententia, deesse. *præstantem orationi cuique summa cum ornatus et polituræ diligentia conscriptæ.* IDEM.

Πραγματικὸν τρόπον] Affert Hudsonus e margine Bodleiani, ἴσως πρ. τόπον. quod non displicet. IDEM.

Διηγεῖται δὲ] Pro particula malim γάρ. IDEM.

ρευόμενος, πιστοῦται δ' οὐ κατ' ἐνθύμημα μόνον ἀλλὰ καὶ κατ' ἐπιχείρημα πλατύνων· ὁ δὲ τούτους τε καὶ τοὺς ἄλλους πάντας ὑπερβαλλόμενος Δημοσθένης, ἅπαντα μιμησάμενος καὶ πάντων τὰ κάλλιστα ἐκλεξάμενος, δῆλος μὲν καὶ τῇ φωνῇ μόνον, δῆλος δὲ καὶ τῷ καθ' ἕνα ἕκαστον λόγον πρέποντι, οὐ μὴν ἀλλὰ καὶ τῇ συνθέσει καὶ τῷ τῶν σχηματισμῶν ἀγκύλῳ καὶ τῇ οἰκονομίᾳ καὶ τῷ πάθει, καὶ τὸ μέγιστον τῇ δεινότητι. — ὁ δὲ Δείναρχος, οὔτε ὅμοιος ἐν ἅπασίν ἐστιν οὔτ' ἰδίου τινὸς εὑρετής, δι' οὗ γνώσεταί τις αὐτὸν ἀκριβῶς. ἢ τοῦτον τὸν τρόπον· πολὺ γὰρ ἐμφαίνει μιμήσεις τε καὶ αὐτός, ὥςπερ τῶν λόγων ἀρχέτυπον διαφόρων, ὡς καὶ ἐπὶ τῶν Ἰσοκράτους μαθητῶν καὶ αὐτοῦ τοῦ Ἰσοκράτους.

ζ'. Ἔστωσαν δή τινες ἐπιγραφόμενοι λόγοι καὶ ὄντες Δεινάρχου, πολλὴν ἔχοντες πρὸς τὰ Λυσιακὰ ὁμοιότητα. τούτων ὁ βουλόμενος ποιεῖσθαι τὴν διάγνωσιν, πρῶτον μὲν τὴν ἰδιότητα τοῦ ἀνδρὸς ἐκείνου θεωρείτω. ἔπειτ', ἐὰν μὲν ἀρετήν τε καὶ χάριν τοῖς λόγοις ἐπανθοῦσαν ἴδοι καὶ τὴν τῶν ὀνομάτων ἐκλογὴν ἐνοῦσαν καὶ τὸ μηδὲν ἄψυχον εἶναι τῶν λεγομένων, θαρρῶν λεγέτω τούτους Λυσίου· ἐὰν δὲ μήτε τὸ χάριεν ὅμοιον εὑρίσκῃ μήτε τὸ πιθανὸν καὶ τὸ τῶν ὀνομάτων ἀκριβὲς μήτε τὸ τῆς ἀληθείας ἁπτόμενον, ἐν τοῖς Δεινάρχου λόγοις αὐτοὺς ἐάτω. ὁμοίως καὶ ἐπὶ τῶν Ὑπερείδου. ἐὰν τῆς μὲν λέξεως τὸ ἰσχυρὸν, τῆς δὲ συνθέσεως τὸ ἁπλοῦν, τῶν δὲ πραγμάτων τὸ εὔκαιρον, τῆς δὲ κατασκευῆς τὸ μὴ τραγικὸν μηδὲ ὀγκῶδες ἔχῃ — ταῦτα γὰρ μέγιστα

Ἅπαντα μιμησάμενος] Num ἀπάντων ἅπαντα μιμ. qui omnes eo superavit, quod nullam non laudem nullius non oratoris imitatione referre contendit. ὑπερβαλλόμενος μιμησάμενος et ἐκλεξάμενος idem est atque si dixisset: ὑπερβ. ἐν τῷ μιμήσασθαι καὶ ἐκλέξασθαι. Idem.

Ὅμοιος] Addendum videtur ἑαυτῷ, aut τούτων τῶν ἀνδρῶν τινί. *horum oratorum cuiquam.* Aut ἐν delendum. Idem.

Ἢ τοῦτον τὸν τρόπον] Paret hic nonnulla ad sententiam deesse. e. c. ὥστ' οὐκ ἄλλως δυνατὸν τὸν Δείναρχον ἀνευρίσκειν, ἢ τοῦτον τὸν τρόπον, scil. ὃν εἶπον, τοῦ ἐξελέγχειν τὴν ἀναμαλίαν καὶ ἀνομοιότητα αὐτοῦ. quo fit ut alio nullo modo, quam hoc, quem demonstravi, Dinarchus indagari et ex involucris quasi suis evolvi possit, si scilicet ejus inconstantia et dissimilitudo secum notetur. Idem.

Πολὺ γὰρ — διαφόρων] Pro postrema voce testatur Hudsonus in Bodleiano esse διαφορὰν. quodsi præfertur, erit pro prima πολὺ, legendum πολλήν. Sin autem πολὺ servamus, erit in extremo sententiæ leg. τὸ διαφέρον. quod ad sententiam idem erit. Inter πολλὴν διαφορὰν et πολὺ τὸ διαφέρον nihil interest. Reliqua sic ferme videntur constituenda esse: μίμησίς τε καὶ αὐτὸ τὸ ὡσπερεὶ τῶν λόγων ἀρχέτυπον, aut μιμητής τε καὶ αὐτὸς ὁ ὡσπερεὶ τῶν λόγων ἀρχέτυπος. *multum differentiæ prodit imitator ab ipso primigenio dictionis creatore, et quasi cusore, seu multum interest inter opus imitando assimulatum et aliud primigenium.* Idem.

Μαθημάτων] Convenientius μαθητῶν. *discipulorum.* Sylburg.

Ἰσοκράτους] Post Ἰσοκράτους addendum est, sive literis expressis, sive tacita mente, ἐστὶν ἰδεῖν. *ut cernere est in Isocratis discipulis ipsoque Isocrate.* Reisk.

Ἐπιγραφόμενοι λόγοι etc.] Leg. videtur: ἔστωσαν δή τινες ἐπιγραφόμενοι μὲν Λυσίου εἶναι λόγοι, ὄντες δὲ Δεινάρχου. *sunto ergo orationes, quæ cum Lysiæ nomine inscriptæ circumferantur, reapse Dinarchi sint.* Idem.

Τοῦ ἀνδρὸς ἐκείνου] Lysiæ puta. Idem.

Λυσίου] Post Λυσίου videtur εἶναι deesse. Idem.

Ὅμοιον] Subaudi aut ἑαυτῷ διὰ πάντων, aut τῇ Λυσιακῇ χάριτι, vel ἐνταῦθα καὶ ἐν τοῖς ἀναμφισβητήτως Λυσίου οὖσι. In his dubiis orationibus, utrius sint, Lysiæne an Dinarchi, si non eadem floreat gratia, qua nitent orationes eæ, quas certo constet Lysiæ esse. Pro proximo καὶ malim μήτε. Idem.

Ἰσχυρὸν] Num ἰσχνόν. Idem.

Ἔχῃ] Subaudi τὰ γεγραμμένα, περὶ ὧν ἀμφισβητεῖται ὅτου ἐστὶ, vel *teneat*, pro *cernat*. Idem.

Μέγιστα] Pro μέγιστα procul dubio legendum μάλιστα. Sylburg. Ego vul-

ἐκείνου τοῦ ἀνδρὸς ἰδιά ἐστιν —, Ὑπερείδου λεγέτω· ἐὰν δὲ ἐνδεεστέρως ἐν αὐτοῖς τούτοις ἔχῃ, κἂν τἆλλα πάντα μὴ φαύλως ᾖ γεγραμμένα, ἐν τοῖς Δεινάρχου πάλιν ἀναγραφέτω. τὸ δ' αὐτὸ καὶ περὶ Δημοσθένους ὑπολαμβάνωμεν. ἐὰν μὲν καὶ ἡ τῆς λέξεως μεγαλοπρέπεια καὶ ἡ τῆς συνθέσεως ἐξαλλαγὴ καὶ τὸ τῶν παθῶν ἔμψυχον καὶ τὸ διὰ πάσης κεραίας δῆκον πικρὸν καὶ νοερὸν τό τε πνεῦμα καὶ ἡ δεινότης πᾶσι παρέπηται, μηθὲν ἔτι τὸ κωλύον ἔστω Δημοσθένους αὐτοὺς ἀναγράφειν· ἐὰν δ' ἐλλίπῃ τὸ ἐν ἑκάστῳ τούτων ἄκρον ἢ τὸ διὰ πάσης ἰδέας ὅμοιον, μενέτωσαν ἐν τοῖς Δεινάρχου. ὡς δὲ καθόλου εἰπεῖν, δύο τρόπους τῆς διαφορᾶς καὶ πρὸς τὰ ἀρχαῖα μιμήσεως εὕροι τις ἄν· ὧν ὁ μὲν φυσικός τε ἐστὶ καὶ ἐκ πολλῆς κατηχήσεως καὶ συστροφίας λαμβανόμενος, ὁ δὲ τούτῳ προσεχὴς ἐκ τῶν τῆς τέχνης παραγγελμάτων. περὶ μὲν οὖν τοῦ προτέρου τί ἄν τις καὶ λέγοι; περὶ δὲ τοῦ δευτέρου τί ἂν ἔχοι τις εἰπεῖν; ὅτι πᾶσι μὲν τοῖς ἀρχετύποις αὐτοφυής τις ἐπιπρέπει χάρις καὶ ὥρα, τοῖς δ' ἀπὸ τούτων κατεσκευασμένοις, κἂν ἐπ' ἄκρον μιμήσεως ἔλθωσι, πρόσεστιν ὅμως τὸ ἐπιτετηδευμένον καὶ οὐκ ἐκ φύσεως ὑπάρχον. καὶ τούτῳ τῷ παραγγέλματι, οὐ ῥήτορες μόνον ῥήτορας διακρίνουσιν, ἀλλὰ καὶ ζωγράφοι τὰ Ἀπελλοῦ καὶ τῶν ἐκεῖνον μιμησαμένων, καὶ πλάσται τὰ Πολυκλείτου, καὶ γλυφεῖς τὰ Φειδίου.

η'. Καὶ οἱ μὲν Πλάτωνα μιμεῖσθαι λέγοντες, καὶ τὸ μὲν ἀρχαῖον καὶ ὑψηλὸν καὶ εὔχαρι καὶ καλὸν οὐ δυνάμενοι λαβεῖν, διδυραμβώδη δὲ ὀνόματα καὶ φορτικὰ εἰσφέροντες, κατὰ τοῦτ' ἐλέγχονται ῥᾳδίως· οἱ δὲ Θουκυδίδην ζηλοῦν λέγοντες, καὶ τὸ μὲν εὔτονον καὶ στερεὸν καὶ δεινὸν καὶ τὰ τούτοις ὅμοια χαλεπῶς ἐκλαμβάνοντες, τοὺς δὲ σολοικοφανεῖς σχηματισμοὺς καὶ τὸ ἀσαφὲς προχειριζόμενοι, πάνυ εὐχερῶς ἀνευρίσκοιντο ἐκ τούτου τοῦ παραγγέλματος. ὥςπερ γε καὶ ἐπὶ τῶν ῥητόρων, οἱ μὲν Ὑπερείδην μιμούμενοι, διαμαρτόντες τῆς χάριτος ἐκείνης καὶ τῆς ἄλλης δυνάμεως, αὐχμηροί τινες ἐγένοντο, οἷοι γεγόνασι Ῥοδιακοὶ ῥήτορες οἱ περὶ Ἀραμένην καὶ Ἀριστοκλέα καὶ Φιλάγριον καὶ Μόλωνα· οἱ δ' Ἰσοκράτην καὶ τὰ

gatam tuebor, idem dicentem atque αἱ μέγισται ἰδιότητες. Reisk.

Ἐκείνου τοῦ ἀνδρὸς] Hyperidis puta. Idem.

Καὶ τὰ ἄλλα] Dedi de meo κἂν τἆλλα. etiamsi reliqua omnia. Idem.

Νοερὸν] Insolentia vocabuli hujusmodi in rebus me movet, ut de σφοδρὸν suspicer. Idem.

Δημοσθένους] Num ἐν τοῖς Δημοσθένους. ut versu 3. Idem.

Τῆς διαφορᾶς] Bene si habet h. l. accipi debet pro τῆς ἐξοχῆς καὶ ὑπερβολῆς τῶν ἀρχαίων πρὸς τοὺς νεωτέρους. præstantiæ veterum præ junioribus. Idem.

Εἰπεῖν ὅτι] Interponendum videtur πλήν. quid tu possis, aliud dicere, quam hoc. Idem.

Ἔλθωσι] Pro ἔλθῃ. V. hoc de schemate, neutra pluralia cum tertiis personis verborum item in plurali numero, non singulari, componendi, indices nostros in Lysiam, Isæum, et alios. Idem.

Καὶ τῶν] Malim καὶ τὰ τῶν, subaudi ἔργα. Idem.

Οἱ δὲ Θουκυδίδην] Petrus Victorius Var. lect. lib. 4. cap. 10. Dionysium hic respexisse putat ad locum Ciceronis in Oratore, quo sinistros Thucydidis imitatores corripiens, ait: "Hujus tamen nemo neque verborum, neque sententiarum gravitatem admiratur; sed cum mutila quædam et hiantia locuti sunt, quæ vel sine magistro facere potuerunt, germanos se putant esse Thucydides." Sylburg.

Ἐκείνης] Et ἐκείνης retineri potest, et ἐκείνου pro eodem admitti. Idem.

Ῥοδιακοὶ] Malim cum articulo οἱ Ῥοδ. ῥήτ. Idem.

Μόλωνα] Scil. Ἀπολλώνιον, de quo v. Meursii Rhodum l. 2. c. 10. et Comment.

Ἰσοκράτους ἀποτυπώσασθαι θελήσαντες, ὕπτιοι καὶ ψυχροὶ καὶ ἀσύστροφοι καὶ ἀναληθεῖς, οὗτοι δ᾽ εἰσὶν οἱ περὶ Τίμαιον καὶ Ψάωνα καὶ Σωσιγένην· οἱ δὲ Δημοσθένη προχειρισάμενοι καὶ τὰς ἀρετὰς τὰς ἐκείνου διώκοντες τῆς μὲν προαιρέσεως ἕνεκα ἐπηνέθησαν, οὐ μὴν ἴσχυσαν τὰ κράτιστα τῶν ἐκείνου τοῦ ῥήτορος ἔργων λαβεῖν, τούτων ἄριστον ἄν τις θείη τὸν Δείναρχον γενέσθαι, λείπεται δὲ Δημοσθένους κατὰ μὲν τὴν ἐκλογὴν τῶν ὀνομάτων τῇ δεινότητι, κατὰ δὲ τὴν σύνθεσιν τῇ ποικιλίᾳ τῶν σχημάτων καὶ τῇ ἐξαλλαγῇ, κατὰ δὲ τὴν εὕρεσιν τῶν ἐπιχειρημάτων τῷ μὴ καινὰ καὶ παράδοξα λαμβάνειν ἀλλὰ φανερὰ καὶ ἐν τῷ μέσῳ κείμενα, κατὰ δὲ τὴν οἰκονομίαν τῇ τάξει καὶ ταῖς ἐξεργασίαις τῶν ἐπιχειρημάτων καὶ ταῖς προκατασκευαῖς καὶ ταῖς ἐφόδοις καὶ τοῖς ἄλλοις τεχνικοῖς παραγγέλμασιν ἃ περὶ ταύτην ἐστὶ τὴν ἰδέαν, μάλιστα δ᾽ αὐτοῦ λείπεται τῇ συμμετρίᾳ καὶ τῷ καιρῷ πρέποντι. λέγω δὲ ταῦτα οὐκ ἐν τῷ καθόλου τρόπῳ, ὡς μηδὲν τούτων κατορθοῦντος, ἀλλ᾽ ἐν τῷ κοινοτέρῳ καὶ ὡς ἐπιτοπολύ. δι᾽ αὐτὸ γὰρ τοῦτο καὶ ἄγροικόν τινες Δημοσθένην ἔφασαν εἶναι, κατὰ τὸ ἐλλειπὲς τῆς οἰκονομίας ταύτην περὶ αὐτοῦ τὴν δόξαν λαβόντες· τὸ γὰρ ἄγροικον τοῦ πολιτικοῦ σώματος, οὐ μορφῇ, κατασκευῇ δὲ καὶ διαθέσει τινὶ τῆς μορφῆς, διήνεγκεν.

ϛ΄. Ἃ μὲν οὖν ἐνεδέχετο περὶ τοῦ χαρακτῆρος τοῦ ἀνδρὸς εὑρεῖν τε καὶ γράψαι ταῦτ᾽ ἐστίν· ἐπὶ δὲ τὴν τῶν λόγων διάγνωσιν τρέψομαι. τοῖς μὲν οὖν γνησίοις αὐτὸ τὸ τῆς ἀναγραφῆς προσέσται μόνον, τοῖς δὲ ψευδέσι τὰ τοῦ τ᾽ ἐλέγχου καὶ τῆς αἰτίας διηκριβωμένα, δι᾽ ἣν ἕκαστον ἀθετοῦμεν αὐτῶν. ἐπεὶ δ᾽ ἀναγκαία πρὸς ταῦτα ἡ τῶν χρόνων διάγνωσις, τοὺς Ἀθήνησιν ἄρξαντας, ἀφ᾽ οὗ Δείναρχον ὑπεθέμεθα γεγονέναι χρόνου μέχρι τῆς δοθείσης αὐτῷ μετὰ τὴν φυγὴν καθόδου, γενομένους ἑβδομήκοντα προθήσομεν. εἰσὶ δὲ οἵδε. (α΄.) Νικόφημος. (β΄.) Καλλιμήδης. (γ΄.) Εὐ-

in Apollonium Dyscolum p. 55. in margine codicis Bodleiano οὗτος διδάσκαλος Κικέρωνος τοῦ Ῥωμαίου. Sed nec ille τὸ αὐχμηρὸν magistri egregie abstersit. HUDSON.

Ἰσοκράτην καὶ τὰ Ἰσοκράτους] Non video, qui hæc differant. Isocratem imitantur, qui laudes ejus imitantur. Num ergo leg. καὶ τοὺς ἀπ᾽ Ἰσοκράτους. REISK.

Ἀναληθεῖς] Propterea fortasse dicit, quia fucum magis quam veritatem consectari solerent: sicut infra in Attic. oratorum characteribus, 167, 38. πανηγυρικὴν et ἀληθινὴν διάλεκτον opponit, et utramque a Demosthene conjunctam fuisse tradit. SYLBURG. Si Fabri conjecturam ad Longini p. 111. sequi liceret, ἀναλθεῖς et hic loci leg. esse suspicaretur aliquis. HUDSON. Bene habet vulgata. non ingenui, non naturam fideliter reddentes, sed affectati, naturæ simplicitatem artis fuco obruentes. Pro οὗτοι malim τοιοῦτοι. REISK.

Ψάωνα] Nullus dubitavi, nomen hoc ignotius notiori Πλάτωνα, quod est in vulgatis, sufficere, auctore Ruhnkenio in Historia critica oratorum Græcorum, p. 143. edit. nostræ. IDEM.

Καὶ τῷ καιρῷ πρέποντι] Articulus non cum proximo καιρῷ cohæret, ed cum postremo vocabulo, tantundemque est atque si articulum geminans dixisset: καὶ τῷ τῷ καιρῷ πρέποντι, vel καὶ τῷ πρέποντι τῷ καιρῷ. et nescio profecto an articulus h. l. geminandus sit, aut leg. τῷ τῶν καιρῶν πρ. IDEM.

Καινοτέρῳ] Num καινοτέρως. ut circumsita καθόλου et ὡς ἐπὶ τὸ πολύ. IDEM.

Τῆς μορφῆς] Subaudi τῆς ἀμφοῖν ὁμοίας. IDEM.

Διάγνωσιν τρέψομαι] Videtur νῦν aut νῦν ἤδη interponendum esse. IDEM.

Προσέσται μόνον] Scil. τεκμήριον τοῦ εἶναι αὐτοὺς Δεινάρχου. IDEM.

Ἐλέγχου] Τὰ τοῦ ἐλέγχου καὶ τὰ τῆς αἰτίας διηκριβωμένα, idem est, ad morem dicendi Thucydideum adumbratum, atque ἡ διακρίβωσις τοῦ τ᾽ ἐλέγχου καὶ τῆς αἰτίας. IDEM.

Εἰσὶ δὲ οἵδε] Archontωn hic catalogus

χάριστος. (δ'.) Κηφισόδοτος. (ε'.) Ἀγαθοκλῆς. (ϛ'.) Ἐλπίνης. (ζ'.) Καλλίστρατος. (η'.) Διότιμος. (θ'.) Εὔδημος. (ι'.) Ἀριστόδημος. (ια'.) Θεσσαλός. (ιβ'.) Ἀπολλόδωρος. (ιγ'.) Καλλίμαχος. (ιδ'.) Θεόμνητος. (ιε'.) Θεμιστοκλῆς. (ιϛ'.) Ἀρχίδας. (ιζ'.) Εὔδωρος. (ιη'.) Λυκίσκος. (ιθ'.) Πυθόδοτος. (κ'.) Σωσιγένης. (κα'.) Νικόμαχος. (κβ'.) Θεόφραστος. (κγ'.) Λυσιμαχίδης. (κδ'.) Χαιρωνίδας. (κε'.) Φρύνιχος. (κϛ'.) Πυθόδημος. ἐπὶ τούτου πρῶτον αὐτὸν εἰς δικαστήριον τοὺς συγγραφεῖς ὑπεθέμεθα. μετὰ δὲ τοῦτον. (κζ'.) Εὐαίνετος. (κη'.) Κτησικλῆς. (κθ'.) Νικοκράτης. (λ'.) Νικήτης. (λα'.) Ἀριστοφάνης. (λβ'.) Ἀριστοφῶν. (λγ'.) Κησιφῶν. (λδ'.) Εὐθύκριτος. (λε'.) Ἡγήμων. (λϛ'.) Κρέμης. (λζ'.) Ἀντικλῆς. (λθ'.) Κηφισόδωρος. (μ'.) Φιλοκλῆς.

in multis corruptus est, quin et duobus mutilus, ut ad vers. ult. docebitur. in nonnullis etiam varietas est; ut deinceps suo cujusque loco declarabitur. SYLBURG.

δ'.] Quarti ergo nomen apud Sigonium in libro De Atheniensium temporibus est CEPHISODORUS. sed cum apud Diodorum quoque (pag. 512.) legatur Κηφισόδοτος, non est, quod nostra scriptura in suspicionem vocetur. SYLBURG.

ϛ'.] Sextus ab eodem Sigonio nominatur ELPINUS. apud Diodorum 518. ambiguo fine legitur Ἐλπίνου. supra 85, 32. habuimus, κατ' Ἀγαθοκλέα καὶ Ἐλπινίκην ἄρχοντας. ut verum hujus Archontis nomen esse videatur. Ἐλπινίκης, *Elpinices*. IDEM. V. Meursii Archontas Athen. l. 4. c. 2. HUDSON.

ια'.] Undecimus apud Diodorum 531. Θέσσαλος, proparoxytonως: cujus accentus evidentia vestigia cernuntur infra in corrupto Θέελλος, 121, 12. 13. mentio ejusdem p. 270. 24. SYLBURG.

ιδ'.] Quartus decimus apud Diodorum est Θεόφιλος, 538.: nec non apud Dionysium infra, 123, 5. Falsum igitur hic sive Θεόμνητος, sive Θεόμνηστος, nec magis verum Θούμνηδος, quod infra p. 275. 12. pro eodem legitur. IDEM. V. Meursii Arch. Athen. 4. 9. HUDSON. Corsini Fast. Attic. T. IV. p. 30. REISK.

ιϛ'.] Sexti decimi verum nomen est Ἀρχίας apud Diodorum 541. et apud Dionysium nostrum infra 123, 9. SYLBURG. Ἀεχείας in MS. Bodlei. v. Meurs. HUDSON. Corsini l. c. p. 32. REISK.

ιζ'. Septimus decimus archon, non Εὔδωρος est, sed Εὔβουλος, apud Diodorum 545. et apud Dionysium nostrum infra 119, 12. 121, 29. 123, 12. necnon p. 270. 11. SYLBURG.

ιθ'.] Decimus nonus Πυθόδοτος appellatur etiam infra 121, 30. et 123, 14. apud Diodorum vero Πυθόδωρος 547. IDEM.

κδ'.] Vicesimus quartus archon Diodoro est Χαρώνδας 553. IDEM. Rescribendum esse cum Diodoro Χαιρώνδας, docuit Meursius in Arch. Athen. 4. 9. atque apud Dionysium in Isocrate p. 150, 36. Χαιρώνδου pro Χαιρωνίδου reponendum. HUDSON.

κϛ'.] Vicesimus sextus archon, qui Πύθόδημος hic nominatur, apud Diodorum dicitur Πυθόδωρος, 114, 10. SYLBURG.

Τοὺς συγγραφεῖς] Sententia postulat λόγους συγγράφειν (ut p. 262. 18.) vel τὶ συγγράφειν. IDEM. In margine codicis Bodleiani ἴσ. λόγους συγγράφειν, συγγράψαι, vel tale quid. HUDSON. Leg. videtur: τοῦ συγγράφειν ἄρξασθαι. REISK.

λ'. Tricesimus archon, qui Νικήτας hic dicitur Diodoro est Νικήρατος 582. Sigonius ab aliis Anicetum vocari annotat. SYLBURG.

λγ'.] In tricesimi tertii nomine ambiguus hic error est. putarit enim aliquis verum nomen esse Κτησιφῶν. sed non dubito quin verius nomen sit Κηφισοφῶν, apud Diodorum 601. Apud Demosthenem quoque in or. pro corona, in psephismate quo legatio ad Philippum decernitur, eadem hæc diversitas occurrit. nam in legatorum catalogo quidam codices habent Κησιφῶν, alii Κηφισοφῶν. IDEM. Huic consentit Meursius de Arch. Athen. 4. 13. HUDSON.

λδ'.] Scaliger in Ἀναγραφῇ τῶν Ὀλυμπιάδων, ἴσως Εὐθυκράτης. nescio quo auctore. IDEM.

λε'.] Tricesimus quintus, Ἡγήμων, apud Sigonium desideratur, itidemque apud Diodorum 606. SYLBURG.

λϛ'.] Tricesimus sextus, rectius apud Diodorum 608. nominatur Χρέμης, prima litera aspirata. IDEM.

λζ'.] Post tricesimum septimum, Anticlem scilicet, duo sunt omissi Archontes, Σωσικλῆς et Ἀγησίας, ut cognoscere licet ex Diodoro, 622. Vicissim apud Diodorum et Sigonium desunt quadragesimus primus et secundus, Ἀεχίππος et Νέαιχμος. IDEM.

ἐπὶ τούτου τὴν φρουρὰν ἐδέξαντο Ἀθηναῖοι καὶ ὁ δῆμος κατελύθη. (μα΄.) Ἄρχιππος. (μβ΄.) Νέαιχμος. (μγ΄.) Ἀπολλόδωρος. (μδ΄.) Ἄρχιππος. (με΄.) Δημογένης. (μϛ΄.) Δημοκλείδης. (μζ΄.) Πραξίβουλος. (μη΄.) Νικόδωρος. (μθ΄.) Θεόφραστος. (ν΄.) Πολέμων. (να΄.) Σιμωνίδης. (νβ΄.) Ἱερομνήμων. (νγ΄.) Δημήτριος. (νδ΄.) Καίριμος. (νε.΄) Ἀναξικράτης. ἐπὶ τούτου ἡ κατασταθεῖσα ὑπὸ Κασσάνδρου ὀλιγαρχία κατελύθη, καὶ οἱ εἰσαγγελθέντες ἔφυγον, ἐν οἷς καὶ Δείναρχος ἦν. (νϛ΄.) Κόροιβος. (νζ΄.) Εὐξένιππος. (νη΄.) Φερεκλῆς. (νθ΄.) Λεώστρατος. (ξ΄.) Νικοκλῆς. (ξα΄.) Καλλίαρχος. (ξβ΄.) Ἡγέμαχος. (ξγ΄.) Εὐκτήμων. (ξδ΄.) Μνησίδημος. (ξε΄.) Ἀντιφάτης. (ξϛ.΄) Νικίας. (ξζ΄.) Νικόστρατος. (ξη΄.) Ὀλυμπιόδωρος. (ξθ΄.) Φίλιππος. ἐπὶ τούτου κάθοδος ἐδόθη τοῖς τε ἄλλοις φυγάσι καὶ Δεινάρχῳ ὑπὸ βασιλέως Δημητρίου.

ΔΗΜΟΣΙΟΙ ΛΟΓΟΙ ΓΝΗΣΙΟΙ.

ι΄. (α΄.) Κατὰ Πολυεύκτου βασιλεύειν λαχόντος δοκιμασία· Πολλὰ καὶ ἀγαθὰ γένοιτο. (β΄.) Κατὰ Πολυεύκτου, ἐκφυλλοφορηθέντος ὑπὸ τῆς βουλῆς, ἔνδειξις· Πάλαι θαυμάζω ὑμῶν. (γ΄.) Κατὰ Πολυεύκτου, περὶ τοῦ Γεωφανίου· Περὶ μὲν αὐτῆς τῆς μηνύσεως. (δ΄.) Περὶ τοῦ Γεωφανίου ἐπίλογος· Βραχὺν, ὦ ἄνδρες. (ε΄.) Κατὰ Πυθέου, ξενίας· Ἱκανὴ μὲν ἦν πρόφασις. (ϛ΄.) Κατὰ Πυθέου, περὶ τῶν κατὰ τὸ ἐμπόριον· Ἐπειδὴ τοῖς μὲν λέγειν τῶν ῥητόρων. (ζ΄.) Κατὰ Τιμοκράτους· Ὥςπερ δίκαιόν ἐστι. (η΄.) Κατὰ Λυκούργου εὐθῦναι· Οἶδα ὅτι κἂν μηδὲν ὑμῖν

μ΄.] Ita etiam apud Diodorum. Dioclem vocat Plutarchus, ut et Scholiastes Aristophanis. Polycles dicitur Demostheni. e Meursio Hudson.

μθ΄.] Ἄρχιππος Phocioni statim submoto substitutus Meurs. 4. 15. Idem.

νγ΄.] Quinquagesimus quartus Archon Δημήτριος, a Diodoro cognominatur Φαληρεὺς, 746. Sylburg.

νθ΄.] Sequens Καίριμος eidem Diodoro 751. est Χαρῖνος. Idem.

νε΄.] Quinquagesimum quintum Ἀναξικράτην agnoscit etiam Diodorus 756. et Dionysius noster supra p. 260. 9. 16. p. 261. 12. et 262. 24. in exemplari perperam hoc loco scriptum erat Ἀναρχικράτης. Idem.

νϛ΄.] In quinquagesimi sexti appellatione, pro Κόροιβος apud Diodorum est Κόρυβος, 770. minus recte, ut suspicor. Sequens apud eundem Diodorum 774. est Ξένιππος. In sexagesimo primo, Nicocle, desinunt ejusdem Diodori vulgata exemplaria, 787. et reliquorum novem nomina desunt etiam apud Sigonium: ita ut, sicut illi Dionysio in præcedentibus, sic vicissim Dionysius illis in sequentibus auxiliares manus præbeat. Primus autem archon Nicophemus, ab eodem Diodoro ponitur in Olympiadis centesimæ quartæ anno ultimo, quo Romæ consules fuisse dicit C. Sulpicium et C. Licinnium. anno urbis CCCLXXXIX. ut Sigonius computat: ut autem Glareanus, anno urbis CCCXCI. Idem.

νζ΄.] Diodoro Xenippus, Plutarcho in Hyperide, Xenias. Meurs. de Arch. Athen. 4. 16. Hudson.

ξθ΄.] Diphilus appellatur a Plutarcho in Demetrio. E Meursio Idem.

Τεωφανίου] Pro Τεωφανίου paulo post detracto ι legitur Τεωφάνου: quorum neutrum erroris suspicione caret. Suidæ Θεοφάνειον an huc pertineat, mihi sane non constat. Sylburg. Γεωφανίου hic, et in sequentibus esse leg. demonstravit Meursius in Atticis Lectionibus 3. 11. Hudson.

Ὑμῖν] Opinor puncto et separationis spatio post ὑμῖν posito, sequentia conjunctim legenda esse, hoc modo: Συνηγορία Αἰσχίνῃ κατὰ Δινίου, ut infra p. 273. 13. antep. et p. 275. 19. Forsan etiam aliquis diphthongus malit Δεινίου, ut apud Isæum, Demosthenem, Suidam, alios. Sed cum p. 269. 4. sequatur, ἔτι κατὰ Διονυσίου, nec in præcedentibus ulla Διονυσίου facta sit mentio, suspicetur aliquis, utrobique vel Διονυσίου legendum esse, vel Δεινίου. Syl-

συνηγορία αἰσχύνη. (θ'.) Κατὰ Δινίου· Βουλοίμην ἂν, ὦ ἄνδρες. (ι'.) Κατὰ Φωρασεβείας· Ἆρά γ' εἴ τινες. (ια'.) Κατὰ Καλλαίσχρου, περὶ τῶν τιμῶν· Πολλάκις, ὦ Ἀθηναῖοι. (ιβ'.) Τυῤῥηνικός· Ἅπαντα συμβήσεσθαι. (ιγ'.) Ἔτι κατὰ Διονυσίου, τοῦ ἐπὶ τῆς διοικήσεως· Ἴσως μὲν, ὦ Ἀθηναῖοι. (ιδ'.) Καθ' Ἱμερίου εἰσαγγελτικός· Οὐδένα νομίζω, ὦ Ἀθηναῖοι. (ιε'.) Εἰσαγγελία κατὰ Πιστίου· Ὥςπερ καὶ ὑμῶν ἕκαστος. (ιϛ'.) Κατ' Ἀγασικλέους, εἰσαγγελία ξενίας· Οὐδένα πώποτε οἶμαι. (ιζ'.) Κατὰ Θεοκρίνου ἔνδειξις· Τοῦ πατρὸς, ὦ Ἀθηναῖοι. τοῦτον Καλλίμαχος ἐν τοῖς Δημοσθένους φέρει. (ιη'.) Κατὰ Στεφάνου· Παρανόμων ὑπάρχει τοῦ νόμου δεδωκότος, ὦ ἄνδρες. (ιθ'.) Κατὰ Κλεισθένους εἰσαγγελία· Οὐκ ἀγνοῶ, ἄνδρες. (κ'.) Διαδικασία Φαληρέων πρὸς Φοίνικας, ὑπὲρ τῆς ἱερωσύνης τοῦ Ποσειδῶνος· Εὔχομαι, νὴ τὴν Ἀθηνᾶν, πρέπειν δή. (κα'. κβ'.) Πρὸς τὴν Κηφισῶντος ἀπογραφήν· Πρῶτον μὲν, ὦ ἄνδρες, δέομαι. ὁ δ' ὕστερος· Τὰ μὲν περὶ τὴν ὠνήν. (κγ'.) Ἀπολογία διαμαρτυρίας πρὸς τὴν Χάρητος εἰσαγγελίαν κατὰ Φειδιάδου γραμματέως· Οὔτ' ἔχθρας οὐδεμιᾶς ἕνεκα. (κδ'.) Κατὰ Φιλοκλέους ὑπὲρ τῶν Ἁρπαλίων· Τί χρὴ λέγειν τὸ πρὸς τῶν. (κε'.) Κατὰ Γνωδίου περὶ τῶν Ἁρπαλίων· Οὐκ ἄδη-

BURG. Cum Sylburgio consentire Meursium in Atticis Lectionibus, 5. 24. et in Bibliotheca Attica, v. Δείναρχος, annotavit Hudsonus. REISK.

Φωρασεβείας] Nomen suspectum est ac perperam fortasse ex duobus conflatum: ut κατὰ Φάκου, ἀσεβείας. sed in his sola conjectura niti, fallere est. SYLBURG. Restituendum censeo κατὰ Φορμισίου, ἀσεβείας. natum mendum e compendio scriptionis. E Meursio A. L. 4. 16. HUDSON.

Πιεηνικός] Incertum Εἰρηνικὸς ne verius sit an Πειραϊκὸς, an aliud. SYLBURG. Harpocrat. et Suidas v. Πεῖστασιν, Δείναρχος Τυῤῥηνικῷ. v. Valesii notas ad Harpocrat. p. 48. col. 2. HUDSON.

Ἔτι κατὰ Δ.] Ecquis novit, an non sic distinguendum et leg. sit: Ἅπαντα συμβήσεσθαι εἰκός ἐστι. *consentaneum est, fore ut nihil non rerum contingat.* Erit hoc exordium τοῦ Τυῤῥηνικοῦ λόγου. Tum succedit novus titulus κατὰ Διονυσίου. REISK.

Ἱμερίου] Ἱμεραίου legit Maussac. ad Harpocrat. v. Ἄμμων. HUDSON.

Κατὰ Πισικλέους] Hic quoque dubium est, sit ne Πεισικλέους legendum, an Τισικλέους. SYLBURG. κατ' Ἀγασικλέους leg. esse docuit Meursius in Bibl. Att. v. Dinarchus. HUDSON. Sic correxi. quanquam de Pasicle quoque suspicari non sit alienum. REISK.

Κατὰ Στεφάνου. ἰασανόμων ὑπάρχει] Fortasse legendum: κατὰ Στεφάνου, παρανόμων· Ὑπάρχει τοῦ v. Demosthenis orationes κατὰ Στεφάνου, ut diversam habent actionis inscriptionem, ψευδομαρτυριῶν scilicet, ita etiam diversa initia. SYLBURG. Pro ἰασανόμων correxi, ut volebat Sylburgius, παρανόμων. pro ὑπάρχει fort. leg. est ὑπὲρ Ἀρχείου, vel Ἀρχίου. a vocabulo τοῦ νόμου incipere orationem, nullum dubium penes me superest. REISK.

Κλεισθένους] Scr. Καλλισθένους. Meursius B. A. l. c. et Lect. Att. 3, 11. Maussac. ad Harpocrat. v. βουλαία. HUDSON.

Φοίνικας] Φοινίκων nomen parum huc quadrare videtur: nec certum tamen est, an κήρυκας reponendum sit, ut p. 270. 10. SYLBURG. Num Φοίνικα. Phœnix nomen est ex historia oratorum Atticorum satis notum. REISK.

Κησιφῶντος] Hoc de nomine paulo ante dictum ad p. 267. pen. SYLBURG.

Πρῶτον] Imo vero πρῶτος in nominativo et masculino, ob insequens ὁ ὕστερος. REISK.

Χάρητος] In exemplari post Χάρητος finita est periodus: et nominandi casu sequitur Εἰσαγγελία κατὰ Φειδιάδου: quasi duæ hic significentur orationes. SYLBURG.

Ἁρπαλίων] In sequentibus etiam constanter absque diphthongo scribitur: apud Suidam vero et alibi, diphthongus Ἁρπάλεια χρήματα. Nota ibidem ὑπὲρ, in sequentibus autem περί. IDEM.

Γνωδίου] Incertum Γνωσίου ne scribendum sit, an Γνωσιδίκου, an Γνωσιθέου, an aliud. IDEM. In editione Hudsoni legitur Γνωσίου, nescio casune an consilio. Mihi videtur κατ' Ἀγνωνίδου leg. esse. Quo de Agnone vel Agnonide v. Ruhnkenii Hist. crit. orr. Gr. p. 89. REISK.

λον. (κ΄.) Κατ' Ἀριστονίκου περὶ τῶν Ἁρπαλίων· Εὐτύχημα μὲν ἦν, ὦ ἄνδρες. (κζ΄.) Κατὰ Δημοσθένους περὶ τῶν Ἁρπαλίων· Ὁ μὲν δημαγωγὸς ὑμῖν. (κη΄.) Κατὰ Ἀριστογείτονος περὶ τῶν Ἁρπαλίων· Πάνθ' ὡς ἔοικεν, ὦ ἄνδρες.

ΨΕΥΔΕΠΙΓΡΑΦΟΙ ΔΗΜΟΣΙΟΙ.

ια΄. (α΄.) Κατὰ Θεοδώρου, εὐθυντικός· Ἥκιστα μέν, ὦ ἄνδρες. πρεσβύτερός ἐστι τῆς Δεινάρχου ἡλικίας· εἴρηται γὰρ ἐπὶ Θεοφίλου τῇ Θεμιστοκλέους ἄρχοντος μετὰ Θέλλον ἀνιόντα ἐνιαυτῷ τρίτῳ, ὡς ἐξ αὐτοῦ τοῦ λόγου γίνεται φανερὸν, οὔπω πέμπτον, ὡς δείξομεν, ἔτος ἔχοντος αὐτοῦ. (β΄.) Κατὰ κηρύκων· Εἰ μὲν ὁ πατὴρ, ὦ ἄνδρες. οὗτος ὁ ἀγὼν εἴρηται ἐπ' ἄρχοντος Εὐβούλου ἢ Λυκίσκου τοῦ μετ' Εὔβουλον, οὔπω εἴκοσι ὄντος αὐτοῦ. ὁ μὲν γὰρ λόγος περί τινος ἀποψηισθέντος γέγονεν ἐπ' Ἀρχίου τοῦ μετὰ Θεμιστοκλέα, δῆλον δ' ἕκαστον τῶν εἰρημένων ἐξ αὐτοῦ τοῦ λόγου γίγνεται. (γ΄.) Κατὰ Μοσχίωνος, ἀπογραψαμένου αὐτὸν Νικοδίκου· Υἱὸν ἀποψηφισάμενον, ὦ ἄνδρες τουὶ Μοσχίωνος συμβαλών. καὶ οὗτος ὁ λόγος κατὰ τοὺς αὐτοὺς χρόνους τῷ προτέρῳ εἴρηται· δηλοῦται δ' ἐκ τῆς αὐτῆς ἀρχῆς τοῦ λόγου, καὶ [τὰ] τῶν ἑξῆς. (δ΄.) Κατὰ Μενεκλέους ἀπαγωγῆς· Ὦ ἄνδρες δικασταὶ, καὶ τῶν νόμων, καθ' οὕς. καὶ οὗτος εἴρηται παιδὸς ὄντος ἔτι Δεινάρχου· ὁ μὲν γὰρ κρινόμενος ἐστὶ Μενεκλῆς ὁ τὴν ἱερείαν Νίνον ἑλών, ὁ δὲ κατηγορῶν υἱὸς τῆς Νίνου. ἔστι δὲ ταῦτα πρεσβύτερα τῆς Δεινάρχου ἀκμῆς· ὁ μὲν γὰρ Δημοσθένους περὶ τοῦ ὀνόματος λόγος, ἐν ᾧ τούτων μέμνηται κατὰ Θεσσαλὸν ἢ Ἀπολλόδωρον ἄρχοντα τετέλεσται, ὡς ἐν τοῖς περὶ Δημοσθένους δεδηλώκαμεν· εἰ δ' ὡς τεθνηκότος ἤδη τοῦ Μενεκλέους ὁ Δημοσθένης ἐκεῖ μέμνηται λέγων, Ἑωρᾶτε γὰρ πάντες αὐτὸν χρώμενον ἕως ἔζη Μενεκλῆς, παλαιὸς λόγος τίς ἐστιν. ὅτι δὲ οὗτος ὁ Μενεκλῆς, ἐν αὐτῷ τῷ λόγῳ δεδήλωκεν ὁ κατηγορῶν. (ε΄.) Διαδικασία Ἀθμονεῦσι περὶ τῆς Μυῤῥίνης καὶ τῆς Μίλακος· Εὔχομαι δὴ τῇ

Ἐπὶ Θεοφίλου] Legendum puto: ἐπὶ Θεοφίλου ἢ Θεμιστοκλέους ἄρχοντος, μετὰ Θέσσαλον ἄρχοντα ἐνιαυτῷ τρίτῳ. ut sequenti versu, quæ lectio colligitur ex p. 267. 3. Sylburg. In margine Bodlei. ἴσως Θεομνήστου ἢ Θεμιστοκλέους. Reisk.

Πέμπτον] In margine Bodlei. hæc leguntur: Procul dubio leg. οὔπω πέμπτον καὶ δέκατον. Idem.

Δείξομεν] Num ἐδείξαμεν. Idem.

Εἴκοσι ὄντος] Leg. εἰκοσαέτους ὄντος: vel, εἴκοσιν ἔτη ἔχοντος, ut p. 271. 3. Sylburg.

Ἀπογραψαμένου] Legendum videtur, ἀπογραψαμένου αὐτὸν Νικοδίκου υἱόν· Ἀποψηφισ. Idem. In margine Bodl. ἴσως αὐτὸν Νικόδικον. In re perobscura et suspiciosa si licet conjecturæ indulgere, suspicer scriptum olim fuisse: ἀπογραψαμένου τὸν Νικοδίκου υἱόν. ut oratio ipsa incipiat a verbo Ἀποψηφισάμενοι. Reisk.

Τουὶ] Pro τουὶ dubito τουδὶ ne scribendum, an τουτονὶ, an aliud. Sylburg.

Ἐκ τῆς αὐτῆς] Rectius legemus ἐξ αὐτῆς τῆς ἀρχῆς: et mox, καὶ τῶν ἑξῆς, expuncto articulo τὰ. Idem. Legi quoque possit vocabulis transpositis: ἐκ τῆς ἀρχῆς αὐτῆς. Reisk.

Τοῦ ὀνόματος δεδηλώκαμεν λόγος] Procul dubio expungendum δεδηλ. velut e sequentibus perperam huc infertum. De oratione autem περὶ τοῦ ὀνόματος meminit rursum pag. 275. 8. Sylburg.

Μενεκλῆς] Rectius libri Demosthenici Μενεκλεῖ. v. p. 998. 13. edit. Reisk. quanquam profecto Μενεκλῆς ad ἔζη subaudiri debet. Reisk.

Οὗτος] Eundem esse Dinarcheum Meneclem cum Demosthenico. breviuscule dictum, nisi si quid deest. Idem.

Ἀθμονεῦσι] Ἀθμονεῖς per ο scribit etiam Stephanus Byzantius: at Suid. per ω. Sylburg.

Δήμητρι καὶ τῇ Κόρῃ. πρεσβύτερός ἐστι τῆς Δεινάρχου ἀκμῆς· εἴρηται γὰρ ἐπὶ Νικομάχου ἄρχοντος, ὡς ἐξ αὐτοῦ τοῦ λόγου γίγνεται δῆλον, ἐν πρὸς τοῖς εἴκοσιν ἔτος τοῦ ῥήτορος ἔχοντος. οἱ μὲν οὖν τῆς ἀκμῆς αὐτοῦ φερόμενοι ψευδεπίγραφοι εἰς αὐτὸν λόγοι εἰσὶν οἵδε· μετὰ δὲ τὴν ἐξ Ἀθηνῶν εἰς Χαλκίδα ἀναχώρησιν οἵδε. (ϛ'.) Διαδικασία τῆς ἱερείας τῆς Δήμητρος πρὸς τὸν ἱεροφάντην· Πολλῶν καὶ παραδόξων, ὦ ἄνδρες δικασταί. οὗτος ὁ λόγος ἤδη πεφευγότος αὐτοῦ εἴρηται, ὡς ἐξ αὐτοῦ γίγνεται φανερόν· μέμνηται γὰρ ἐν αὐτῷ τῆς κατασχούσης ὀλιγαρχίας. (ζ'.) Ἔργα ποιεῖς· κατὰ Τιμοκράτους, εἰσαγγελτικὸς δήμου καταλύσεως. οὗτος καὶ ἀπ' αὐτῆς τῆς ἐπιγραφῆς ἐστὶ δῆλος ψευδεπίγραφος ὤν. (η'.) Κατὰ Σπουδίου· Καὶ ἐν τῷ δήμῳ κατηγορήσειν ὑπεσχόμην. μετὰ τὴν κατάλυσιν τῆς ὀλιγαρχίας εἴρηται καὶ οὗτος, ἤδη Δεινάρχου [φαίνεται] φεύγοντος, ὡς ἐξ αὐτοῦ μάλιστα τοῦ λόγου γίγνεται φανερόν. (θ'.) Διαδικασία Εὐδανέμων πρὸς κήρυκας ὑπὲρ τοῦ κανῶς οὐδαμῶς· Τοιαῦτα πράγματα. καὶ οὗτος κατὰ τοὺς αὐτοὺς χρόνους εἴρηται, πεφευγότος ἤδη τοῦ ῥήτορος, ὡς ἐν αὐτῷ τῷ λόγῳ πάλιν δηλοῦται. (ι'.) Ἀττικός· Πάντων ἦσαν ὁμοίως. καὶ οὗτος εἴρηται ἐν ἐκείνοις τοῖς χρόνοις, ὡς καὶ ἐν αὐτῷ τῷ λόγῳ φανερὸν γίγνεται. (ια'.) Αἰτωλικός· Καὶ ἡμεῖς, ὦ ἄνδρες Αἰτωλοί, πρέσβεις. οὗτος καθεστώσης τῆς ὀλιγαρχίας ὑπὸ τῶν Ἀθήνηθεν φυγάδων εἴρηται, δεομένων, τοὺς Αἰτωλοὺς αὐτοῖς βοηθεῖν, ἐπεὶ καὶ ὁ Κάσσανδρος αὐτοὺς ἐλευθεροῦν ἐπεχείρει, ὡς ἐν αὐτῷ τῷ λόγῳ γίγνεται τοῦτο δῆλον· οὔκουν εἰκὸς φίλον ὄντα τὸν Δείναρχον τῶν τὴν ὀλιγαρχίαν καταστησάντων τοῖς καταλύειν ἐπιχειροῦσιν συναγωνίζεσθαι, οὐδ' αὐτὸς Ἀθήνηθε λόγους κατα-

Τῆς ἀκμῆς] Conjectura viri docti in margine Bodleiani præponit πρὸ. recte, postulante id sententia. possit tamen etiam πρεσβύτεροι excidisse. Reisk.

Ἔργα ποιεῖς] Forsan legendum: κατὰ Τιμοκράτους, εἰσαγγελτικὸς δήμου καταλύσεως· Ἔργα ποιεῖς. ut Ἔργα ποιεῖς orationis illius sit initium. Sequens κατὰ Σπουδίου, diversa est a Demosthenica. Sylburg.

Εὐδανέμων] Legendum fortassis: Εὐωνυμέων πρὸς κήρυκας ὑπὲρ τῶν κανῶν· Οὐδαμῶς τοιαῦτα πράγματα. fuit enim Εὐωνυμία, seu Εὐώνυμος, pagus Atticus, cujus cives Εὐωνυμεῖς, teste Steph. Idem.- Possit quoque legi ἀγορανόμων vel ἀστυνόμων. Reisk.

Ἐν αὐτῷ] Nota hic, ἐν αὐτῷ τῷ λόγῳ φανερὸν γίγνεται, ut mox etiam v. 23. at p. 270. 9. 14. et p. 271. 2. 8. 14. pro ἐν usitatiore modo usurpata ἐξ. Sylburg.

Τοὺς Αἰτωλοὺς] Non inscite quidem admonuit, quisquis fuit, vir doctus in margine Bodleiani, sibi videri satius esse, ut τῶν Αἰτωλῶν legatur. metuens ille, ut videtur, ne essent, qui accusativum cum δεομένων jungerent in constructione. quod qui facerent, hi profecto turpiter laberentur, atque proderent, se nescire, δεῖσθαι τινὸς, non δεῖσθαι τινὰ, dici. Verumtamen supervacaneus erat ille metus, modo interponeretur, quod interposui comma, pone δεομένων. quo facto paret τοὺς Αἰτωλοὺς cum βοηθεῖν cohærere. Consulto hanc constructionem prætulit Dionysius alteri h. l. qui si τῶν Αἰτωλῶν cum δεομένων composuisset, metuendum cerneret esse, ne lectores quidam festinatione ruentes, sic acciperent, quasi Ætoli ipsi rogarent. quod secus erat. Reisk.

Ἀγωνίζεσθαι] Convenientius compos. συναγωνίσασθαι. In sequentibus sive αὐτὸν legas sive αὐτοὺς, parum expeditur sententia. Sylburg.

Οὐδ' αὐτὸς —] Locus mendosissimus, et sine melioribus libris insanabilis. Interim, ne verba sensu cassa sic prorsus otiose natent, comminiscemur aliquod fulcrum, cui mens tantisper innitatur. quidsi Dionysius sic reliquerit: οὐδ' αὖ τοὺς Ἀθήνηθεν [scil. φυγάδας] Αἰτωλοὺς παραλαμβάνειν οἷόν τε. *et rursus abhorret exsules Athenienses sibi copias Ætolicas adsciscere.* Opponit inter se Dinarchum cum exsulibus, negatque consentaneum fuisse, ut aut Dinarchus hanc orationem scriberet, aut exsules auxilia ab Ætolis arcesserent. Reisk.

λαμβάνειν οἷόν τε ἐστί. (ιβ'.) Διφίλῳ δημηγορικὸς, αἰτοῦντι δωρεάς· Διὰ τὸ μὴ ῥᾴδιον εἶναι. τοῦτον ἐπείσθην ὑπὸ Δημοσθένους γεγράφθαι τὸν λόγον, ὅτι τὰς δωρεὰς ἔγραψεν αὐτῶν Δημοσθένης, ὡς Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους λόγῳ δεδήλωκε, καὶ ὅτι ἐπὶ τέλει τοῦ λόγου ὁ Δίφιλος Δημοσθένην παρακαλεῖ συνήγορον· ἀπίθανον δὲ οἶμαι εἶναι τὰς μὲν τιμὰς οὕτω γράφειν εὐνοοῦντα τῷ Διφίλῳ τὸν Δημοσθένην, λόγον δὲ παρὰ Δεινάρχου λαβόντα περιιδεῖν. (ιγ'.) Ἑρμίᾳ ἐμπορίου ἐπιμελητῇ περὶ τῶν κατηγορηθέντων ἀπολογία· Δέομαι ὑμῶν, ὦ ἄνδρες. ἀπ' αὐτοῦ τοῦ χαρακτῆρος εὕροι τις ἂν οὐκ ὄντα τὸν λόγον Δεινάρχου — ὑδαρής τε γὰρ καὶ ἀσθενὴς καὶ ψυχρός ἐστιν —, ἀλλὰ μᾶλλον αὐτὸν ἄν τις θείη Δημοκλείδου ἢ Μενεσαίχμου ἢ τῶν ἄλλων τῶν τοιούτων τινός· ἀφαιροῦμαι δὲ καὶ τοὺς περὶ Μενεσαίχμου λόγους ἀμφοτέρους αὐτοῦ, ὧν ὁ μέν ἐστιν περὶ τῆς Δήλου θυσίας, Ἱκετεύομεν ὑμᾶς, [καὶ] ὁ δὲ πρὸς Περικλέα καὶ Δημοκράτην, οὗ ἡ ἀρχὴ Νομίζομεν ὦ ἄνδρες, διά τε τὸν χαρακτῆρα — ὑδαρὴς γὰρ καὶ κεχυμένος καὶ ψυχρὸς —, καὶ ὅτι ὁ λέγων αὐτὸς ὢν οὔτε ἄδοξος καὶ μετὰ Λυκοῦργον τὴν διοίκησιν τῶν δημοσίων χρημάτων παραλαβὼν, ἐξητασμένος δὲ πολλάκις, ὡς αὐτὸς ἐν τοῖς λόγοις περὶ ἁπάντων μηνύει, καὶ ἐν ἰδίοις καὶ ἐν δημοσίοις ἀγῶσιν, οὐκ ἂν ἦν ἀδύνατος, ὥστε Δεινάρχῳ λογογραφεῖ χρῆσθαι. (ιδ'.) Ὑπὲρ τοῦ μὴ ἐκδοῦναι Ἅρπαλον Ἀλεξάνδρῳ· Οὐκ ἄξιον ἄρα θαυμάζειν. οὐδ' οὗτος ὁ λόγος ἐμφαίνει τὸν Δεινάρχου χαρακτῆρα· εἰ γὰρ κἂν

Αἰτοῦντι δωρεὰς] De orationis initio, et sequentium distinctione certi aliquid hic pronuntiare, non licet. sua cuique conjectura esto libera. Idem. Vocabula διὰ τὸ μὴ ῥᾴδιον εἶναι in codice Bodleiano initium orationis facere annotavit Hudsonus. Reisk.

Ὅτι τὰς δωρεὰς ἔγραψεν αὐτῶν Δημοσθένης] Locus sic videtur integrandus: ὅτι ψήφισμα αὐτῷ [Diphilo puta] τὰς τιμὰς ἔγρ. αὐτ. Δ. primum argumentum, e quo Dionysius ait se colligere hanc orationem, non a Dinarcho, sed ab ipso Demosthene scriptam esse, proponit hoc: quod e testimonio Dinarchi constet, a Demosthene scriptam fuisse rogationem de decernendis Diphilo honoribus. Locus Dinarchi est p. 95. 34. ed. Steph. προῖκα τοῦτον οἴεσθε γράψαι Διφίλῳ τὴν ἐν πρυτανείῳ σίτησιν, καὶ τὴν εἰς τὴν ἀγορὰν ἀναθησομένην εἰκόνα. Idem.

Οὕτω γράφειν εὐνοοῦντα] Particula οὕτω gemino modo potest accipi, altero istoc, ut æquipolleat istis, ἁπλῶς, vel μόνον. vel οὐδὲν ἄλλο ἢ: Demosthenem aliud nihil facere, quam ut decretum scriberet in gratiam Diphili, orationem autem, qua decretum istud ratum fieret, et ad effectum perduceretur, Diphilo denegare, patique, Diphilum eam ab alio aufferre. Altero hoc, ut οὕτω cum εὐνοοῦντα copuletur in constructione: Demosthenem, tanto motum Diphili studio, atque erga eum voluntatis propensione. Idem.

Εἰ μία ἐμπορίου ἐπὶ μελέτῃ] Forsan Ἑρμείᾳ ἐμπορίου ἐπιμελητῇ Sylburg. Hudsonus ad notas Valesii ad Harpocr. p. 30. ed. Blanc. ablegat. ubi Valesius hunc locum prorsus eodem modo, atque Sylburgius dudum ante fecerat, emendavit, etsi operæ manum Valesii minus sinceram repræsentarunt. Correxi h. l. ut volebat par egregium virorum doctorum. Reisk.

Περὶ] Tantundem hic valet atque ὑπέρ. ut modo, περὶ τῶν κατηγορηθέντων. quanquam utique ὑπὲρ utroque loco præstabat. Idem.

Δήλου θυσίας] Imo vero Δήμου οὐσίας. *de facultatibus Demi.* Demus est nomen proprium viri. Idem.

Ὁ λέγων] Menesæchmus is est. Idem.

Περὶ ἁπάντων] Forsan περὶ αὐτοῦ μηνύει. Sequenti etiam versu non absurde post ἀγῶσιν distinxeris. Sylburg. Mihi videtur leg. περὶ τῶν Ἁρπαλείων. *de pecuniis Harpalicis.* V. Ruhnkenii hist. critic. oratorum Græcorum p. 77. Reisk.

Ἦν ἀδύνατος] Fort. οὕτως est interponendum, ob insequens ὥστε. quanquam subaudiri quoque potest, et debet adeo, si omittatur. Idem.

Κἂν] Pro κἂν infra p. 275. 8. legitur καί. Sylburg.

μηδὲν ἄλλο, τό γ' οὖν ἠλίθιον καὶ σοφιστικὸν εὕροι τις ἂν ἐν αὐτῷ πολύ, τὸ πλεῖστον ἀπέχον τῶν Δεινάρχου χαρακτήρων. (ιε'.) Δηλιακὸς, Ἀπόλλωνος καὶ Ῥοιοῦς τῆς Σταφύλου. οὗτος οὐ τοῦ ῥήτορος, ἀλλ' ἑτέρου τινὸς συγγραφέως ἐστί· δηλοῖ δ' ἐκ τοῦ τρόπου καὶ τοῦ χαρακτῆρος ἀρχαϊκὸς ὢν καὶ περιτρέχων τὴν τοπικὴν Δήλου καὶ Λέρου ἱστορίαν. (ιϛ'.) Κατὰ Δημοσθένους παρανόμων· Εἰώθατε, ὦ ἄνδρες. οὗτος ἐν τοῖς Περγαμηνοῖς πίναξι φέρεται ὡς Καλλικράτους, ἐγὼ δὲ εἰ μὲν ἐκείνου ἐστὶν οὐκ οἶδα· οὐδὲ γὰρ ἐνέτυχον τῶν Καλλικράτους οὐδενί· ὅτι δὲ πάμπολυ τῶν Δεινάρχου λόγων ἀφέστηκεν, εὐτελής τε ὢν καὶ κενὸς καὶ οὐκ ἀπέχων ἰδιωτικῆς φλυαρίας, πείθομαι.

ΙΔΙΩΤΙΚΟΙ ΓΝΗΣΙΟΙ.

Ὑπῆρχον] Scil. Græcis in societatem belli congressis, quo bello veterem libertatem recuperare contenderent. Idem.

Ὡς οἱ λέγοντες] F. ὡς ἐλέγετο. Wolf. Post ὡς videtur aut εἰσὶν aut ἦσαν addendum. *ut sunt qui dicant*, aut, *ut erant, qui dicerent*. Reisk.

Περιεστηκότων] M. περιεστηκότων. Wolf. Quod prætuli. Nam παραστῆναι usurpatur de visis subito in mentem incurrentibus, et de robore virili, in re ardua animum ad strenue agendum et audendum impellente, et quæ e re sint et ex tempore suggerente: sed περιστῆναι de molestiis et periculis hominem circumstantibus. Reisk.

Περί του τῶν κινδύνων] F. περὶ τούτων κινδ. Taylor. Num? περί του τῶν τότε κινδύνων. *ullo de* (vel *super*) *discrimine eorum, quæ tum reipublicæ imminebant*, aut *erant exantlanda*. Reisk.

Κατασκευάζων] Subornans famigerulos, instruens eos docensque rumores, quos tu velles ab iis in vulgum disseminari. Idem.

Παρ' αὐτῷ] Id est, παρὰ σαυτῷ, *penes te*, domi tuæ, privato consilio, non auctoritate publica, literas commentitias, ad nescio quem populum nomine S. P. Q. A., aut etiam nescio a quo aut rege aut populo ad P. A., non scriptas, sed abs te confictas, ut illuderes civitati, aut gloriam ejus minueres. Idem.

Γράφων ἐπιστολὴν] Post hæc videtur aliquid deese. Nam quæ sequuntur, male cohærent cum superioribus. Wolf. Cf. Æschin. c. Ctesiph. §. νβ'.

Οἱ πολεμήσαντες τὴν πόλιν] F. τῇ πόλει. Hoc certe usitatius est. Wolf. Π. πολεμώσαντες τὴν πόλιν, ἢ πολεμήσαντες τῇ πόλει. H. Stephan. Difficilis est delectus in multitudine conjecturarum, quarum nulla sit improbabilis. Possis quoque suspicari de καταπολεμήσαντες τὴν πόλιν. Denique haud deerunt vulgatæ sui patroni. Et sunt profecto exempla dictionis πολεμεῖν τινὰ, *aliquem bello infestare*. Malim tamen cum Wolfio facere. Stephani πολεμώσαν-

ς'. Οὐκ ἀναμνήσεσθε, ὦ ἄνδρες, τὰς τῶν πρεσβυτέρων πράξεις; οἳ, μεγάλων καὶ πολλῶν κινδύνων καταλαμβανόντων τὴν πόλιν, ἀξίως τῆς πατρίδος καὶ τῆς αὐτῶν ἐλευ-
30 θερίας καὶ τῆς δόξης τῆς δικαίας ὑπὲρ τῶν τοῦ δημοσίου συμφερόντων ἐκινδύνευσαν; ὧν τοὺς μὲν ἀρχαίους ἐκείνους μακρὸν ἂν εἴη λέγειν, Ἀριστείδην καὶ Θεμιστοκλέα, τοὺς 5 ὀρθώσαντας τὰ τείχη τῆς πόλεως καὶ τοὺς φόρους εἰς ἀκρόπολιν ἀνενεγκόντας παρ' ἑκόντων καὶ βουλομένων τῶν Ἑλλήνων· ἀλλὰ ταυτὶ τὰ μικρὸν πρὸ τῆς ἡμετέρας ἡλικίας γεγενημένα ὑπὸ Κεφάλου τοῦ ῥήτορος καὶ Θράσωνος τοῦ Ἐρχιέως καὶ Ἡλίου Φορμισίου καὶ ἑτέρων ἀνδρῶν ἀγαθῶν, ὧν ἐνίων ἔτι καὶ νῦν ζῇ τὰ σώματα. τούτων γὰρ οἱ μὲν
31 φρουρουμένης ὑπὸ Λακεδαιμονίων τῆς Καδμείας βοηθήσαντες 10 τοῖς εἰς Θήβας κατιοῦσι τῶν φυγάδων τοῖς ἰδίοις κινδύνοις ἠλευθέρωσαν πόλιν ἀστυγείτονα καὶ πολὺν χρόνον δουλεύουσαν, οἱ δὲ πείσαντες ἐξελθεῖν ὑμῶν τοὺς προγόνους, Κεφάλου τούτου ψήφισμα γράψαντος, ὃς οὐ καταπλαγεὶς τὴν Λακεδαιμονίων δύναμιν, οὐδὲ λογισάμενος ὅτι τὸ κινδυνεύειν καὶ τὸ γράφειν ὑπὲρ τῆς πόλεως ἐπισφαλές ἐστιν,

τες ideo minus probo, quod simplex πολεμοῦν non usurpatur, sed ἐκπολεμοῦν. Reisk.

Δικαίας] F. οἰκείας. Markland.

Τοῦ δημοσίου] F. τοῦ δήμου. Wolf. Est quidem hoc usitatius. Verum tamen Æschines quoque τὸ δημόσιον appellat id idem, quod Latini *rempublicam*. Subauditur πρᾶγμα vel ὄφελος. Reisk. F. τῷ δημοσίῳ. Taylor.

Ταυτὶ] Subaudi ὁρᾶτε, vel σκοπεῖτε, vel βούλομαι λέγειν, vel καιρὸς εἴη λέγειν, vel tale quippiam. Reisk.

Ἡλίου] F. Ἡλιοδώρου. Wolf. An Ἡλείου. Lacon, Thessalus, Samius, Bœotius, et alia similia, nomina erant propria Atheniensibus usitata. Pari modo potuit quoque *Eleus* aliquis dictus fuisse, qui non Elide, sed Athenis esset ortus. Reisk. Quid si? Καλλίου Φρεαρρίου. Cf. Decreta apud Demosth. de Cor. §. λδ'. Quorum in priore Nausicles, Æschinis amicus (de fals. legat. §. θ'. νθ'), aurea corona donatus est. Unde mihi verisimile est, hunc Calliam e partibus antidemosthenicis stetisse, et ob eam causam laudem Dinarchi meritum esse. Diotimus porro Midiæ studiosus fuit. Ἠλεῖον Σφάττιον habes ap. Isæum de Menecl. hered. §. γ'.

Φορμισίου] Cognomentum puto παρὰ τὸν δῆμον esse. Wolf. Nescio, an ex nullo alio, quam hoc Dinarchi loco, constet Phormisios populum Atticum fuisse. Saltim articulus deest, et leg. τοῦ Φορμ. Reisk.

Ζῇ τὰ σώματα] Οὐ μόνον τὰ ὀνόματα, ἀντὶ τοῦ, ὧν ἔνιοι ἔτι καὶ νῦν ζῶσι. Τὰ σώματα ἀντὶ ἀνθρώπων ἢ προσώπων sæpe Græci ponunt, ut in annotatione περὶ συμμορειῶν. quædam gentes contra animas pro hominibus et jumentis usurpant. Wolf.

Οἱ δὲ] Tacite a communi repete *liberarunt Thebas*. Reisk.

Κεφάλου τούτου] Cave, ne te pronomen hoc in errorem inducat, ut existimes Cephalum adhucdum in vivis superfuisse. Dudum ante excesserat. Nil aliud hoc τούτου valet, atque Latinorum *illius*, quum clarum aliquem et nobilem virum, nemini non notum, significare volunt. Idem.

Ὅτι τὸ κινδυνεύειν καὶ τὸ γράφειν] F. ὅτι καὶ τὸ γράφειν, omissis τὸ κινδυνεύειν. Nisi forte leg. sit: ὅτι οὐ μόνον τὸ κινδυνεύειν, ἀλλὰ καὶ τὸ γράφειν. Wolf. Poterat illa opera supersedere. Bene habet vulgata. Cephalus non hoc reputabat, quam et sibi, auctori sententiæ, periculosum sit, populo suo ejusmodi consiliorum auctor fieri, et populo, cui ista suaderentur, ea consilia exsequi, cum discrimine fortunarum suarum, et molestiis infinitis, quas haberent corporibus suis tolerandas. Reisk.

15 ἔγραψεν ἐξιέναι βοηθήσοντας Ἀθηναίους τοῖς κατειληφόσι τῶν φυγάδων Θήβας· καὶ ἐξελθόντων [1]ἐκεῖσε τῶν ὑμετέρων πατέρων ὀλίγαις ἡμέραις ἐξεβλήθη ὁ τῶν Λακεδαιμονίων φρούραρχος, ἠλευθεροῦντο Θηβαῖοι, διεπέπρακτο ἡ πόλις ἡ [2]ὑμετέρα ἄξια τῶν προγόνων. ἐκεῖνοι ἦσαν, ἐκεῖνοι, ὦ Ἀθη- 32
ναῖοι, ἄξιοι σύμβουλοι καὶ ἡγεμόνες ὑμῶν καὶ τοῦ δήμου·
20 μὰ Δί' οὐ τὰ τοιαῦτα κινάδη, οἳ πεποιήκασι μὲν οὐδὲν οὐδὲ πράξουσιν ἀγαθὸν ὑπὲρ τῆς πόλεως, τὴν δὲ αὐτῶν ἀσφάλειαν τηροῦντες καὶ πάντοθεν ἀργυριζόμενοι καὶ πεποιηκότες τὴν πόλιν ἀδοξοτέραν ἑαυτῶν, καὶ νῦν εἰλημμένοι δῶρα καθ' ὑμῶν εἰληφότες, παρακρούονται ὑμᾶς, καὶ ἀξιοῦσι τοιοῦτοι γεγενημένοι περὶ τῆς ἑαυτῶν πλεονεξίας παραγγέλλειν. οὓς χρὴ τεθνάναι κατὰ τὸ ἑαυτῶν ψήφισμα πάλαι, 33
τοιαῦτα διαπεπραγμένους.

25 ζ'. Οὐκ αἰσχύνεσθε, [3]ὦ ἄνδρες Ἀθηναῖοι, τὴν κατὰ Δημοσθένους τιμωρίαν ἐκ τῶν ἡμετέρων λόγων [4]μόνων ἡγούμενοι δεῖν κρίνειν; οὐκ ἴστε τοῦτον αὐτοὶ δωροδόκον ὄντα καὶ κλέπτην καὶ προδότην φίλων, καὶ τῆς πόλεως ἀνάξιον καὶ αὐτὸν καὶ τὴν περὶ τοῦτον τύχην γεγενημένην; ἀπὸ ποίων ψηφισμάτων οὗτος ἢ ποίων νόμων οὐκ εἴληφεν ἀργύριον; εἰσί τινες ἐν τῷ δικαστηρίῳ τῶν ἐν τοῖς Τριακοσίοις
30 γεγενημένων, ὅθ' οὗτος ἐτίθει τὸν περὶ [5]τῶν τριηράρχων νόμον; οὐ φράσετε τοῖς πλησίον ὅτι τρία τάλαντα λαβὼν μετέγραφε καὶ μετεσκεύαζε τὸν νόμον καθ' ἑκάστην ἐκκλησίαν, καὶ τὰ μὲν ἐπώλει ὧν εἰλήφει τὴν τιμήν, τὰ δ'

[1] ἐκεῖ τῶν ἡμετέρων [2] ἡμετέρα [3] ὦ om. [4] μόνον [5] τῶν om.

Τοιαῦτα κινάδη, οἳ πεποιήκασι] Τὸ κίναδος οὐδετέρως. Aut igitur constructio refertur ad sensum, aut leg. est ἃ πεπ. Wolf. Prius verius. Posterius et insolens foret, et insequentia ἀργυριζόμενοι atque πεποιηκότες cum ἃ minus convenirent. Reisk.

Ἑαυτῶν] Malim ἑαυτῆς, ut ad τὴν πόλιν redeat. Idem.

Εἰλημμένοι δῶρα κ. ὑ. εἰληφότες] φωραθέντες, ὅτι δῶρα εἰλήφεσαν. Wolf.

Περὶ τῆς ἑαυτῶν πλεονεξίας παραγγέλλειν] Ad hunc locum Wolfius annotatum reliquit nihil. Quid spectans ita verterit, *avaritiam suam sibi laudi ac præsidio esse oportere*, haud exputo, nisi si divinando magis sententiam, quam certa ratione vertit. Canterus ita reddidit: *suam volunt ostentare præstantiam*. Ergo idem vocabulum πλεονεξίαν ille *avaritiam*, hic *præstantiam* reddit, ambo in παραγγέλλειν laborantes, et conjecturam sequentes. Mihi fateor etiam aquam hic hærere. παραγγέλλειν est, *indicere, imperare, postulare*. Ergone deest hic aliquid, e. c. ὑμᾶς συγγνώμην ἔχειν. *æquum censent, se postulare, ut vos sibi avaritiæ suæ veniam habeatis*. Videtur tamen magis consentaneum, pro παραγγέλλειν tantummodo legi παραμελεῖν. vos avaritiam suam dissimulatione atque oblivione et silentio *transmittere*, nil eam curantes, nil in eam inquirentes. Reisk.

Περὶ τούτου] Aut παρὰ τούτου, aut, quod malim, τὴν περὶ τοῦτον, id est, τὴν τούτου τύχην. Wolf.

Ἐπώλει] Πλέον ἀξιῶν παλιγκάπηλος ἐγένετο, si pretio fixit leges, pretioque re-

ἀποδόμενος οὐκ ἐβεβαίου; εἴπατέ μοι πρὸς Διός, ὦ ἄνδρες, προῖκα τοῦτον οἴεσθε γράψαι Διφίλῳ τὴν ἐν Πρυτανείῳ σίτησιν, καὶ τὴν εἰς τὴν ἀγορὰν ἀναθησομένην εἰκόνα;
34 ἢ τὸ ποιῆσαι πολίτας ὑμᾶς Χαιρέφιλον καὶ Φείδωνα καὶ 35
Πάμφιλον καὶ Φίλιππον, καὶ πάλιν [1]Ἐπιγένην καὶ Κόνωνα τοὺς τραπεζίτας; ἢ τὸ χαλκῶς ἐν ἀγορᾷ [2]στῆσαι Βιρισάδην καὶ Σάτυρον καὶ Γόργιππον τοὺς ἐχθίστους τυράννους, παρ' ὧν αὐτῷ χίλιοι μόδιοι τοῦ ἐνιαυτοῦ πυρῶν ἀποστέλλονται τῷ οὐδ' ὅπῃ καταφύγῃ αὐτίκα φήσοντι εἶναι; ἢ τὸ γράψαι Ταυροσθένην Ἀθηναῖον εἶναι, τοὺς μὲν [3]αὑτοῦ πολίτας καταδουλωσάμενον, τῆς δ' Εὐβοίας ὅλης μετὰ 40
τοῦ ἀδελφοῦ Καλλίου προδότην Φιλίππῳ γεγενημένον; ὃν οὐκ ἐῶσιν οἱ νόμοι τῆς Ἀθηναίων χώρας ἐπιβαίνειν· εἰ δὲ μή, τοῖς αὐτοῖς ἔνοχον εἶναι κελεύουσιν οἷσπερ ἄν τις τῶν φευγόντων ἐξ Ἀρείου πάγου κατίῃ. καὶ τοῦτον οὗτος ὁ δημοτικὸς ὑμέτερον ἔγραψε πολίτην εἶναι. περὶ τούτων οὖν μάρτυρας ὑμῖν δεῖ καλεῖν, ἢ περὶ τῶν ἄλλων ὅσους οὗτος γέγραφε προξένους εἶναι καὶ Ἀθηναίους; πρὸς τῆς Ἀθηνᾶς, 96. 1
35 οἴεσθε αὐτὸν ἀργύριον μὲν χαίρειν λαμβάνοντα, χρυσίου δ' εἴκοσι τάλαντα οὐκ ἂν λαβεῖν; ἢ κατὰ μικρὸν μὲν δωροδοκεῖν, ἀθρόον δ' οὐκ ἂν προσδέξασθαι τοσοῦτον λῆμμα; ἢ τὴν ἐξ Ἀρείου πάγου βουλὴν Δημοσθένην καὶ Δημάδην καὶ Κηφισοφῶντα ζητήσασαν ἓξ μῆνας ἀδίκως εἰς ὑμᾶς πεποιῆσθαι τὰς ἀποφάσεις; 5

η'. Πολλοί, ὦ ἄνδρες, πολλοὶ τῶν πολιτῶν καὶ τῶν ἄλλων Ἑλλήνων — ὅπερ καὶ πρότερον εἶπον — θεωροῦσιν ὑμᾶς πῶς τοῦτον δικάσετε τὸν ἀγῶνα, καὶ πότερον εἰσαγωγίμους καὶ τὰς τῶν ἄλλων δωροδοκίας ποιήσετε, ἢ ἀνέδην

[1] Ἐπιγένη [2] καταστῆσαι Βηρισάδην [3] αὑτῷ

fixit. Idem.

Ἀναθησομένην] Malim ἀνατεθησομένην. Reisk.

Καταστῆσαι] Potest ferri et defendi, subaudiendo ὑμᾶς. *hoc, quod vos eos collocaveritis æneos.* Malim tamen καταστῆναι. *quod stent in foro æneí.* Idem.

Μόδιοι] Mirans quidem vocabuli Latini in scriptore Græco tam vetusto insolentiam, damnare non audeo, tametsi meminerim, Atheniensis, non modiis, sed medimnis, usos fuisse. Idem.

Εἶναι] Subaudi ἑαυτῷ. Alias melius conveniret ἔχειν. Idem.

Τὸ γράψαι] Aut τὸ est delendum, aut γράψαι. Idem.

Ταυροσθένην] De Taurosthene vide Æschinem κ. Κτησ. §. λα'. sq. Wolf.

Αὐτῷ] Wolf. [et Taylorus] mavult αὐτοῦ. Planius id utique et usitatius, posse tamen vulgata videtur utcunque ferri. Reisk.

Εἰσαγωγίμους] Ἀντὶ τοῦ ὑποδίκους καὶ ὑπευθύνους, alias εἰσαγώγιμος δίκη usitate dicitur, et τὰ εἰσαγώγιμα καὶ ἐξαγώγιμα de mercibus. Wolf.

ἐξέσται δῶρα λαμβάνειν καθ' ὑμῶν, καὶ τὰ πρότερον δο-
κοῦντα πιστὰ καὶ βέβαια εἶναι νῦν ἄπιστα διὰ τὴν Δημο-
σθένους κρίσιν γενήσεται, ὃν ἐκ τῶν ἄλλων προσῆκεν ἀπο-
10 λωλέναι τῶν πεπολιτευμένων αὐτῷ, ὃς ἁπάσαις ταῖς ἀραῖς
ταῖς ἐν τῇ πόλει γενομέναις ἔνοχος καθέστηκεν, ἐπιωρκηκὼς
μὲν τὰς σεμνὰς θεὰς ἐν Ἀρείῳ πάγῳ καὶ τοὺς ἄλλους θεοὺς
οὓς ἐκεῖ διόμνυσθαι νόμιμόν ἐστι, κατάρατος δὲ καθ' ἑκά-
στην ἐκκλησίαν [1]γινόμενος ἐξεληλεγμένος δῶρα κατὰ τῆς 36
πόλεως εἰληφὼς, ἐξηπατηκὼς δὲ καὶ τὸν δῆμον καὶ τὴν
15 βουλὴν παρὰ τὴν ἀρὰν καὶ ἕτερα μὲν λέγων ἕτερα δὲ φρο-
νῶν, ἰδίᾳ δὲ συμβεβουλευκὼς Ἀριστάρχῳ δεινὰς καὶ παρα-
νόμους συμβουλὰς, [2]ἀνθ' ὧν — εἴπερ ἐστί που δικαία
τιμωρία κατὰ τῶν ἐπιόρκων καὶ πονηρῶν, ὥςπερ ἐστὶ —
δώσει δίκην οὗτος [3]ἐν τῇ τήμερον ἡμέρᾳ. ἀκούσατε, ἄνδρες
δικασταὶ, [4]τῆς ἀρᾶς.

ΑΡΑ.

ἀλλ' ὅμως, ἄνδρες δικασταὶ, οὕτω Δημοσθένης τῷ ψεύδε-
σθαι καὶ μηδὲν ὑγιὲς λέγειν ἑτοίμως χρῆται, καὶ οὔτ' αἰ- 37
20 σχύνης οὔτ' ἐλέγχου οὔτ' ἀρᾶς οὐδὲν αὐτῷ μέλει, ὥςτε καὶ
περὶ ἐμοῦ [5]τολμήσει λέγειν, ὡς ἀκούω, ὡς ἄρα κἀμοῦ
κατέγνω πρότερον ἡ βουλή· καὶ ποιῶ πάντων ἀτοπώτατον,
ὡς οὗτός φησι, πρότερον μὲν ἐναντίον τῇ τῆς βουλῆς ἀποφά-

[1] γενόμενος [2] αὖθις (εἴπερ [3] ἐν δὲ τῇ [4] τὰς ἀράς [5] τολμῆσαι

Ἐκ τῶν ἄλλων] Planius utique dixisset: ὅν, εἰ καὶ μὴ ἐκ ταύτης τῆς κατηγορίας, ἔκ γε τῶν — etiamsi hujus esset insons criminis, cujus nunc reus agitur, reliquis certe suis in republica moribus atque ausis ultimum meruit supplicium. Reisk.

Σεμνὰς θεὰς] Οὕτω καλοῦσιν Ἀθηναῖοι τὰς Ἐρινύας, Harpocrat. πλησίον δὲ [τοῦ Ἀρείου πάγου] ἱερὸν θεῶν ἐστὶν, ἃς καλοῦσιν Ἀθηναῖοι Σεμνάς· Ἡσίοδος δὲ Ἐρινῦς ἐν Θεογονίᾳ, Pausan. in Attic. l. i. c. 28. 6.

Παρὰ τὴν ἀρὰν] Τῆς ἀρᾶς καλουσύσης. Wolf.

Αὖθις] F. οὐκ αὖθις, τουτέστιν, ὕστερον μετὰ ταῦτα. Sequitur enim ἐν δὲ τῇ τήμερον ἡμέρᾳ. Idem. Recte Wolf, et melius, quam Stephanus in annotatione statim insecutura. Deest tamen adhuc ὧν et ἐς, ad hunc modum: — συμβουλὰς, ὧν οὐκ ἐς αὖθις — quorum suorum scelerum [redit enim ὧν non ad proximum συμβουλὰς, sed ad remotius τὰ Δημοσθένει πεπολιτευμένα, omnia Demosthenis in republica commissa furta et latrocinia] non postmodum dabit Demosthenes pœnas, sed hac ipsa die hodierna. Possit quoque οὐκ et ἐς omitti, modo ὧν teneatur. quorum postmodum pœnas dabit. Sed tum punctum post ἡμέρᾳ erit omittendum. hoc autem die audite Diras. Verum multo hoc mihi quidem accidit coactius. Reisk.

Ἐστὶ — δώσει δίκην οὗτος, ἐν δὲ τῇ] F. οὗτός ἐστι — δώσει δίκην ἐν τῇδε. Markland.

Ἐν δὲ τῇ τήμερον ἡμέρᾳ] Π. ἐν τῇδε τῇ τήμερον ἡμέρᾳ. Ἢ, ἐν τῇ τήμερον ἡμ. οὕτω γὰρ ἐν τοῖς ἑξῆς· ἐν τῇ τήμερον ἡμέρᾳ δικάζετε. H. Stephan.

ΑΡΑ] ΑΡΑΙ. Taylor. Markland.

Τολμῆσαι] In se malum et inconveniens hoc non est, verum insequens κατασκευάζων p. 294. 3. necessarium reddit, ut legatur ἐτόλμησε. Reisk.

σει ἀγῶνα ἀπολογούμενος ὑπὲρ ἐμαυτοῦ, νυνὶ δὲ συνηγορῶν αὐτῇ, κατηγορῶν τούτου περὶ τῆς γεγενημένης ἀποφάσεως· πρᾶγμα κατασκευάζων οὐ γεγενημένον, ἀλλὰ ψεύδεσθαι πρός τινας τολμῶν. ἵν' οὖν, ἐὰν ἐπὶ τοῦτον ἴῃ τὸν λόγον, μὴ 25 ἐπιτρέπητε αὐτῷ, ἀλλ' εἰδῆτε ἀκριβῶς ὅτι οὔτ' ἐμὲ ἀπέφηνεν ἡ βουλὴ οὔτ' ἐμέλλησεν, ἠδικήθην δὲ ὑφ' ἑνὸς ἀνθρώπου πονηροῦ καὶ δίκην δεδωκότος παρ' ὑμῖν, ἀκούσατέ μου βραχέα· ἔπειτ' ἐπὶ τοῦτον πάλιν βαδιοῦμαι.

θ'. Ἀνάγκη τὴν βουλήν, ὦ ἄνδρες, τὴν ἐξ Ἀρείου πάγου κατὰ δύο τρόπους ποιεῖσθαι τὰς ἀποφάσεις πάσας. τίνας τούτους; ἤτοι αὐτὴν προελομένην καὶ ζητήσασαν, ἢ τοῦ 30 38 δήμου προστάξαντος αὐτῇ. χωρὶς τούτων οὐκ ἔστιν ὅντινα τρόπον ποιήσειεν. εἰ μὲν τοίνυν φῂς, ὦ μιαρὸν σὺ θηρίον, τοῦ δήμου προστάξαντος ζητήσασαν τὴν βουλὴν περὶ ἐμοῦ ποιήσασθαι τὴν ἀπόφασιν, δεῖξον τὸ ψήφισμα, καὶ τίνες ἐγένοντό μου κατήγοροι γενομένης τῆς ἀποφάσεως, ὥςπερ νῦν ἀμφότερα γέγονε, καὶ ψήφισμα καθ' ὃ ἐζήτησεν ἡ βουλή, καὶ κατήγοροι χειροτονήσαντος τοῦ δήμου, παρ' ὧν νῦν οἱ 35 δικασταὶ τἀδικήματα συνθάνονται. κἂν ᾖ ταῦτα ἀληθῆ ἀποθνήσκειν ἕτοιμός εἰμι. εἰ δ' αὐτὴν προελομένην ἀποφῆναί με φῂς, παράσχου μάρτυρας τοὺς Ἀρεοπαγίτας, ὥςπερ ἐγὼ παρέξομαι ὅτι οὐκ [1] ἀπεφάνθην. καταψευσάμενον μέν- 39 τοι κἀμοῦ καὶ τῆς βουλῆς ὥςπερ σύ, καὶ πονηρὸν προδότην εἰσαγγείλας, καὶ ἐξελέγξας ἐν πεντακοσίοις [2] καὶ δισχιλίοις τῶν πολιτῶν ὅτι μισθώσας αὐτὸν Τιμοκλεῖ κατ' ἐμοῦ 40

[1] ἐφάνθην

[2] καὶ δισχιλίοις om.

Κατασκευάζων] In quo Demosthenes rem comminiscitur falsam, ementitam, quæ nunquam evenit, eamque speciosis argumentorum offuciis exornat. Idem.

Ὑφ' ἑνὸς ἀνθρώπου] Pistia. v. p. 295. 6. Idem.

Προελομένην καὶ ζητήσασαν] Tollendum videtur hoc καὶ. dictio προελομένην ζητήσασαν idem est atque ἐκ τῆς αὐτῶν προαιρέσεως ζητήσασαν, aut ζητήσασαν διὰ vel μετὰ τὸ προελέσθαι αὐτὴν ζητεῖν, verbo αἱθαιρέτως ζητήσασαν. Idem.

Ὥσπερ νῦν] Fero, *nunc*, h. e. in causa tua. Malim tamen, ut tanto clarior sit atque manifestior inter Demosthenem et Dinarchum oppositio: ὡς περὶ σοῦ (vel σὲ) νῦν. *ut nunc de* vel *super te*, in causa tua, utrumque evenit. Idem.

Περὶ ὧν] Παρ' ὧν. Wolf. Gruter.

Ἐφάνθην] Imo vero ἀπεφάνθην. De senatu, qui ex delegatione populi rem inquisivit, de ea ad populum refert, et reum a se aut sontem aut insontem renunciat, non φαίνειν, quod delatoris est, sed ἀποφαίνειν, neque φάνσιν, sed ἀπόφανσιν ποιεῖσθαι, usurpatur. Reisk.

Καταψηφισάμενον] F. καταψευσάμενον. Wolf. Gruter. *hominem malum, qui, ut tu fecisti, et de me et de Senatu mendacia commentus prodiderat.* Reisk.

Ὥσπερ σὺ] Scil. καταψεύσω κἀμοῦ καὶ τῆς βουλῆς. Visum tamen aliquando deesse vocabulum μιαρὸν, ut sic legatur: — βουλῆς, μιαρὸν, ὥσπερ σὺ, καὶ πονηρὸν πρ. *impurum, ut tu es, et malum* (perditum) *proditorem.* Idem.

ταῦτ' ἔπραξεν, ἐτιμωρησάμην μετὰ τῶν τότε δικασάντων. λάβε μοι σὺ τὴν μαρτυρίαν, ἣν καὶ πρότερον παρεσχόμην μαρτυρουμένην τοῖς δικασταῖς καὶ οὐδεὶς ἐπεσκήψατο ὡς ψευδεῖ οὔσῃ, ἣν καὶ νῦν παρέξομαι. λέγε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

εἶτ' οὐ δεινόν, ὦ Ἀθηναῖοι, εἰ, ὅτι μὲν εἷς ἀνὴρ ἔφησε Πιστίας Ἀρεοπαγίτης ὢν ἀδικεῖν με, καταψευδόμενος κἀμοῦ 40
97. 1 καὶ τῆς βουλῆς, ἴσχυσεν ἂν τὸ ψεῦδος τῆς ἀληθείας μᾶλλον, καὶ διὰ τὴν ἀσθένειαν τὴν τότε καὶ τὴν ἐρημίαν τὴν ἐμὴν ἐπιστεύθησαν αἱ κατ' ἐμοῦ ψευδεῖς γινόμεναι κατασκευαί· ἐπειδὴ δὲ τἀληθὲς παρὰ πάσης τῆς ἐξ Ἀρείου πάγου βουλῆς ὁμολογεῖται, Δημοσθένην εἰληφέναι εἴκοσι τάλαντα
5 χρυσίου καθ' ὑμῶν καὶ ταῦτα πεποιηκότα ἀδικεῖν, καὶ ὁ δημαγωγὸς ὑμῖν, ἐν ᾧ τὰς ἐλπίδας ἔχουσί τινες, ἐπ' αὐτοφώρῳ χρήματα λαμβάνων εἴληπται, νῦν τὰ νόμιμα τἀκεῖθεν καὶ τὰ δίκαια καὶ τἀληθῆ ἀσθενέστερα γενήσεται τῶν Δημοσθένους λόγων, καὶ ἰσχύσει μᾶλλον τῆς ἀληθείας ἡ παρὰ τούτου ῥηθησομένη κατὰ τοῦ συνεδρίου διαβολή, ὡς ἄρα πολλοὺς ἡ βουλὴ ἀπεπέφαγκεν ἀδικεῖν τὸν δῆμον, οἳ
10 ἀποπεφεύγασιν εἰσελθόντες εἰς τὸ δικαστήριον, καὶ ἡ βουλὴ ἐπ' ἐνίων τὸ πέμπτον μέρος οὐ μετείληφε τῶν ψήφων; τοῦτο δὲ ὃν τρόπον γίνεται, ῥᾳδίως ἅπαντες μαθήσεσθε. ἡ βουλή, ὦ ἄνδρες, ζητεῖ τὰ προσταχθέντα ὑφ' ὑμῶν καὶ τὰ γεγε- 41

Ἦν] Delendum videtur. quod testimonium *et ante* exhibui, *et nunc exhibeo*. Idem.

Παρέξομαι] Malim παρέχομαι. non enim promittit exhibiturum, sed jam exhibet. Idem.

Ὅτι μὲν] F. ὅτε μέν. Markland.

Εἷς ἀνὴρ] Verum hic cogita, si Timocles homo privatus unum Areopagitam corrumpere potuit, an non Macedones et Macedonici proditores totum senatum corrumpere potuerint Græcæ nationis, quæ nunquam, uti ait Cicero, jurisjurandi religionem coluit. Wolf. Demosthenis sui nusquam non studiosus est bonus Wolfius. Argumentum Dinarchi, sic satis speciosum, infringit alio suo, non minus probabili neque minus acute excogitato. Facile, ait, fieri potuit, ut, quamvis totus Senatus Areopagiticus Demosthenem largitionum et peculatus insimularet, nihilo tamen minus mentiretur. Potuerunt enim illi senatores omnes a Macedonibus et partium Macedonicarum studiosis empti atque subornati fuisse, ut bonum Demosthenem, virum castissimum atque sanctissimum, turpissima criminatione obruerent, nullam aliam rationem invenientes eum de medio tollendi, quem capitali odio persequerentur. De Pistia v. quæ collegit Valesius ad Harpocr, p. 32. Reisk.

Ἴσχυσεν ἂν] Ὑποθετικῶς καὶ ἐλλειπτικῶς, εἰ μὴ ἄρα ἐξήλεγξα ψευσάμενον τὸν Πιστίαν, ἄπιστον καὶ ψευδομάρτυρα γενόμενον. Wolf.

Γεγενημένα] Id est κεκριμένα, vel εὑρημένα, vel ἔγνωσμένα. *deprehensa, noscitata.* Dictio τὸ γιγνόμενον significat id, quod necessario ex altera quapiam re exsistit, ut effectum e causa, petita ex Arithmetica, ubi summa universa numerorum omnium e singulis particularibus summis collectis existens est τὸ γιγνόμενον. Reisk.

νημένα παρ' αὐτοῖς ἀδικήματα οὐχ ὡς ὑμεῖς — καί μοι μὴ ὀργισθῆτε — δικάζειν ἐνίοτε εἰθισθε, τῇ [1]συγγνώμῃ πλέον ἢ τῷ δικαίῳ ἀπονέμοντες, ἀλλ' ἁπλῶς τὸν ἔνοχον 15 ὄντα τοῖς ζητουμένοις καὶ τὸν ὁποιονοῦν ἠδικηκότα τὰ πάτρια, νομίζουσα τὸν ἐν τοῖς μικροῖς συνεθιζόμενον ἀδι-
42 κεῖν τοῦτον τὰ μεγάλα τῶν ἀδικημάτων εὐχερέστερον [2]προσδέξεσθαι. διόπερ τὸν παρ' αὐτῶν ἀποστερήσαντα τὸ ναῦλον τὸν πορθμέα ζημιώσασα, πρὸς ὑμᾶς ἀπέφηνε· πάλιν τὸν τὴν πεντεδραχμίαν ἐπὶ τῷ τοῦ μὴ παρόντος ὀνόματι λαβεῖν ἀξιώσαντα, καὶ τοῦτον ὑμῖν ἀπέφηνε, καὶ 20
43 τὸν τὴν μερίδα τὴν ἐξ Ἀρείου πάγου τολμήσαντα ἀποδόσθαι [3]παρὰ τὰ νόμιμα τὸν αὐτὸν τρόπον ζημιώσασα ἐξέβαλε. τούτους ὑμεῖς κρίναντες ἀφήκατε οὐ τῆς ἐξ Ἀρείου πάγου βουλῆς καταγινώσκοντες ψεύδεσθαι, ἀλλὰ τῇ συγγνώμῃ μᾶλλον ἢ τῷ δικαίῳ προσθέμενοι, καὶ τὴν τιμωρίαν μείζω νομίζοντες εἶναι τῆς ὑπὸ τῶν κρινομένων γεγενημένης ἁμαρτίας. ἦ που ἄρα ἡ βουλή, Δημόσθενες, τὰ ψευδῆ ἀπέφηνεν; οὐ δήπου. τούτους μέντοι, ὦ ἄνδρες, καὶ τοιού- 25 τους ἑτέρους ἀδικεῖν παρ' ἑαυτῆς ἀποφηνάσης τῆς βουλῆς

[1] γνώμῃ [2] προσδέξασθαι [3] παρὰ om.

Παρ' αὐτοῖς] F. παρ' αὐτῇ. Wolf. Ad βουλὴ referens. Sed bene habet vulgata, referenda ad sententiam, apud se, Areopagitas puta. v. versu 7. Reisk.

Τῇ γνώμῃ] F. τῇ συγγνώμῃ. Wolf. Fui egometipse quoque olim eadem in sententia, motus locis similibus. v. v. 14. p. 297. 14. et 20. Sed bene vulgata aut habet h. l. aut habere potest. γνώμη est *voluntas, studium alicujus in aliquem, animi propensio.* Reisk.

Ζητουμένοις] F. ζητουμένοις ἀποφαίνει. Wolf.

Ὁποιονοῦν] F. ὁποιωσοῦν. Wolf. Nulla necessitate. bene habet vulgata. Reisk.

Νομίζουσα] Forte fuit in antiquis libris sic: τὸν ἔνοχον ὄντα τοῖς ζητουμένοις καὶ τὸν ὁποιονοῦν τι ἠδικηκότα κατὰ τὰ πάτρια κολάζει, νομίζουσα — v. p. 98. ed. Steph. Idem.

Προσδέξωσθαι] Π. προσδέξεσθαι. H. Stephan. Ne hic quidem loci est, quod nos a vulgata discedere cogat. Aoristus sæpissime futuri vices gerit. Reisk.

Τὸν παρ' αὐτῶν] Τὸ παρ' αὐτῶν fortasse redundat. Me certe quid ad sensum faciat non intelligere fateor. nisi forte naulum ab Areopagitis datum ille retinuerit. Wolf. Sententia plana est paulum modo animum attendenti. Senatus areopagiticus aliquem e collegio suo mulctaverat, qui vecturam naviculario debitam negasset. Ipse Wolf hoc vidit, et recte in Latinis reddidit. Reisk.

Τὴν πεντεδραχμίαν — τὴν μερίδα] Historias hic desidero et instituta Attica. Wolf.

Ἀποδόσθαι, τὰ νόμιμα] F. ἀπ. παρὰ τὰ νόμ. Idem. Errat bonus Wolfius. παρὰ, quod intrudit, alienum est. τὰ νόμιμα cohæret cum ζημιώσασα. ζημιοῦν τινὰ τὰ νόμιμα est *mulctare aliquem solenni modo et ritu.* Subauditur κατά. Dicasteria Athenis mulctarum, quas infligere liceret ipsis, certos habebant modos et ritus, quos haud liceret excedere. Pluris si æstimaretur crimen, debebat ea res ad populum referri, qui mulctam aut pœnam majorem reo infligeret, præter illam mulctam legitimam a tribunali antea inflictam. Res e Demosthenis locis compluribus nota. Reisk.

Παρ' ἑαυτῆς] Malim: παρ' ἑαυτῇ. *in judicio suo.* Crebra ista sunt ἐν vel παρ' ὑμῖν ἀπέφυγε vel ἑάλω. ἀδικεῖ τις παρ' ἐμοὶ significat *penes me aliquis delinquit,* h. e. ego censeo eum delinquere, mihi videtur in culpa esse, παρ' ἐμοὶ κριτῇ ἐστὶν ἄδικος. Idem.

ὑμεῖς ἀφήκατε. Πολύευκτον δὲ τὸν Κυδαντίδην τοῦ δήμου προστάξαντος ζητῆσαι τὴν βουλὴν, εἰ [1]συνέρχεται τοῖς φυγάσιν εἰς Μέγαρα, καὶ ζητήσασαν ἀποφῆναι πρὸς ὑμᾶς, ἀπέφηνεν ἡ βουλὴ συνιέναι. κατηγόρους εἵλεσθε κατὰ τοὺς νόμους, εἰσῆλθεν εἰς τὸ δικαστήριον, ἀπελύσαθ' ὑμεῖς, ὁμο-
30 λογοῦντος Πολυεύκτου βαδίζειν εἰς Μέγαρα ὡς τὸν Νικοφάνην· ἔχειν γὰρ τὴν αὐτοῦ μητέρα τοῦτον. οὐδὲν οὖν ἄτοπον οὐδὲ δεινὸν ἐφαίνετο ποιεῖν ὑμῖν τῷ τῆς μητρὸς ἀνδρὶ διαλεγόμενος ἠτυχηκότι καὶ συνευπορῶν, καθ' ὅσον δυνατὸς ἦν, ἀπεστερημένῳ τῆς πατρίδος. αὕτη, Δημόσθενες, τῆς βουλῆς ἡ ἀπόφασις οὐκ ἐξηλέγχθη ψευδὴς οὖσα, ἀληθινῆς 44
δὲ αὐτῆς οὔσης ἔδοξε τοῖς δικασταῖς ἀφιέναι τὸν Πολύευκτον·
35 τὸ μὲν γὰρ ἀληθὲς τῇ βουλῇ προσετάχθη ζητεῖν, τὸ δὲ συγγνώμης ἄξιον ἢ μὴ τὸ δικαστήριον ἔκρινε. διὰ τοῦτο οὐ πιστευτέον τῇ βουλῇ περὶ τῶν [2]γενομένων ἀποφάσεων, ἐπειδή σε καὶ τοὺς μετὰ σοῦ τὸ χρυσίον ἔχοντας ἀπωπέφαγκε; δεινὸν μέντ' ἂν εἴη. δεῖξον γὰρ τοῖς δικαστοῖς σὺ, Δημόσθενες, [3]νυνὶ ὡς τούτων τι τῶν ἡμαρτηκότων ὅμοιόν ἐστι τοῖς σοῖς ἀδικήμασι, καὶ ὡς τὸ δῶρα λαμβάνειν κατὰ τῆς
40 πατρίδος συγγνώμης ἐστὶν ἄξιον, ὥστε ἀποφύγοις ἂν παρὰ τούτοις εἰκότως. ἀλλ' οἱ νόμοι περὶ μὲν τῶν ἄλλων ἀδικημάτων τῶν εἰς ἀργυρίου λόγον ἀνηκόντων διπλῆν τὴν βλάβην ὀφείλειν κελεύουσι, περὶ δὲ τῶν δωροδοκούντων δύο μόνον τιμήματα πεποιήκασιν, ἢ θάνατον, ἵνα ταύτης τυχὼν τῆς ζημίας ὁ λαβὼν παράδειγμα [4]γίνηται τοῖς ἄλλοις, ἢ δεκαπλοῦν τοῦ ἐξ ἀρχῆς λήμματος τὸ τίμημα τῶν δώρων, ἵνα μὴ λυσιτελὲς ᾖ τοῖς τοῦτο τολμῶσι ποιεῖν.

98. 1 ι'. Ἢ τοῦτο μὲν οὐκ ἐπιχειρήσεις λέγειν, ὅτι δὲ τῶν 45
πρότερον ἀποφανθέντων ὑπὸ τῆς βουλῆς, τοῖς μὲν ἄλλοις ὡμολογηκέναι συμβέβηκεν ἀξίαν εἶναι τὴν τῆς βουλῆς ζή-

[1] συνεισέρχεται [2] γινομένων [3] τὰ νυνὶ [4] γένηται

Πολύευκτον] Hic est ille Polyeuctus Cydantides, adversus quem orationem scripsit Hyperides, laudatam ab Harpocratione v. Κυδαντίδης. IDEM.

Ἄξιον, φησὶ τὸ δικαστήριον] Sic dant editiones omnes. Ego de meo dedi: ἄξιον, ἢ μὴ, τὸ δ. *quid autem venia dignum esset, quid minus, de hoc judicium publicum populi statuebat.* IDEM.

Παρὰ τούτοις] Apud hos judices, in hoc judicio, in quo populus ipse per D. viros, aut per M., aut MD. causam hanc disceptat. IDEM.

Προτέρων] πρότερον. SCALIG.

Ἀξίαν] F. ἀληθῆ, aut ἀποδοχῆς ἀξίαν, aut potius ἀξιόπιστον. WOLF. Bene habet vulgata. ἄξιος h. l. est, aut magnificiendum, in honore habendum, aut, ista tri-

τησιν, σοὶ δὲ μόνῳ τὰ περὶ αὐτῆς ἠναντιῶσθαι. ἀλλὰ μόνος
σὺ τῶν πώποτε ἀποπεφασμένων ἠξίωσας ἑκὼν σεαυτῷ
τούτους κριτὰς καὶ ζητητὰς γενέσθαι, καὶ ἔγραψας κατὰ
σαυτοῦ τὸ ψήφισμα, καὶ τὸν δῆμον ἐποιήσω μάρτυρα τῶν 5
46 [1] ὡμολογημένων, ὁρισάμενος σεαυτῷ ζημίαν εἶναι θάνατον,
ἐὰν ἀποφήνῃ ἡ βουλὴ τῶν χρημάτων εἰληφότα τι τῶν εἰς
τὴν χώραν ὑπὸ Ἁρπάλου κομισθέντων. ἀλλὰ μὴν πρότερον
ἔγραψας σύ, ὦ Δημόσθενες, κατὰ πάντων τούτων καὶ τῶν
ἄλλων Ἀθηναίων κυρίαν εἶναι τὴν ἐξ Ἀρείου πάγου βουλὴν
κολάσαι τὸν παρὰ τοὺς νόμους πλημμελοῦντα, χρωμένην 10
τοῖς πατρῴοις νόμοις· καὶ παρέδωκας σὺ καὶ ἐνεχείρισας
τὴν πόλιν ἅπασαν ταύτῃ, ἣν αὐτίκα φήσεις ὀλιγαρχικὴν
εἶναι· καὶ τεθνᾶσι κατὰ τὸ σὸν ψήφισμα δύο τῶν πολιτῶν,
πατὴρ καὶ υἱός, παραδοθέντες τῷ ἐπὶ τῷ ὀρύγματι· ἐδέδη
τῶν ἀφ' Ἁρμοδίου γεγονότων εἷς κατὰ τὸ σὸν πρόσταγμα·
ἐστρέβλωσαν Ἀντιφῶντα καὶ ἀπέκτειναν οὗτοι τῇ τῆς βου-
λῆς ἀποφάσει πεισθέντες· ἐξέβαλες σὺ Ἀρχῖνον ἐκ τῆς πό- 15
47 λεως ἐπὶ προδοσίᾳ κατὰ τὰς τῆς βουλῆς ἀποφάσεις καὶ
τιμωρίας. κατὰ δὲ σαυτοῦ καὶ ταῦτα γράψας αὐτὸς τὸ
ψήφισμα ἀκυροῖς; καὶ ποῦ ταῦτα δίκαια ἢ νόμιμά ἐστι;

[1] ὁμολογουμένων

bunalis sanctissimi severitate famaque dignum. Reisk.

Τὰ περὶ αὐτῆς] F. τοῖς παρ' αὐτῆς. Constructio hæc est. σοὶ δὲ μόνῳ συμβέβηκεν ὥστε ἠναντιώθης. σὺ μόνος ἐτύγχανες ἐναντιούμενος τοῖς παρ' αὐτῆς, scil. ἀποπεφασμένοις. Wolf. De παρ' αὐτῆς recte monet. Sic enim leg. est, in reliquis aberrat a vero. Sententia hæc est: Licetne hoc excusare, quod, cum reliqui omnes, hujus tribunalis sententia perculsi, in auctoritate ejus acquieverint, tu unus auctoritatem ejus detrectaveris? Neutiquam. Imo vero tu unus omnium maxime auctoritati Senatus Areopagitici prædicandæ et confirmandæ studuisti, ipsumque temet tuasque fortunas ei permisisti. Paulo quidem involutius prodidit Dinarchus h. l. animi sui sensa, hæc tamen illa esse, quæ dixi, ex universo loci statu apparet. Reisk.

Ὡμολογουμένων] F. ὡμολογημένων. Wolf. Π. ὡμολογημένων. Ἢ ὁμολογουμένων. H. Stephan.

Πατρῴοις] F. πατρίοις. Sæpe enim hæc inter se permutantur. Wolf. Procul dubio recte conjecit. Sæpe autem ista duo inter se permutari, haud memini. Reisk.

Τῷ ἐπὶ τῷ ὀρύγματι] Scil. ὄντι, ἴσως τῷ ἐπὶ τῷ βαράθρῳ, τῷ δημίῳ. Wolf. Harpocrat. ὄρυγμα ἰδίως οὕτως ἐκαλεῖτο, ἐφ' οὗ οἱ κακοῦργοι ἐκολάζοντο Ἀθήνησι. et Pollux: ὁ παραλαμβάνων τοὺς ἀνῃρημένους καλεῖται δήμιος, δημόκοινος, ὁ πρὸς τῷ ὀρύγματι. Lycurgo tamen cum Dinarcho dicitur ὁ ἐπὶ τῷ ὀρύγματι.

Τῶν ἀφ' Ἁρμοδίου γεγονότων εἷς] Est Antipho, qui statim post nominatur. tu jubebas Antiphontem, ab Harmodio genus ducentem, in vincula dari. vinctum Areopagitæ tormentis subjiciebant, et post, ab Areopagitis reum declaratum, populus occidi jussit. Reisk.

Καὶ τιμωρίας] Aut excidit aliquid, aut leguntur hæc loco alieno, non suo. Prius si sit, integrari possit locus sic ferme: καὶ ἄλλοι πολλοὶ τὰς αἰσχίστας ὑπέμειναν διά σε τιμωρίας. *aliique multi propter te*, h. e. propter illas tuas magnificas et insolentes adeo de Areopagitici senatus auctoritate atque sanctitate prædicationes, *supplicia tolerarunt turpissima*. Sin po-

ια΄. Μαρτύρομαι τὰς σεμνὰς θεὰς, [1] ὦ ἄνδρες Ἀθηναῖοι,
καὶ τὸν τόπον ὃν ἐκεῖναι κατέχουσι, καὶ τοὺς ἥρωας τοὺς ἐγ-
χωρίους, καὶ τὴν Ἀθηνᾶν τὴν πολίτιδα, καὶ τοὺς ἄλλους
20 θεοὺς οἱ τὴν χώραν καὶ τὴν πόλιν ἡμῶν εἰλήχασιν, ὅτι τοῦ
δήμου παραδεδωκότος ὑμῖν [2] τιμωρήσασθαι τὸν εἰληφότα τι
κατὰ τῆς πατρίδος, τὸν λελυμασμένον καὶ ἐφθαρκότα τὴν 48
τῆς πόλεως εὐδαιμονίαν, τὸν περικεχαρακωμένην παραδε-
δωκότα τὴν πατρίδα ταῖς αὐτοῦ συμβουλίαις, ὃν οἱ μὲν
ἐχθροὶ καὶ κακόνοι τῆς πόλεως ζῆν ἂν βούλοιντο, συμφο-
ρὰν ἡγούμενοι τῆς πόλεως εἶναι, ὅσοι δὲ εὔνοι τοῖς [3] ὑμετέροις
25 πράγμασι, καὶ μεταπεσούσης τῆς τύχης ἐλπίζουσιν ἐπὶ
τὸ βέλτιον ἂν τὰ τῆς πόλεως πράγματα ἐλθεῖν, τὴν ἀξίαν
δίκην δόντα τῶν πεπραγμένων ἀπολωλέναι βούλονται, καὶ
ταῦτ᾽ εὔχονται τοῖς θεοῖς· οὓς κἀγὼ συμπαρακαλῶ σῶσαι
τὴν πατρίδα, κινδυνεύουσαν ὁρῶν ὑπὲρ σωτηρίας, ὑπὲρ
παίδων, ὑπὲρ γυναικῶν, ὑπὲρ δόξης, ὑπὲρ τῶν ἄλλων
30 ἀγαθῶν ἁπάντων. τί γὰρ ἐρούμεν, ὦ Ἀθηναῖοι, πρὸς τοὺς
περιεστηκότας ἐξελθόντες ἐκ τοῦ δικαστηρίου, ἐὰν — ὃ
μὴ γένοιτο — παρακρουσθῆτε ὑπὸ τῆς τούτου γοητείας;
τίσιν ὀφθαλμοῖς ἕκαστος ὑμῶν τὴν πατρῴαν ἑστίαν οἴκαδε
ἀπελθὼν ἰδεῖν τολμήσειεν, ἀπολελυκότες μὲν τὸν προδότην
τὸν πρῶτον εἰς τὸν ἴδιον [4] οἶκον εἰσενεγκάμενον τὸ δεδωρο-
δοκημένον χρυσίον, κατεγνωκότες δὲ μηδὲν ἀληθὲς μηδὲ
35 ζητεῖν μήθ᾽ εὑρίσκειν τὸ παρὰ πᾶσιν ἀνθρώποις εἶναι
σεμνότατον νομιζόμενον συνέδριον; τίνας δὲ, ὦ Ἀθηναῖοι
— σκοπεῖτε γὰρ πρὸς ὑμᾶς αὐτοὺς —, τίνας [5] τὰς ἐλπί-
δας ἕξομεν, ἐὰν κίνδυνός τις καταλάβῃ τὴν πόλιν, τὸ μὲν 49
δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος, ἀσφαλὲς εἶναι πε-

[1] ὦ om. [2] οὐκ ἐτιμωρήσασθε [3] ἡμετέροις [4] οἶκον om.
[5] τὰς om.

sterius malis, colloca ista duo vocabula pone σαυτοῦ, ad hunc modum: κατὰ δὲ σαυτοῦ τὰς τιμωρίας (καὶ ταῦτα γράψας αὐτὸς τὸ ψήφισμα) ἀκυροῖς. contra temet ipsum autem ratas pœnas irritas facis, tu, qui ipse decreti fueris auctor, quo decreto senatui Areopagitico mandatur provincia in te inquirendi, potestasque datur de te pronuntiandi, atque ad populum referendi. Idem.

Μαρτύρομαι] Malim μαρτυροῦμαι, quia de re futura ὑποθετικῶς loquitur. Wolf. Fallitur. Non dicitur μαρτυρεῖσθαί τινα, sed μαρτύρεσθαι, pro *obtestari, contestari fidem alicujus.* Reisk.

Πολίτιδα] Malim πολιάδα, quam πολιοῦχος alias dicitur. Wolf. Recte. πολίτις est *civis* fœmina, quod de Dea non usurpatum est. Reisk.

Εἰς τὸν ἴδιον] F. A. εἰς τὸν ἴδιον οἶκον. Sed malim εἰς τὸν οἶκον. Wolf. Π. εἰς τὸν ἴδιον οἶκον. H. Stephan. Sine dubio prius verius, addendum scil. esse οἶκον ad εἰς τὸν ἴδιον. Reisk.

ποιηκότες, τὸ δὲ τὴν φυλακὴν ἔχον συνέδριον τῆς πόλεως ἐν τοῖς τοιούτοις κινδύνοις ἀδόκιμον καταστήσαντες; τί δ' ἂν — τιθῶμεν γὰρ ταῦτα —, ἐὰν κατὰ τὸ ψήφισμα τὸ 40 Δημοσθένους ἀπαιτῇ πέμψας ἡμᾶς Ἀλέξανδρος τὸ χρυσίον τὸ κομισθὲν εἰς τὴν χώραν ὑπὸ Ἁρπάλου, καὶ πρὸς τῷ γεγενῆσθαι τὴν τῆς βουλῆς ἀπόφασιν τοὺς παῖδας καταπέμψῃ πρὸς ἡμᾶς τοὺς νῦν ὡς ἑαυτὸν ἀνακεκομισμένους, καὶ τούτων ἀξιοῖ πυνθάνεσθαι τὴν ἀλήθειαν ὑμᾶς, πρὸς θεῶν, ὦ ἄνδρες, τί ἐροῦμεν; γράψεις σύ, Δημόσθενες, πολεμεῖν ἡμᾶς, ἐπειδὴ καὶ τοὺς πρότερον πολέμους καλῶς 50 διώκησας; καὶ πότερόν ἐστι δικαιότερον, ἂν ταῦτα δόξῃ 99. 1 καὶ τοῖς ἄλλοις Ἀθηναίοις, εἰς τὸν πόλεμον ὑπάρχειν μετὰ τῶν ἄλλων καὶ τὸ παρὰ σοῦ χρυσίον, ἢ τοὺς μὲν ἄλλους ἀπὸ τῶν ἰδίων κτημάτων ἕκαστον εἰσφερειν, καὶ καταχωνεύειν τὸν ἴδιον κόσμον τῶν γυναικῶν, καὶ τὰ ἐκπώματα, καὶ πάντα τὰ ἐν τῇ χώρᾳ ἀναθήματα τῶν θεῶν, ὥςπερ 5 ἔφησθα σὺ γράψειν, αὐτὸς εἰσενεγκὼν πεντήκοντα δραχμὰς ἀπὸ τῆς οἰκίας τῆς ἐν Πειραιεῖ, καὶ τῆς ἐν ἄστει; τοσοῦτον γὰρ κατὰ τὴν προτέραν εἰσφορὰν εἰσενηνοχώς, εἴκοσι τάλαντα ἔχεις. ἢ πολεμεῖν μὲν οὐ γράψεις, ἀποδιδόναι δὲ κατὰ τὸ γεγραμμένον ὑπὸ σοῦ ψήφισμα κελεύσεις Ἀλεξάνδρῳ τὸ κεκομισμένον χρυσίον; οὐκοῦν ὑπὲρ σοῦ τὸν δῆμον ἀποδιδόναι δεήσει. καὶ ποῦ τοῦτ' ἐστὶ δίκαιον ἢ κοινὸν ἢ δημοτικόν, τοὺς μὲν ἐργαζομένους εἰσφέρειν, σὲ δὲ 10 ἁρπάζειν; καὶ τοὺς μὲν φανερὰν κεκτῆσθαι τὴν οὐσίαν καὶ ἀπὸ ταύτης εἰσφέρειν, σὲ δὲ πλείω ἢ πεντήκοντα καὶ ἑκατὸν τάλαντα, τὰ μὲν ἐκ τῶν βασιλικῶν, τὰ δὲ ἐκ τῶν Ἀλεξάνδρου πραγμάτων. [1] εἰληφέναι, μηδὲν [2] δὲ φανερὸν

[1] εἰληφότα [2] δὲ om.

Τί δ' ἂν] In τί δ' ἂν subauditur γένοιτο, nisi malis e versu ultimo ἐροῦμεν subaudiri. Idem.

Ταῦτα] Post ταῦτα videtur τούτοις addendum. *his*, judicibus puta. Idem.

Πρὸς τῷ γεγενῆσθαι] Malim πρὸς τὸ γενέσθαι. quo expeditius et certius pronunciare de crimine possit senatus Areopagiticus. Idem.

Τοὺς παῖδας καταπέμψῃ] Fortasse ministri Harpali sunt intelligendi. Wolf. Aut etiam obsides Atheniensium, ab illis fidei ergo Alexandro traditi, et ab hoc in Asiam abducti. qui cum Alexandrum, quoquo locorum iret, comitarentur, scire poterant omnia, quæcunque in comitatu ejus evenirent. Reisk.

Γράψεις] Malim γράψεις. Wolf. Π. γράψεις. Οὕτω καὶ ὀλίγῳ ὕστερον· ἢ πολεμεῖν μὲν οὐ γράψεις. H. Stephan.

Γράφειν] F. γράφων. Wolf. Π. γράψειν. H. Stephan.

Κελεύσεις] Π. κελεύσεις. Idem.

Πραγμάτων] F. χρημάτων. Wolf. Vulgata bene habet. Reisk.

ἐν τῇ πόλει κεκτῆσθαι, ἀλλὰ διεσκευάσθαι πρὸς τὸν δῆμον 51
ὡς οὐ πιστεύοντα τοῖς ἑαυτῷ πολιτευομένοις; καὶ τοὺς
15 μὲν νόμους προλέγειν τῷ ῥήτορι καὶ τῷ στρατηγῷ, τὴν
παρὰ τοῦ δήμου πίστιν ἀξιοῦντι λαμβάνειν, παιδοποιεῖ-
σθαι κατὰ τοὺς νόμους, γῆν ἐντὸς ὅρων κεκτῆσθαι, πάσας
τὰς δικαίας πίστεις παρακαταθέμενον οὕτως ἀξιοῦν προε-
στάναι τοῦ δήμου· σὲ δὲ τὴν πατρῴαν γῆν πεπρακέναι,
τοὺς δὲ οὐ γεγενημένους υἱεῖς σαυτῷ προσποιεῖσθαι παρὰ
τοὺς νόμους τῶν ἐν ταῖς κρίσεσιν ἕνεκα γινομένων ὅρκων,
20 ἐπιτάττειν δὲ [1] τοῖς ἄλλοις στρατεύεσθαι λιπόντα αὐτὸν
τὴν κοινὴν τάξιν.

ιβ'. Ὦ Ἀθηναῖοι, παρὰ τί οἴεσθε τὰς πόλεις ποτὲ
μὲν εὖ ποτὲ δὲ φαύλως πράττειν; οὐδὲν εὑρήσετε ἄλλο
πλὴν παρὰ τοὺς συμβούλους καὶ τοὺς ἡγεμόνας. ἐπιβλέ-
ψατε γὰρ ἐπὶ τὴν Θηβαίων πόλιν. ἐγένετο πόλις, ἐγένετο
μεγίστη, [2] καὶ τίνων τυχοῦσα ἡγεμόνων καὶ στρατηγῶν;
ἅπαντες [3] ἂν ὁμολογήσαιεν [4] [οἱ] πρεσβύτεροι — παρ' 52
ὧνπερ κἀγὼ τοὺς λόγους ἀκούων ἐρῶ — ὅτε Πελοπίδας,
25 ὡς φασὶν, ἡγεῖτο τοῦ ἱεροῦ λόχου καὶ Ἐπαμεινώνδας ἐστρα-
τήγει καὶ οἱ μετὰ τούτων, τότε τὴν ἐν Λεύκτροις μάχην
ἐνίκησεν ἡ τῶν Θηβαίων πόλις, τότε εἰς τὴν ἀπόρθητον
νομιζομένην εἶναι Λακεδαιμονίων χώραν εἰσέβαλον, κατ'
ἐκείνους τοὺς χρόνους πολλὰ καὶ καλὰ διεπράξαντο ἔργα,
Μεσσήνην τετρακοσιοστῷ ἔτει κατῴκισαν, Ἀρκάδας αὐ-
30 τονόμους ἐποίησαν, ἔνδοξοι παρὰ πᾶσιν ἦσαν. πότε δ' αὖ
τοὐναντίον ταπεινὰ καὶ τοῦ φρονήματος ἀνάξια διεπρά-

[1] τοῖς om. [2] καί τινων [3] γὰρ [4] [οἱ] om.

Διεσκευάσθαι] Χωρίσαι τὴν σαυτοῦ οὐσίαν τῆς τοῦ δήμου οὐσίας. Wolf. Ita te gerere erga plebem, ac si decoxisses, foro cessisses, neque quicquam amplius ærario conferre posses, etiamsi velles. Reisk.

Στρατηγῷ τὴν] Interponendum videtur τῷ. Idem.

Παιδοποιεῖσθαι κ. τ. λ.] Cf. Petit. Legg. Att. l. iii. tit. ii. §. 18.

Κρίσεσιν] Fortasse pertinet hoc ad consuetudinem illam, de qua est in tutoriis actionibus ὀμνύναι κατὰ τῶν παίδων παραστησάμενον. Wolf.

Αὐτὸν] L. αὐτὸν. Markland.

Πόλιν etc.] H. πόλιν. πότε ἐγένετο πόλις; πότε ἐγένετο μεγίστη; καὶ τίνων τυχοῦσα ἡγεμόνων καὶ στρατηγῶν. H. Stephan. Haud equidem improbem, sic scriptum si inveniam: verumtamen nil video, cur non vulgata perinde feratur. Reisk.

Ὁμολογήσαιεν πρεσβύτεροι] Interponi velim hæc duo ἂν οἱ. Idem.

Μεσσήνην τετρακοσιοστῷ] V. Lycurg. p. 155. ed. Steph. ubi Μεσσήνην πεντακοσίοις ἔτεσιν ὕστερον. Idem.

Τοῦ φρονήματος] Inter hæc duo vocabula intermedium aliquod excidit, sive id ἑαυτῶν, sive πρότερον est, sive simile aliud quodpiam. Idem.

ξαντο; ὅτ' ἐδωροδόκει μὲν λαμβάνων χρήματα παρὰ
[1]Φιλίππου Τιμόλαος ὁ [2]τούτου φίλος, ἐπὶ δὲ τοῖς ξένοις
53 τοῖς εἰς Ἀμφισσαν συλλεγεῖσι Πρόξενος ὁ προδότης ἐγένετο,
ἡγεμὼν [3]δὲ τῆς φάλαγγος [4]κατέστη Θεαγένης, ἄνθρωπος
ἀτυχὴς καὶ δωροδόκος ὥςπερ οὗτος. τότε διὰ τρεῖς γε ἀνθρώ-
πους οὓς εἶπον ἅπασα ἡ πόλις μετὰ τῶν Ἑλλήνων ἁπάν- 35
των ἀπώλετο καὶ [5]διεφθάρη. οὐ γὰρ ψεῦδός ἐστιν ἀλλὰ καὶ
λίαν ἀληθὲς τὸ τοὺς ἡγεμόνας αἰτίους ἁπάντων γίνεσθαι
καὶ τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων τοῖς πολίταις. θεωρή-
σατε δὴ πάλιν καὶ ἐπὶ τῆς ἡμετέρας πόλεως, τὸν αὐτὸν
54 τρόπον ἐξετάσαντες. ἡ πόλις ἡμῶν ἦν μεγάλη καὶ ἔνδοξος
παρὰ τοῖς Ἕλλησι καὶ τῶν προγόνων ἀξία, μετά γε τὰς
ἀρχαίας ἐκείνας πράξεις, ὅτε Κόνων, ὡς οἱ πρεσβύτεροι 40
λέγουσιν, ἐνίκησε τὴν ἐν Κνίδῳ ναυμαχίαν, ὅτε Ἰφικράτης
ἀνεῖλε τὴν Λακεδαιμονίων μόραν, ὅτε Χαβρίας ἐν Νάξῳ
κατεναυμάχησε τὰς Λακεδαιμονίων τριήρεις, ὅτε Τιμό-
θεος τὴν ἐν Κερκύρᾳ ναυμαχίαν ἐνίκησε. τότε, ὦ Ἀθη-
ναῖοι, τότε οἱ μὲν πρότερον ὄντες λαμπροὶ διὰ τοὺς ἡγε-
μόνας Λακεδαιμόνιοι καὶ ὑπὸ τοῖς ἐκείνων ἤθεσι τραφέντες
ταπεινοὶ πρὸς τὴν πόλιν ἡμῶν ἧκον, δεόμενοι τῆς παρὰ τῶν
προγόνων ἡμῶν σωτηρίας, ὁ δὲ καταλυθεὶς ὑπ' ἐκείνων δῆ- 100.

[1] τοῦ Φιλ. [2] τούτων [3] δὲ om. [4] κατεστάθη [5] συνδιεφθάρη

Τούτων] F. τούτου, Demosthenis puta. Sin τούτων bene habet, significat τῶν δωροδοκούντων κατὰ τῆς πατρίδος. Wolf. Demosthenis puta et quotquot ei sunt criminis participes, et causæ defensores, Demades, Polyeuctus, cæteri complices. Reisk.

Ἐπὶ δὲ τοῖς ξένοις] Ordo: ὅτε Πρόξενος ὁ προδότης ἐγένετο ἐπὶ τοῖς ξένοις τοῖς εἰς Ἀμφισσαν συλλεγεῖσι. Intelligenda sunt hæc de Phocensi bello, quod et Amphissense a primaria Phocidis urbe dicitur. ἐγένετο ἐπὶ τοῖς ξένοις, id est, ἡγήσατο τῶν ξένων ἢ ἐστρατήγησεν αὐτῶν. Alius fuit Proxenus Atheniensium dux, cujus fit apud Demosthenem et in Philippicis historiis mentio; etsi et illum mulctatum esse ab Atheniensibus tradit Ulpianus. Wolf. Proxenus ille, cujus sæpe mentionem facit Demosthenes, erat Atheniensis; hic autem, de quo Dinarchus h. l. commemorat, erat aut Thebanus aut certe non Atheniensis. ἐπὶ τοῖς ξένοις, in castris ad Amphissam Proxenus præesset imperator militibus mercenariis a Thebanis conductis. Videtur ille Proxenus fuisse ξεναγὸς ductor militum mercenariorum, eosque Thebanis mercede elocasse. Reisk.

Ἡγεμὼν] F. A. ὅ θ' ἡγεμών. Wolf. F. ὅ θ' ἡγεμὼν, vel ἡγεμών τε. Markland. Nil opus est istac accessione. Asyndeton est. Phalanx opponitur mercenariis. Thebanis enim civibus constabat. Reisk.

Θεαγένης] Hunc ut virum fortem celebrat Plutarchus, qui ab hoste fugiente interrogatus, μέχρι τοῦ διώκεις; responderit, μέχρι Μακεδονίας. et cujus soror Timoclia, captis ab Alexandro Thebis, tribunum, a quo stuprata fuerat, per speciem monstrandi auri in puteum præcipitatum obruerit. Wolf.

Ἡ πόλις] F. πότε ἡ πόλις. Markland. Μοῖραν] Μόραν apud Demosth. legitur in Aristocratea. Wolf. Leg. μόραν. Scalig. Cf. Meurs. Att. Lect. l. i. c. 16.

Καὶ ὑπὸ ἐ. ἤ. τραφέντες] Fort. καὶ οἱ τοῖς ἐκείνων ἤθεσιν ἐντραφέντες. Reisk.

Καταλυθεὶς] Loquitur de constitutione XXX. tyrannorum. Wolf.

μος διὰ τοὺς τότε γενομένους παρ' ὑμῖν συμβούλους πάλιν ἡγεμὼν ἦν τῶν Ἑλλήνων, δικαίως — οἶμαι — στρατηγῶν μὲν τοιούτων τετυχηκὼς οἵων εἶπον ἀρτίως, συμβούλους δ' ἔχων Ἀρχῖνον καὶ Κέφαλον τὸν Κολυττέα. μία γὰρ αὕτη σωτηρία καὶ πόλεως καὶ ἔθνους ἐστὶ, τὸ προστατῶν
5 ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων τυχεῖν. διόπερ, ὦ Ἀθηναῖοι, δεῖ ταῦθ' ὑμᾶς ὁρῶντας καὶ λογιζομένους μὴ μὰ Δία τὸν πλείω χρόνον τῆς Δημοσθένους δωροδοκίας καὶ ἀτυχίας κοινωνεῖν, μηδ' ἐν τούτῳ τὰς ἐλπίδας τῆς σωτηρίας 55
ἔχειν, μηδὲ οἴεσθαι ἀπορήσειν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων, ἀλλὰ τὴν τῶν προγόνων λαβόντας ὀργὴν τὸν ἐπ' αὐτοφώρῳ κλέπτην εἰλημμένον καὶ προδότην, τὸν
10 οὐκ ἀπεχόμενον τῶν εἰς τὴν πόλιν ἀφικνουμένων χρημάτων, τὸν εἰς τὰς δεινοτάτας ἀτυχίας ἐμβεβληκότα τὴν πόλιν, τὸν τῆς Ἑλλάδος [1] ἀλιτήριον ἀποκτείναντας ἐξόριστον ἐκ τῆς πόλεως ποιῆσαι, καὶ μεταβαλέσθαι τὴν τῆς πόλεως τύχην ἐᾶσαι, καὶ προσδοκῆσαι τούτων γενομένων βέλτιον πράξειν.

ιγ'. Ἀκούσατε, ὦ Ἀθηναῖοι, κἀκείνου τοῦ ψηφίσματος τοῦ γραφέντος ὑπὸ Δημοσθένους, ὃ τεταραγμένης τῆς πόλεως μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἔγραψεν ὁ δημοτικὸς
15 οὗτος, καὶ τῆς μαντείας τῆς ἐλθούσης ἐκ Δωδώνης παρὰ τοῦ Διὸς τοῦ Δωδωναίου· σαφῶς γὰρ ὑμῖν πάλαι προείρηκε φυλάττεσθαι τοὺς ἡγεμόνας καὶ τοὺς συμβούλους. λέγε τὴν [2] μαντείαν πρῶτον.

[3] ΜΑΝΤΕΙΑ.

λέγε δὴ τὸ καλὸν ψήφισμα τούτου. 56

ΨΗΦΙΣΜΑΤΟΣ ΜΕΡΟΣ.

δημοτικός γ' ὁ διατάττων ἑαυτὸν μὲν, ἐπειδὴ ἀνδρεῖος καὶ

[1] ὄλεθρον [2] μαρτυρίαν [3] ΜΑΡΤΥΡΙΑ.

Ἐμβεβληκότα] Ἀντὶ τοῦ ἐμβεβληκότα. IDEM.

Μεταβαλέσθαι] Ἀντὶ τοῦ μεταβληθῆναι. IDEM. animum erga vos mutare, pro alienato a vobis, quo adhuc fuit, propitium induere vestrique studiosum. REISK.

Πάλαι] Vetustum enim erat hoc vaticinium, non tum demum, post pugnam Chæronaicam, sed dudum ante, tempore belli Peloponnesiaci jam redditum. IDEM.

Μαρτυρίαν — ΜΑΡΤΥΡΙΑ] Lege μαντείαν et ΜΑΝΤΕΙΑ. WOLF. GRUTER. et *Nov. Lect.* l. viii. c. 12. G. CANTER. Perquam probabiliter. Verum tamen cum p. 309, 28. insequatur rursus μαντεία hæc ipsa, et postmodum demum, non autem nunc statim, recitetur, sustinui tantisper assensum, donec certius hac de re constet. REISK.

Τούτου] Malim τὸ τούτου. IDEM.

εὔψυχός ἐστιν, ἐν τοῖς ὅπλοις μένειν, οὓς δ' ἂν αὐτὸς ἀπο- 20
δοκιμάσῃ τῶν πολιτῶν, ἐπὶ τὰ ἔργα ἀπιέναι, καὶ ἐάν τι
ἄλλο τούτῳ δόξῃ ἐπιτήδειον εἶναι, τοῦτο ποιεῖν. λέγε τὰ
λοιπά.

ΤΟ ΛΟΙΠΟΝ ΤΟΥ ΨΗΦΙΣΜΑΤΟΣ.

ἀκούετε, ὦ ἄνδρες δικασταί. ἀπιέναι φησὶ τὸ ψήφισμα τὰς
[1] ἠρημένας πρεσβείας. ἐπειδὴ ἤκουσε μετὰ τὴν μάχην τὴν ἐν
Χαιρωνείᾳ Φίλιππον εἰς τὴν χώραν ἡμῶν μέλλειν εἰσβάλ-
λειν, αὐτὸς ἑαυτὸν πρεσβευτὴν κατασκευάσας, ἵν' ἐκ τῆς 25
πόλεως ἀποδραίη, συσκευασάμενος τῆς διοικήσεως ὀκτὼ τά-
λαντα, οὐδὲν φροντίσας τῆς τότε παρούσης ἀπορίας, ἡνίκ' οἱ
ἄλλοι πάντες ἐκ τῶν ἰδίων ἐπεδίδοσαν εἰς τὴν [2] ὑμετέραν
σωτηρίαν. τοιοῦτος ὑμῖν ὁ σύμβουλος, καὶ δύο ταύτας μόνας
ἐν τῷ βίῳ Δημοσθένης πεποίηται ἀποδημίας, μετὰ τὴν
57 μάχην ὅτε ἀπεδίδρασκεν ἐκ τῆς πόλεως, καὶ νῦν εἰς Ὀλυμ-
πίαν, ἐπεὶ Νικάνορι διὰ τῆς ἀρχιθεωρίας ἐντυχεῖν ἐβού- 30
λετο. ἄξιόν γε τούτῳ παρακαταθέσθαι τὴν πόλιν καὶ ἐπι-
τρέψαι κινδυνεύειν μέλλοντας, ὃς, ὅτε μὲν ἔδει μάχεσθαι
μετὰ τῶν ἄλλων τοῖς πολεμίοις, λιπὼν τὴν τάξιν ᾤχετο
ἀπιὼν οἴκαδε, ἐπειδὴ δὲ προσῆκεν οἴκοι κινδυνεύειν μετὰ τῶν
ἄλλων, πρεσβευτὴν αὐτὸς αὑτὸν [3] προβαλόμενος ᾤχετο ἐκ
τῆς πόλεως ἀποδρᾶς, ἐπειδὴ δὲ πρεσβεύειν ἔδει περὶ [4] τῆς
εἰρήνης, οὐκ ἂν ἔφασκεν ἐκ τῆς πόλεως ἐξελθεῖν οὐδὲ τὸν 35
ἕτερον πόδα, ἐπειδὴ δὲ τοὺς φυγάδας Ἀλέξανδρον ἔφασαν
κατάγειν καὶ Νικάνωρ εἰς Ὀλυμπίαν ἧκεν, [5] ἀρχιθεωρὸν

[1] εἰρημένας [2] ἡμετέρας [3] προβαλλόμενος [4] τῆς om. [5] ἀρχιθέωρον

Εἰρημένας] L. ἠρημένας. *delectos legatos.* Wolf.

Ἐπειδὴ ἤκουσε] Interponi vult Wolf δ'. possit quoque γὰρ interponi. Reisk.

Διοικήσεως] Οἱ ἐπὶ τῆς διοικήσεως, scil. τῶν δημοσίων χρημάτων, sunt quæstores, seu tribuni ærarii, cujusmodi fuit Lycurgus orator, cujus vitam v. apud Plutarch. Wolf. Reisk.

Οὐδὲ φροντίσας] L. οὐδὲν φρ. Wolf.

Κατὰ τὴν μάχην] F. μετὰ τὴν μ. Idem. Gruter.

Ἀρχιθεωρίας] Θεωροὶ qui sint, notum est. ἀρχιθεωροὶ, legati publice ad Olympia missi, principem Græciæ celebritatem. Wolf. *per opportunitatem legationis hujus et sub ejus prætextu.* Reisk.

Προβαλλόμενος] Velim unum λ. detrahi. Idem.

Ἐξελθεῖν οὐδὲ τὸν ἕτερον πόδα] Ἀντὶ τοῦ οὐδὲ τῷ ἑτέρῳ ποδί. nisi forte subintelligitur ἐκβιβάσαι. aut simile quodpiam verbum. Wolf. Hæc parum intelligo, vulgatam satis, quæ idem dicit, atque si dixisset: οὐδὲ τὸν ἑαυτοῦ πόδα ἐξελθεῖν. *ne alterum quidem pedem suum urbe esse exiturum,* nedum ambos. Reisk.

Ἀλέξανδρος] L. Ἀλέξανδρον. Wolf. *cum fama increbuisset Alexandrum exsules reducere,* h. e. proscripto cuique veniam domum redeundi edicto dedisse. Reisk.

αὐτὸν ἀπέδωκε τῇ βουλῇ. τοιοῦτος οὗτος, ἐν μὲν ταῖς παρα- 58
τάξεσιν οἰκουρός, ἐν δὲ τοῖς οἴκοι μένουσι πρεσβευτής, ἐν δὲ
τοῖς πρεσβευταῖς δραπέτης ἐστί.

ιδ'. Λέγε δὴ καὶ τὸ περὶ ζητήσεως τῶν χρημάτων ψήφι-
σμα, ὃ ἔγραψε Δημοσθένης τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ
40 αὐτοῦ τε καὶ [1]ὑμῶν, ἵνα παράλληλα θεωρήσαντες εἰδῆτε
τὴν Δημοσθένους ἀπόνοιαν.

ΨΗΦΙΣΜΑ.

ἔγραψας σὺ τοῦτο, Δημόσθενες; ἔγραψας· οὐκ ἔστιν ἀντ-
ειπεῖν. ἐγένετο ἡ βουλὴ κυρία σοῦ προστάξαντος; ἐγένετο.
τεθνᾶσι τῶν πολιτῶν ἄνδρες; τεθνᾶσι. κύριον ἦν τὸ σὸν
ψήφισμα κατ' ἐκείνων; ἀδύνατον ἀντειπεῖν.

ιε'. Λέγε δὴ πάλιν, ὃ Δημοσθένης κατὰ Δημοσθένους
ἔγραψε. προσέχετε, ὦ ἄνδρες. 59

[2]ΨΗΦΙΣΜΑ.

ἡ βουλὴ εὕρηκε Δημοσθένην. τί δεῖ πολλῶν λόγων; ἀπο-
01. 1 πέφαγκεν, ὦ Ἀθηναῖοι. τὸ μὲν τοίνυν δίκαιον ἦν ὑφ' ἑαυτοῦ
κεκριμένον εὐθὺς ἀποθνήσκειν· ἐπειδὴ δ' εἰς τὰς ὑμετέρας
ἥκει χεῖρας τοὺς ὑπὲρ τοῦ δήμου συνειλεγμένους καὶ τοὺς
ὁμωμοκότας πείθεσθαι τοῖς νόμοις καὶ τοῖς τοῦ δήμου ψη-
φίσμασι, τί ποιήσετε; προήσεσθε τὴν πρὸς τοὺς θεοὺς εὐ-
σέβειαν καὶ τὰ παρὰ πᾶσιν ἀνθρώποις δίκαια νομιζόμενα;
5 μή, ὦ Ἀθηναῖοι, μή· αἰσχρὸν γὰρ καὶ δεινὸν, ἑτέρους μὲν
ὑπὸ τῶν Δημοσθένους ψηφισμάτων, οὐδὲν ὄντας τούτου

[1] ἡμῶν

[2] ΨΗΦΙΣΜΑ. ἡ βουλὴ om.

Ἀπέδωκε] Ἐπέδωκε. SCALIG. Recte, ni fallor. IDEM.

Ἡμῶν] F. ὑμῶν. WOLF.

Κυρία προστάξαντος] Interposui de meo σοῦ. *fuitne penes senatum potestas illud tuum decretum exsequendi?* REISK.

Ὁ Δημοσθ. κ. τ. λ.] Fui aliquando in hac sententia: ὃ Δημοσθένης κατὰ τίνος; *quod Demosthenes contra — quem?* κατὰ Δημοσθένους ἔγραψε, *contra Demosthenem tulit.* ut hæc sit ad illa responsio. tum statim εὕρηκε Δημοσθένης, τίνα; *invenit, deprehendit reum — quem?* Δημοσθένην, *Demosthenem.* Sed nunc nimis ista videntur quæsita, quæ, cum fortassis placitura etiam sint, si codices ita tradidissent, tum auctori, codicibus invitis, obtrudenda non sint. IDEM.

Λόγων; ἀποπέφαγκεν] Interponendum videtur aliquid, quod deest, e. c. αὐτὸς ἑαυτὸν, *ipse semet detulit.* IDEM.

Τοὺς ὑ. τ. δ. συνειλεγμένων] Sic dant Aldus et Stephanus. Ego Wolfianam hic reddidi, solum verbum quartum mutans cum συνειλεγμένους. ne nimis multa essent turbanda. Wolfius ad h. l. annotavit hæc, et pæne eadem Stephanus quoque in margine. Leg. τοὺς ὑ. τ. δ. συνειλεγμένους. nisi magis placet τῶν ὑ. τ. δ. συνειλεγμένων καὶ τῶν ὀμωμοκότων. pro εἰς τὰς ὑμῶν. Sic Horatius: "cum mea nemo scripta legat vulgo recitare timentis." Hæc Wolfius. Accusativos si præfers, erit εἰς τὰς ὑμετέρας χεῖρας tantundem atque ὑφ' ὑμᾶς. *venit sub vos.* IDEM.

χείρους οὐδὲ τοσαῦτ' ἠδικηκότας ὅσαπερ οὗτος, ἀπολωλέναι,
60 τουτονὶ δὲ καταφρονοῦντα ὑμῶν καὶ τῶν νόμων ἀτιμώρητον
περιιέναι ἐν τῇ πόλει, αὐτὸν ὑφ' ἑαυτοῦ καὶ τῶν ψηφισμά-
των ὧν ἔγραψεν ἑαλωκότα. τουτὶ τὸ συνέδριον, ὦ Ἀθηναῖοι,
καὶ ὁ αὐτὸς τόπος, καὶ ταὐτὰ τὰ δίκαια. ὁ αὐτὸς ῥήτωρ
ἐκείνοις τε αἴτιος ἐγένετο τῶν συμβάντων κακῶν καὶ αὐτῷ 10
τῶν νῦν συμβησομένων. ἐπέτρεψεν ὁ αὐτὸς οὗτος ἐν τῷ δήμῳ
τῷ συνεδρίῳ τούτῳ κρῖναι περὶ αὐτοῦ, μάρτυρας ὑμᾶς πε-
ποιημένος. ἔθετο συνθήκας μετὰ τοῦ δήμου, γράψας τὸ
ψήφισμα καθ' ἑαυτοῦ παρὰ τὴν μητέρα τῶν θεῶν, ἣ πάν-
των τῶν ἐν τοῖς γράμμασι δικαίων φύλαξ τῇ πόλει καθέ-
στηκε. διὸ καὶ οὐχ ὅσιον ὑμῖν ἐστὶ ταύτας ἀκύρους ποιεῖν,
οὐδὲ τοὺς θεοὺς ὀμωμοκόσι περὶ ταύτης τῆς κρίσεως ταῖς 15
αὐτῶν τῶν θεῶν πράξεσιν ἐναντίαν τὴν ψῆφον ἐνεγκεῖν.
61 κρίσει Ποσειδῶν ἀποτυχὼν τοῖς ὑπὲρ Ἁλιρροθίου πρὸς Ἄρη
γενομένοις ἐνέμεινεν· αὐταὶ αἱ σεμναὶ θεαὶ τῇ πρὸς Ὀρέστην
ἐν τούτῳ τῷ συνεδρίῳ κρίσει γενομένῃ καὶ τῇ τούτου ἀλη-
θείᾳ συνοίκους ἑαυτὰς εἰς τὸν λοιπὸν χρόνον κατέστησαν.
ὑμεῖς δὲ τί ποιήσετε οἱ πάντων εἶναι φάσκοντες εὐσεβέ-
στεροι; τὴν τοῦ συνεδρίου γνώμην ἄκυρον καταστήσετε τῇ 20
Δημοσθένους ἐπακολουθήσαντες πονηρίᾳ; οὐκ, ἐὰν σωφρο-
νῆτε, ὦ ἄνδρες Ἀθηναῖοι· οὐ γὰρ περὶ μικρῶν οὐδὲ τῶν τυ-
χόντων ἐν τῇ τήμερον ἡμέρᾳ δικάζετε, ἀλλὰ περὶ σωτηρίας
τῆς πόλεως ἁπάσης καὶ πρὸς τούτοις περὶ δωροδοκίας, ἔθους
πονηροῦ καὶ πράγματος ἀλυσιτελοῦς [1] ὑμῖν καὶ πάντας ἀν-
θρώπους ἀπολωλεκότος. εἰ μέν, καθ' ὅσον ἐστὲ δυνατοί,
ἐκβαλεῖτε ἐκ τῆς πόλεως καὶ παύσετε τοὺς ῥᾳδίως καθ' 25

[1] ὑμῖν om.

Ταῦτα] F. ταὐτὰ. Wolf.

Ὁ αὐτὸς] Malim: καὶ ὁ αὐτὸς. et idem ille orator. Reisk.

Αὐ] F. αὐτῷ. Wolf. αὐτῷ. et eorum, quæ ipsi nunc evenient. opponuntur enim ἐκείνοις τε et αὐτῷ. Tametsi Wolf in Latinis non suam conjecturam, sed vulgatam, nescio qua de causa, expressit. Reisk.

Παρὰ τὴν μητέρα τῶν θεῶν] Id ædificium μητρῷον inde dictum, in quo monumenta publica asservabantur. Wolf. Ratio linguæ Græcæ postulat παρὰ τῇ μητρὶ τ. θ. Reisk.

Κρίσει] Id est, ἐν κρίσει. in judicio, vel sententia a judicibus pronuntiata. Videtur Stephanus de κρίσεως suspicatus esse, tametsi margo ejus hoc de vocabulo tacet. v. notam proximam. Idem.

Ἀποτυχὼν τοῖς ὑ. Ἁ. π. Ἄ. γενομένοις] Π. ἀποτυχὼν τῆς ὑ. Ἁ. π. Ἄ. γενομένης. ἢ μᾶλλον δεῖ στίζειν μετὰ τὸ ἀποτυχεῖν, ἵνα ᾖ, ἐνέμεινε τοῖς γενομένοις. H. Stephan. Posterius hoc potius est. τὰ γενόμενα sunt exitus rei, h. l. τὰ κεκριμένα ὑπὸ τῶν δικαστῶν. Reisk.

Γενομένῃ] Post γενομένῃ videtur ἐνέμειναν deese. Idem.

Εὐσεβέστεροι] Ἀντὶ τοῦ εὐσεβέστατοι, Latino quidem more. Wolf.

Εἰ μέν] Malim: ὃ εἰ μέν. quam si vos quidem exterminabitis pestem. Reisk.

ὑμῶν χρήματα λαμβάνοντας, σωθησόμεθα θεῶν βουλομένων· εἰ δ' ἐπιτρέψετε τοῖς ῥήτορσι πωλεῖν ὑμᾶς αὐτοὺς, περιόψεσθε τὴν πόλιν ἀνατραπεῖσαν ὑπὸ τούτων.

ις'. Ἔγραψεν αὐτὸς ἐν τῷ δήμῳ Δημοσθένης, ὡς δηλονότι 62
δικαίου τοῦ πράγματος ὄντος, φυλάττειν Ἀλεξάνδρῳ τὰ εἰς τὴν Ἀττικὴν ἀφικόμενα μετὰ Ἁρπάλου χρήματα.
30 οὕτως οὖν, [1] ὦ ἄριστε, εἰπέ μοι, φυλάξομεν, ἐὰν σὺ μὲν εἴκοσι τάλαντα λαβὼν ἔχῃς ἴδια, ἕτερος δὲ πεντεκαίδεκα, Δημάδης δὲ ἑξακισχιλίους χρυσοῦ στατῆρας, ἕτεροι δὲ ὅσα δή ποτε ἀποπεφασμένοι εἰσί; τέτταρα γὰρ τάλαντά ἐστι καὶ ἑξήκοντα ἤδη εὑρημένα, ὧν οἴεσθε τὴν αἰτίαν τουτοισὶν ἀναθεῖναι. καὶ πότερα κάλλιόν ἐστι, πρὸς δὲ δικαιότερον, ἅπαντ' ἐν τῷ κοινῷ φυλάττεσθαι, ἕως ἄν τι δίκαιον ὁ δῆμος
35 βουλεύσηται, ἢ τοὺς ῥήτορας καὶ τῶν στρατηγῶν ἐνίους διηρπακότας ἔχειν; ἐγὼ μὲν γὰρ οἶμαι τὸ μὲν ἐν τῷ κοινῷ 63
φυλάττειν παρὰ πάντων ὁμολογούμενον εἶναι δίκαιον, τὸ δὲ τούτους ἔχειν μηδέν' ἂν εἰπεῖν ὡς ἔστι καλῶς ἔχον.

ιζ'. Πολλοὺς οὗτος ἐρεῖ καὶ παντοδαποὺς λόγους, ὦ ἄνδρες, καὶ οὐδεπώποτε τοὺς αὐτούς. ὁρᾷ γὰρ ὑμᾶς τὸν ἅπαντα χρόνον ἐλπίσι κεναῖς καὶ ψευδέσι λόγοις ἐξηπατημένους ὑφ' ἑαυτοῦ, καὶ μέχρι τούτου μνημονεύοντας τὰς
40 ὑποσχέσεις μέχρις ἂν ῥηθῶσιν. εἰ μὲν οὖν ἔτι δεῖ τὴν πόλιν τῆς Δημοσθένους πονηρίας καὶ ἀτυχίας ἀπολαύειν, ἵνα πλέον κακοδαιμονῶμεν — οὐδὲ γὰρ ἔχω τί ἄλλο εἰπω —, στερκτέον εἴη τοῖς συμβαίνουσιν· εἰ δ' ἔτι κηδόμεθα τῆς πατρίδος καὶ τοὺς πονηροὺς καὶ δωροδόκους μισοῦμεν καὶ μετοιωνίσασθαι τὴν τύχην καὶ μεταλλάξασθαι βουλό-

[1] ὦ om.

Ὅσα δή ποτε] Subaudi ἔχειν. Idem.

Ὧν οἴεσθε τὴν αἰτίαν τουτοισὶν ἀναθεῖναι] *quorum culpam in istos censetis conferendam.* τὸ ὧν ad talenta 64. ab oratoribus direpta pertinere videtur, τὸ οἴεσθε ad δωροδόκους, τὸ τούτοις ad judices. Sed me dubitare de sententiæ veritate fateor. Wolf. Aut aberrarunt h. l. operæ Basileenses a Wolfii manu, aut calamus ejus lapsus est, et sententiam ejus pervertit. Voluit certe dare τὸ οἴεσθε ad judices, τούτοις autem ad τοὺς δωροδόκους. Sententia Dinarchi plana est: *quorum peculatuum culpam in hos conferre, vos, judices, censetis decere.* Sed deesse videtur δεῖν pone οἴεσθε. Reisk.

Πρὸς δὲ] Subaudi τούτοις. *atque etiam.* Wolf. Recte quidem hoc. verum præterea quoque annotandum erat καὶ deesse. ut legatur, πρὸς δὲ, καὶ δικαιότερον. Reisk.

Ἄν τι] Malim ἄν, τί. ut τί non sit encliticum, sed interrogativum, pro ὅ, τι. *quid jus et fas sit.* Idem.

Μηδέν' ἄν] F. μηδένα ἄν. Wolf. Gruter. H. μηδέν' ἄν, ἢ μηδένα ἄν. H. Stephan.

Κακοδαιμονῶμεν] Κακοδαιμονᾶν, *intemperiis agitari.* de quo verbo alibi dictum. Wolf. Non videtur a verbo in ἄω desinente h. l. derivandum, sed a verbo in ἐω. *sinistra et luctuosa fortuna uti, cladibus affligi.* Idem.

μεθα, οὐ [1]προετέον ἐστὶν ὑμᾶς αὐτοὺς, ὦ Ἀθηναῖοι, ταῖς
64 τοῦ μιαροῦ καὶ γόητος τούτου δεήσεσιν. οὐδὲ [2]προσδεκτέον 102. 1
τοὺς οἴκτους καὶ τοὺς φενακισμοὺς τούτου· ἱκανὴν γὰρ
εἰλήφατε πεῖραν αὐτοῦ καὶ τῶν ἔργων καὶ τῶν λόγων καὶ
τῆς τύχης. τίς οὕτως εὔελπις [3]ὑμῶν ἐστὶν, ὦ Ἀθηναῖοι,
τίς οὕτως ἀλόγιστος, τίς τῶν προγεγενημένων καὶ νῦν ἐνε-
στηκότων πραγμάτων ἄπειρος, ὅστις ἐλπίζει τὸν ἐκ το-
σαύτης εὐδαιμονίας εἰς τοσαύτην ἀδοξίαν καταστήσαντα 5
τὴν πόλιν, δι' ἡντινανοῦν ἀεὶ τύχην — ἐῶ γὰρ τοῦτο
νῦν —, ἐπειδὴ πρὸς ταῖς ἄλλαις ἀπορίαις καὶ τοῖς περιε-
στηκόσιν ἡμᾶς κινδύνοις καὶ ἡ τῶν ἐξ αὐτῆς τῆς πόλεως
65 δωροδοκία προσγέγονε, καὶ περὶ αἰσχρᾶς αἰτίας κοινῇ πάν-
τες ἀγωνιζόμεθα καὶ περὶ τοῦ μὴ δοκεῖν τὰ [4]ἰδία παρά
τισιν ὄντα χρήματα κοινῇ τὸν δῆμον ἔχειν, τηνικαῦτα συμ-
βουλεύοντα καὶ [5]διοικοῦντα τοῦτον σώσειν [6]ὑμᾶς; ἐῶ γὰρ 10
τἆλλα ὅσα μεταβαλλόμενος ἐν τοῖς πράγμασι καὶ δημη-
γορῶν οὐδὲν ὑγιὲς τετέλεκε, καὶ τοτὲ μὲν γράφων καὶ ἀπα-
γορεύων μηδένα ἄλλον νομίζειν θεὸν ἢ τοὺς παραδεδομένους,
τοτὲ δὲ λέγων ὡς οὐ δεῖ τὸν δῆμον ἀμφισβητεῖν τῶν ἐν
οὐρανῷ τιμῶν Ἀλεξάνδρῳ, ὅταν δὲ μέλλῃ κριθήσεσθαι παρ'
ὑμῖν, Καλλιμέδοντα εἰσαγγέλλων συνιέναι ἐν Μεγάροις
τοῖς φυγάσιν ἐωὶ καταλύσει τοῦ δήμου, καὶ ταύτην τὴν 15
66 εἰσαγγελίαν εὐθὺς παραχρῆμα ἀναιρούμενος, ἐν δὲ τῇ ἐκ-
κλησίᾳ ταύτῃ τῇ πρώην γεγενημένῃ προσάγων καὶ κατα-

[1] προσεκτέον [2] προσετέον [3] ἐστιν ὑμῶν [4] ἴδια
[5] πολεμοῦντα [6] ἡμᾶς

Οὐ προσεκτέον ἐστὶν ὑμᾶς αὐτοὺς] Ἀντὶ τοῦ ὑμῖν αὐτοῖς. ut Isocrates Evagora: οὐ δουλευτέον τούς γε νοῦν ἔχοντας τοῖς οὕτω κακῶς φρονοῦσι. Sed puto leg. οὐ προετέον ὑμᾶς αὐτοὺς, παρὰ τὸ προΐεμαι. *non committendum est, ut vosmetipsi precibus ejus quasi condonetis*, h. e. ut iis moveamini. sicut dicunt προΐεσθαι χρήματά τινι. Wolf. Alterutrum verum est, aut servato προσεκτέον, delendum est αὐτοὺς, quod tum est inutile, et officit sententiæ, aut hoc αὐτοὺς servato, necessario leg. est προετέον. *non decet vos, vosmetipsos hujus precibus et obtestationibus prodere, et quasi in deditionem tradere.* Videtur ludere in vocabulis προετέον et προσετέον. v. notam proximam. Reisk.

Προσιτέον] A πρόσειμι, τὸ προσέρχομαι. Sed sensus postulat προσετέον, a προσίεμαι. Wolf.

Ἄπειρος] M. οὕτως ἄπειρος. Idem.

Αἰσχρᾶς αἰτίας] De Harpali pecunia direpta a republica Atheniensium. Wolf.

Δημηγορῶν, οὐδὲν ὑγιὲς τετέλεκε] Potest ferri. videtur tamen orator, mutata distinctione, sic dedisse: δημηγορῶν οὐδὲν ὑγιὲς, διατετέλεκε. Reisk.

Τῶν ἐν οὐρανῷ τιμῶν] Si bene habet hæc lectio, tantundem valet, atque τῶν ἐνουρανίων τιμῶν, *cœlestibus honoribus.* Sed dubito, an Græci perinde τιμὰς οὐρανίους vel ἐνουρανίους usurpaverint, atque Latini *honores cœlestes.* Suspicatus aliquando sum, Dinarchum reliquisse: τῶν ἴσων τοῖς ἐν οὐρανῷ, id est, τοῖς θεοῖς. *paribus honoribus atque diis habentur cœlum incolentibus.* Idem.

σκευάζων ψευδῆ μηνυτὴν ὡς ἐπιβουλευομένων τῶν νεωρίων, καὶ περὶ τούτων γράφων μὲν οὐδὲν, αἰτίας δ' ἕνεκα τοῦ παρόντος ἀγῶνος παρασκευάζων· τούτων γὰρ ἁπάντων
20 ὑμεῖς τούτῳ μάρτυρες ἐστέ. γόης οὗτος, ἄνδρες Ἀθηναῖοι, καὶ μιαρὸς ἄνθρωπός ἐστι, καὶ οὔτε τῷ γένει τῆς πόλεως πολίτης οὔτε τοῖς πεπολιτευμένοις αὐτῷ καὶ [1] πεπραγμένοις. ποῖαι γὰρ τριήρεις εἰσὶ κατεσκευασμέναι διὰ [2] τοῦτον, ὥσπερ ἐπὶ Εὐβούλου, τῇ πόλει; ἢ ποῖοι νεώσοικοι τούτου πολιτευομένου γεγόνασι; πότε οὗτος ἢ διὰ ψηφίσματος ἢ νόμου ἐπηνώρθωσε τὸ ἱππικόν; τίνα κατεσκεύασε δύναμιν
25 τοιούτων καιρῶν παραγενομένων μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ἢ πεζὴν ἢ ναυτικήν; τίς ἀνενήνεκται τῇ θεῷ κόσμος εἰς ἀκρόπολιν ὑπὸ τούτου; τί κατεσκεύακε Δημοσθένης οἰκοδόμημα ἐν τῷ ἐμπορίῳ τῷ ὑμετέρῳ ἢ ἐν τῷ ἄστει ἢ ἄλλοθί που τῆς χώρας; οὐδεὶς [3] ἂν οὐδαμοῦ δείξειεν. ἔπειτα τὸν μὲν ἐν ταῖς πολεμικαῖς πράξεσιν ἄπιστον γεγενημένον, ἐν δὲ ταῖς κατὰ τὴν πόλιν οἰκονομίαις ἄχρηστον,
30 περιεωρακότα δὲ τοὺς ἀντιπολιτευομένους ἅπαντα διαπεπραγμένους ὅσα ἐβουλήθησαν, μεταβεβλημένον δὲ αὐτὸν καὶ 67
τὰς ὑπὲρ τοῦ δήμου πράξεις ἐγκαταλελοιπότα, τοῦτον περιποιῆσαι βούλεσθε; οὐκ, ἐὰν σωφρονῆτε καὶ καλῶς καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῆς πόλεως βουλεύησθε· ἀλλὰ δέξασθε τὴν ἀγαθὴν τύχην, ἣ τιμωρήσασθαι παρέδωκε τῶν ῥητόρων τοὺς τὴν πόλιν διὰ τὴν αὐτῶν δωροδοκίαν ταπεινὴν
35 πεποιηκότας, καὶ φυλάξασθε — καθάπερ οἱ θεοὶ προειρήκασιν ὑμῖν ἐν ταῖς μαντείαις πολλάκις — τοὺς τοιούτους ἡγεμόνας καὶ συμβούλους. ἀκούσατε δὲ αὐτῆς τῆς μαντείας. λέγε [4] τὴν μαντείαν.

ΜΑΝΤΕΙΑ.

ιή. Πῶς οὖν μίαν γνώμην ἔξομεν, ὦ Ἀθηναῖοι; πῶς ὁμονοήσομεν ἅπαντες ὑπὲρ τῶν κοινῇ συμφερόντων, ὅταν οἱ

[1] πεπραγματευμένοις [2] τούτου [3] οὖν [4] σὺ τὴν

Αἰτίας] Ordo verborum est: αἰτίας δὲ παρασκευάζων, ἕνεκα τοῦ παρόντος ἀγῶνος. WOLF.

Οὖν] Π. ἂν. H. STEPHAN. Assentior Stephano ἂν emendanti. REISK.

Πράξεσιν] Quid si τάξεσιν? WOLF.

Ἅπαντα δὲ πεπραγμένους] F. ἅπαντα διαπεπραγμ. IDEM.

Αὐτῆς] Αὖθις. GRUTER.

ἡγεμόνες καὶ οἱ δημαγωγοὶ χρήματα λαμβάνοντες προΐωνται τὰ τῆς πατρίδος συμφέροντα, καὶ ὑμεῖς μὲν [1] καὶ ὁ δῆμος 40
ἅπας κινδυνεύῃ περὶ τοῦ ἐδάφους τοῦ τῆς πόλεως καὶ τῶν ἱερῶν τῶν πατρῴων καὶ παίδων καὶ γυναικῶν, οἱ δὲ διηλλαγμένοι πρὸς αὐτοὺς ἐν μὲν ταῖς ἐκκλησίαις λοιδορῶνται καὶ προσκρούωσιν ἀλλήλοις ἐξεπίτηδες, ἰδίᾳ δὲ ταὐτὰ πράττωσιν ἐξαπατῶντες ὑμᾶς τοὺς ῥᾷστα πειθομένους τοῖς τούτων
68 λόγοις; τί γάρ ἐστι ῥήτορος δημοτικοῦ καὶ μισοῦντος τοὺς 103.
κατὰ τῆς πόλεως λέγοντας καὶ γράφοντας; ἢ τί φασὶ τοὺς πρὸ ἡμῶν γεγενημένους, ὦ Δημόσθενες καὶ Πυλύευκτε, διατελεῖν ποιοῦντας; καὶ ταῦτα οὐδενὸς δεινοῦ τότε τὴν πόλιν περιεστηκότος. οὐ κρίνειν ἀλλήλους; οὐκ εἰσαγγέλλειν; οὐ γράφεσθαι παρανόμων; ἔστιν οὖν ὅ τι πεποιήκατε τούτων ὑμεῖς οἱ φάσκοντες τοῦ δήμου κήδεσθαι καὶ 5
τὴν σωτηρίαν ὑμῖν ἐν τῇ τούτων εἶναι ψήφῳ; γέγραπταί σοι ψήφισμα, Δημόσθενες, πολλῶν ὄντων καὶ δεινῶν παρανόμων ὧν Δημάδης γέγραφε; κεκώλυκας τινὰ πρᾶξιν ὧν ἐκεῖνος προελόμενος κατὰ τοῦ δήμου πεπολίτευται; οὐδ' ἡντινοῦν. εἰσήγγελκας τὸν παρὰ τὸ τοῦ δήμου ψήφισμα
69 καὶ τοὺς νόμους πολλὰ διαπεπραγμένον; οὐδεπώποτε, 10
ἀλλὰ περιεῖδες αὐτὸν ἐν τῇ ἀγορᾷ χαλκοῦν σταθέντα καὶ τῆς ἐν Πρυτανείῳ σιτήσεως κεκοινωνηκότα τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἀπογόνοις. ἔπειτα ποῦ τῆς εὐνοίας τῆς σῆς ὁ δῆμος ἔλαβε πεῖραν, [2] ἢ ποῦ τὴν τοῦ ῥήτορος βοήθειαν καὶ δύναμιν ἐξεταζομένην εἴδομεν; ἢ ἐνταῦθα φήσετ' εἶναι δεινοί, εἰ παρακρούσετε τούτους ἀεὶ λέγοντες ὡς οὐκ

[1] καὶ om.

[2] ὅπου

Προΐωνται] Analogia postulat προϊῶνται, sicut τιθῶνται. Sed et προῶνται scribitur, ἀντὶ τοῦ πρόωνται, ut θῶνται. Wolf.

Ὑμεῖς μὲν ὁ δῆμος] Post μὲν videtur καὶ interponendum esse. *Vos* judices, *et universus populus.* Reisk.

Ταῦτα] F. ταὐτὰ. Wolf. Gruter.

Ἐστὶ ῥήτορος] Π. ἐστὶ χεῖρον ῥήτορος. Ἢ τοιοῦτό τι. H. Stephan. Excidit hoc bono viro, aliud agenti, neque satis ad rem præsentem attento, ut talia multa nobis excidunt, mente districta, et multa simul agente, quorum nihil recte fit. Locus hic bene habet, id quod vel e Latina Wolfii interpretatione constat. Ad ῥήτορος subauditur ἔργον, vel καθῆκον, vel tale quid. Reisk.

Φασὶ] Subaud. homines. Pro ἡμῶν leg. ὑμῶν. Idem.

Ἀλλήλους] F. αὐτοὺς. Wolf. Bene habet vulgata. Reisk.

Ἔστιν οὖν, ὅ, τι πεποιήκατε τούτων] Ἀντὶ τοῦ, ἆρα πεποιήκατέ τι τούτων. Wolf.

Τὸ τοῦ δήμου ψήφισμα] Num τὰ τ. δ. ψηφίσματα. Num pro τὸν leg. sit τοῦτον, an illo servato exciderit nomen aliquod proprium, an denique vulgata bene habeat, ad Demadem referenda, in dubio relinquam. Sed vix videtur Demadis in foro statua ænea stetisse. Nullus dubito de alio quopiam hic agi. Reisk.

Ὅπου] Π. ἢ ποῦ. H. Stephan.

ἔστιν ἔξω τῆς πατρίδος ὑμῖν ἐξελθεῖν, οὐκ ἔστιν ἄλλη κα-
15 ταφυγὴ χωρὶς τῆς [1] ἡμετέρας εὐνοίας; φανεροὺς ἐχρῆν γεγε-
νημένους ἀντιπράττοντας καὶ λόγῳ καὶ ἔργῳ τοῖς κατὰ
τοῦ δήμου γραφομένοις ψηφίσμασιν, οὕτω πείθειν τούτους
λέγοντας ὡς οὐκ ἔστιν ὑμῖν οὐδεμία σωτηρία χωρὶς τῆς
παρὰ τοῦ δήμου βοηθείας. ὑμεῖς δὲ ἐν τοῖς ἔξω τὰς ἐλπίδας
ἔχετε, ἁμιλλώμενοι ταῖς κολακείαις πρὸς τοὺς ὁμολογοῦν-
τας ὑπὲρ Ἀλεξάνδρου πράττειν καὶ δῶρα εἰληφέναι παρὰ
20 τῶν αὐτῶν ὧνπερ νῦν ἀποπέφαγκεν ὑμᾶς ἡ βουλή, καὶ [2] σύ, 70
πάντων τῶν Ἑλλήνων ἐναντίον διειλεγμένος Νικάνορι καὶ
κεχρηματικὼς ἐν Ὀλυμπίᾳ περὶ ὧν ἐβουλήθης, ἐλεεινὸν νῦν
σεαυτὸν κατασκευάζεις προδότης ὢν καὶ δωροδόκος, ὡς ἐπι-
μελησομένους τούτους τῆς σῆς πονηρίας, καὶ οὐ δώσων δίκην
ὑπὲρ ὧν εἴληψαι πεποιηκώς, τοσούτῳ τολμηρότερον Δημά-
δου, ὥσθ' ὁ μὲν προειρηκὼς ἐν τῷ δήμῳ τὸν αὐτοῦ τρόπον
25 καὶ τὴν ἀπόνοιαν, καὶ ὁμολογῶν λαμβάνειν καὶ λήψεσθαι,
ὅμως οὐ τετόλμηκεν αὐτοῖς δεῖξαι τὸ πρόσωπον, οὐδ' ἐναν-
τίᾳ τῇ τῆς βουλῆς ἀποφάσει λέγειν ἠξίωσε· καίτοι οὐκ
ἔγραψεν ἐκεῖνος περὶ αὐτοῦ κυρίαν εἶναι τὴν βουλήν, οὐδὲ
θάνατον ὡρίσατο, ἐὰν ἀποφανθῇ χρήματα εἰληφώς. σὺ δὲ
οὕτω σφόδρα πεπίστευκας τοῖς σεαυτοῦ λόγοις καὶ καταπε-
φρόνηκας τῆς τούτων εὐηθείας, ὥστε πείσειν οἴει τοὺς δι-
30 καστὰς, ὡς μόνου σοῦ κατέψευσται τὸ συνέδριον καὶ μόνον 71
οὐκ εἰληφότα σε τὸ χρυσίον ἀποπέφαγκεν. καὶ τίς ἂν
ταῦτα πεισθείη;

ΙΘ'. Ὁρᾶτε, [3] ὦ Ἀθηναῖοι, τί μέλλετε ποιεῖν. παρειλή-
φατε παρὰ τοῦ δήμου τὸ πρᾶγμα τὸ γεγενημένον ἤδη,

[1] ὑμετέρας [2] συμπάντων [3] ὦ om.

Ὑμῖν] Aut hic est ἡμῖν leg. ut sit imitatio et repræsentatio orationum, quibus Demosthenes cum consortibus ad populum uterentur, cujus vellent ciere commiserationem, aut versu proximo leg. est ἡμετέρας. *nostram.* quod posterius equidem malim. Reisk.

Οὕτω] Malim εἶθ' οὕτω. sic certe loqui solent. Idem.

Εἰληφέναι] Scil. ὁμολογοῦντας. Wolf.

Ἀποπέφαγκεν ὑμᾶς] Scil. εἰληφέναι δῶρα. Reisk.

Συμπάντων] Malim σὺ πάντων. Adhuc enim locutus erat de universo Demosthenis sodalitio malorum oratorum. jam vero ad eum solum convertit orationem. Mirifica inest vis in hac tam subita orationis a multis ad unum conversione. Idem.

Ἐπιμελησομένους] Π. ἐπιλησομένους. H. Stephan. Malim equidem ἐπιλελησμένους. *quasi obliti sint hi judices.* Reisk.

Τολμηρότερον] Recte fecit Stephanus, ut lectionem hanc Ald. servaret, spreta Wolfii conjectura τολμηρότερος. Idem.

Ὡρίσατο] Scil. ἑαυτῷ ζημίαν. quod alias addi solet. Idem.

Μονονοὐκ] L. μόνον οὐκ. Wolf. Gruter.

τιμωρίας δ' ἕνεκα τῆς κατὰ τῶν ἐνόχων ὄντων ταῖς ἀπο-
φάσεσι. Δημοσθένης εἰσάγεται πρῶτος. κατηγορήκαμεν
ἡμεῖς, οὐδενὶ καταχαριζόμενοι τῶν κοινῶν δικαίων. πότερ'
ἀμελήσαντες τῶν γεγενημένων ἁπάντων ἀφήσετε τὸν πρῶ- 35
τον εἰσελθόντα πρὸς ὑμᾶς, καὶ τὰ δίκαια τὰ παρὰ τῷ
δήμῳ καὶ τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου δόξαντ' εἶναι καὶ
72 τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις, ταῦθ' ὑμεῖς [1] οἱ κύριοι πάν-
των λύσετε; καὶ τὴν πονηρίαν αὐτοὶ τὴν τούτων ἀναδέ-
ξεσθε; ἣ πᾶσιν ἀνθρώποις παράδειγμα ἐξοίσετε κοινὸν
ὑπὲρ τῆς πόλεως, ὅτι μισεῖτε τοὺς προδότας καὶ τοὺς χρη-
μάτων ἕνεκα [2] προιεμένους τὰ τοῦ δήμου συμφέροντα;
ταῦτα γὰρ ἅπαντα ἐστὶν ἐφ' ὑμῖν νῦν, καὶ πεντακόσιοι 10
καὶ χίλιοι ὄντες τὴν ἁπάσης τῆς πόλεως σωτηρίαν ἐν ταῖς
χερσὶν ἔχετε, καὶ ἡ τήμερον ἡμέρα καὶ ἡ ὑμετέρα ψῆφος
πολλὴν ἀσφάλειαν τῇ πόλει καταστήσει τὰ δίκαια ὑμῶν
ἐθελόντων κρίνειν, ἢ μοχθηρὰς ἐλπίδας ποιήσετε πάντας
ἔχειν τοιαῦθ' ὑμῶν ἔθη καθιστάντων.

κ'. Οὐ καταπληκτέον ἐστίν, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲ
προετέον, ἐὰν σωφρονῆτε, τοῖς Δημοσθένους ἐλέοις τὴν 104.
κοινὴν καὶ δικαίαν ὑπὲρ τῆς πόλεως ἀπολογίαν. οὐδεὶς γὰρ
ὑμῶν ἠνάγκαζε τοῦτον τὰ μὴ προσήκοντα χρήματα λαμ-
βάνειν τὰ καθ' ὑμῶν, πολλῷ πλείω τῶν ἱκανῶν δι' ὑμᾶς
ἕτερα κεκτημένον, οὐδ' ἀπολογεῖσθαι νῦν ὑπὲρ τῶν ὡμολο-
γημένων ἀδικημάτων, γράψαντα καθ' ἑαυτοῦ θάνατον
73 τὴν ζημίαν· ἀλλ' ἡ ἐκ τοῦ ἄλλου βίου ἔμφυτος αἰσχρο- 5
κέρδεια καὶ πονηρία ταῦτα εἰς τὴν κεφαλὴν αὐτῷ τέτρα-
φε. μὴ οὖν ἀχθεσθῆτε αὐτοῦ κλαίοντος καὶ ὀδυρομένου·
πολὺ γὰρ ἂν δικαιότερον [3] ἐλεήσαιτε τὴν χώραν, ἣν οὗτος
καθίστησιν εἰς τοὺς κινδύνους τοιαῦτα πράττων, ἢ τοὺς ἐξ
αὐτῆς γεγενημένους ὑμᾶς ἱκετεύει, παραστησαμένη τὰ

[1] οἱ om. [2] προιεμένους [3] ἱλέησειε

Οὐδεὶ] Aut οὐδὲν est leg. aut utrumque copulandum, οὐδὲν οὐδεὶ καταχαρ. Reisk.

Περὶ τῷ δήμῳ] F. παρὰ τῷ δ. Wolf. H. Stephan. Scalig.

Λαμβάνειν τὰ καθ' ὑμῶν, πολλῷ] Wolf omitti vult τὰ, et contra post ὑμῶν addi τῶν. quorum in priori cum ei assentior, tum in posteriori refragor. Reisk.

Ἀπολεῖσθαι] F. ἀπολογεῖσθαι. Wolf.

Ἐξ αὐτῆς] Wolf suadet ἐν αὐτῇ nulla necessitate. Bene habet vulgata. Ipsa S. S. nos ait glebam esse, e gleba natos, et in glebam reversuros. Parentes nostri succis genitalibus nos procrearunt, ex alimentis terrestribus collectis; et nos, qui frugibus terræ iisdem alimur, parem nostri generis aliam soboleni procreamus. Fundus carnium nostrarum gleba est. Reisk.

ὑμέτερα τέκνα καὶ γυναῖκας, τιμωρήσασθαι τὸν παράδοξον
10 καὶ σώζειν ἐκείνας, ὑπὲρ ἧς οἱ πρόγονοι καλοὺς καὶ πολ-
λοὺς κινδύνους ὑπομείναντες ἐλευθέραν [1] αὐτὴν ὑμῖν παρε-
δεδώκασιν, ἐν ᾗ πολλὰ καὶ κακὰ παραδείγματα τελευτᾷ
τῆς τῶν τελευτησάντων ἀρετῆς, εἰς ταύτην ἀποβλέψαντες,
ὦ Ἀθηναῖοι, καὶ τὰς ἐν αὐτῇ γενομένας πατρίους θυσίας
καὶ τὰς τῶν προγόνων θήκας φέρειν δεῖ τοὺς εὖ φρονοῦντας
τὴν ψῆφον. καὶ ὅταν Δημοσθένης ἐξαπατᾶσθαι βουλόμενος 74
15 καὶ παρακρουόμενος ὑμᾶς οἰκτίζηται καὶ δακρύῃ, ὑμεῖς εἰς
τὸ τῆς πόλεως σῶμα ἀποβλέψαντες καὶ τὴν πρώτην δό-
ξαν αὐτῇ ὑπάρχουσαν ἀντίθετε, πότερον ἡ πόλις ἐλευθερω-
τέρα διὰ τοῦτον γέγονεν ἢ διὰ τὴν πόλιν Δημοσθένης. εὑρήσετε
γὰρ τοῦτον μὲν λαμπρῶν ἐξ οὗ προσελήλυθεν εἰς τὸ πολι-
τεύεσθαι γεγενημένον, καὶ ἀντὶ μὲν λογογράφου καὶ μισθου
τὰς δίκας λέγοντος ὑπὲρ Κτησίππου καὶ Φορμίωνος καὶ
20 ἑτέρων πολλῶν πλουσιώτερον ὄντα τῶν ἐν τῇ πόλει, ἀντὶ δ' ἀ-
γνώτου καὶ οὐδεμίαν πατρικὴν δόξαν παρὰ τῶν προγόνων
παρειληφότος ἔνδοξον γεγενημένον, τὴν δὲ πόλιν οὐκ ἀξίως
αὐτῆς οὐδὲ τῆς τῶν προγόνων δόξης διακειμένην. ἀφέντες
οὖν τοὺς ἐλέους καὶ τοὺς φενακισμοὺς τοὺς τούτου τὴν δικαίαν
καὶ δικαίαν φέρετε ψῆφον, καὶ σκοπεῖτε τὸ τῇ πατρίδι
25 συμφέρον, μὴ τὸ Δημοσθένει· τοῦτο γάρ ἐστι καλῶν κἀγαθῶν δικαστῶν ἔργον.

κεφ. Καὶ ὅταν ἀναβαίνῃ τις [2] συνηγορήσων Δημοσθένει, 75
λογίζεσθε ὅτι οὗτος ὁ ἄνθρωπος, εἰ μὲν μὴ ἔνοχος ὢν ταῖς
μελλούσαις ἀποφάσεσιν ἀναβαίνει, κακόνους ἐστὶ τῇ πολι-
τείᾳ, καὶ τοὺς ἐπὶ τῷ δήμῳ δῶρα λαμβάνοντας οὐ βου-

[1] ἐμοῦ αὐτὴν

[2] δημηγορήσων

Καλῶς καὶ πολλῶς] Non improbo verborum hunc ordinem, admoneo tantum, inverso modo Graecos solere dicere πολλοὺς καὶ καλούς. V. v. 4. Reiske.

Καὶ ἐν αὐτῇ] P. καὶ τὰς ἐν αὐτῇ. Wolf. H. Stephan.

Ἐξαπατᾶσθαι βουλόμενος καὶ παρακρουόμενος] Cur non potius dixit, aut ἐξαπατῶν καὶ παρακρούων, aut ἐξαπατᾶσθαι βουλόμενος καὶ παρακρούεσθαι? miror equidem hanc in dicendo incomatantiam, cujus causam nullam video. Reiske.

Δῶρα] L. ἄξιωμα, ut p. 328. v. ult. Markland.

Κτησίππου] Orationis a Demosthene pro Ctesippo scriptae nemo, quod sciam, alius, ne ipse quidem Taylor, qui satis diligenter indicem orationum Demosthenis inediturum cum editis confectum in Adversariis reliquit. Reiske.

Ὄντα τῶν] Videtur interponendum esse πάντων. Reiske.

Διαμεμενηκότα] L. διαμεμενηκότα. Sed Perquam probabiliter. Reiske.

Οὐ βουλόμενος — βούλεται] Eo, quod non vult eos poenas dare, vult idem ea quoque praesidium securitatis publicae tolli. Idem.

λόμενος δίκην δοῦναι καὶ τὴν κοινὴν τῶν ὑμετέρων σωμάτων φυλακήν, ἐφ' ᾗ τέτακται τὸ ἐν Ἀρείῳ πάγῳ συνέδριον, καταλυθῆναι βούλεται καὶ συγκεχύσθαι πάντα τὰ ἐν τῇ 30 πόλει δίκαια· εἰ δὲ ῥήτωρ ἢ στρατηγὸς, οἳ τὴν καθ' αὑτῶν προσδοκωμένην ἀπόφασιν ἄπιστον βουλόμενοι γενέσθαι συνηγοροῦσιν, οὐ προσεκτέον ὑμῖν ἐστὶ τοῖς τούτων λόγοις, εἰδότας ὅτι ἐκ πάντων τούτων γίνεται συνεργία περὶ τὸν Ἁρπάλου κατάπλουν καὶ τὴν ἄφεσιν. νομίσαντες οὖν, ὦ Ἀθηναῖοι, καθ' ὑμῶν πάντας τούτους ἀναβαίνειν καὶ κοινοὺς ἐχθροὺς εἶναι τῶν νόμων καὶ τῆς πόλεως ἁπάσης, μὴ 35 ἀποδέχεσθε αὐτῶν, ἀλλὰ κελεύετε ἀπολογεῖσθαι περὶ τῶν 76 κατηγορημένων· μηδὲ τὴν αὐτοῦ τούτου μανίαν, ὃς μέγα φρονεῖ ἐπὶ τῷ δύνασθαι λέγειν· καὶ ἐπειδὰν φανερὸς ὑμῖν γένηται δωροδοκῶν, ὅτι μᾶλλον ἐξελήλεγκται φενακίζων ὑμᾶς, τιμωρήσασθε ὑμῶν αὐτῶν καὶ τῆς πόλεως ἀξίως· εἰ δὲ μὴ, μιᾷ ψήφῳ καὶ ἑνὶ ἀγῶνι πάντας τοὺς ἀποπεφασμένους καὶ τοὺς μέλλοντας ἀφέντες εἰς ὑμᾶς αὐτοὺς καὶ τὸν 40 δῆμον τὴν τούτων δωροδοκίαν τρέψετε, καὶ ὕστερον ἐγκαλεῖτε τοῖς ἀφεῖσιν, ὅτε οὐδὲν ἔσται πλέον ὑμῖν.

κβ'. Ἐγὼ μὲν οὖν, ὅσον εἰς τὸ μέρος τοὐμὸν τῆς κατη- 77 γορίας ἥκει, βεβοήθηκα, τἆλλα πάντα παριδὼν πλὴν τοῦ δικαίου καὶ τοῦ συμφέροντος ὑμῖν. οὐκ [1] ἐγκαταλέλοιπα τὴν πόλιν, οὐ χάριν προὐργιαιτέραν τῆς τοῦ δήμου χειροτονίας ἐποιησάμην. ἀξιῶν δὲ καὶ ὑμᾶς τὴν αὐτὴν γνώμην ἔχειν, παραδίδωμι τὸ ὕδωρ τοῖς ἄλλοις κατηγόροις.

[1] ἐγκατέλιπον

Στρατηγὸς, οἳ] Hæc duo vocabula videntur in unum στρατηγοὶ conflanda esse. Idem.

Ὑμῖν — εἰδότας] Aut ὑμᾶς leg. est, aut εἰδόσιν. Idem.

Μηδὲ τὴν αὐτοῦ τούτου μανίαν, ὃς] Apparet primum αὐτοῦ vitiosum esse, cum sit inutile, deinde deesse imperativum aliquem, e. c. θαυμάζετε. Num ergo dedit Dinarchus: μηδὲ τὴν τοῦ συκοφάντου τούτου θαυμάζετε μανίαν, ὃς —. Idem.

Γένηται] Malim γεγένηται. Idem.

Ὅτι μᾶλλον] F. ἔτι μᾶλλον. Wolf. Probo. Sed tum quoque post φενακίζων ὑμᾶς, addendum erit ἀλλὰ, ut sit: φεν. ὑμᾶς, ἀλλὰ τιμωρήσασθε. Reisk.

Μέλλοντας] Subaud. ἀποφανθήσεσθαι. Idem.

Ἐγκαλεῖτε] Wolf hoc habet pro futuro secundo, et usurpatum putat pro ἐγκαλέσετε. Sæpe tamen præsens ab Atticis pro futuro usurpatur. Sed vide hac de causa subtilitate plus quam grammatica disputantem Richardum Dawesium in Miscellaneis Criticis. H. Stephanus tamen in margine h. l. annotavit. Π. ἐγκαλέσετε. Idem.

Τοῦ μὲν] F. τοὐμὸν. Wolf. H. Stephan. Gruter.

ΔΕΙΝΑΡΧΟΥ

ΚΑΤΑ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ.

Pag. ed. Steph. — Pag. ed. Reisk.

105. 1 α'. ΠΑΝΘ', ὡς ἔοικεν, ὦ Ἀθηναῖοι, προσδοκητέα ἐστὶ 77
καὶ ἀκοῦσαι καὶ ἰδεῖν ἐν ταῖς γεγενημέναις ἀποφάσεσι·
θαυμασιώτατον δὲ πάντων, ὡς ἐμοὶ δοκεῖ, τὸ νῦν γινόμενον.
ὁ γὰρ πονηρότατος τῶν ἐν τῇ πόλει, μᾶλλον δὲ καὶ τῶν
5 ἄλλων ἀνθρώπων, Ἀριστογείτων διαδικασόμενος ἥκει [1] τῇ ἐξ
Ἀρείου πάγου [2] βουλῇ περὶ ἀληθείας καὶ δικαιοσύνης, καὶ
νυνὶ μείζονα κίνδυνον ἢ τὴν ἀπόφασιν ποιημένη βουλὴ
κινδυνεύει ἢ ὁ δῶρα λαμβάνων καθ' ὑμῶν καὶ τὴν ὑπὲρ τῶν
δικαίων παρρησίαν ἀποδόμενος εἴκοσι μνῶν. τούτῳ μέν γε
καινὸν οὐδὲν οὐδὲ δεινόν, ἐὰν ἁλῷ, συμβήσεται· καὶ γὰρ
θανάτου ἄξια πολλὰ πρότερον ἕτερα διαπέπρακται, καὶ
10 ἐν τῷ δεσμωτηρίῳ πλείω χρόνον ἢ ἔξω διατέτριφε, καὶ
ὀφείλων τῷ δημοσίῳ κατὰ τῶν ἐπιτίμων γέγραφεν οὐκ 78
ἐξὸν αὐτῷ, καὶ ἕτερα πολλὰ καὶ δεινὰ πεποίηκε, περὶ ὧν
ἀκριβέστερον ὑμεῖς ἐμοῦ γιγνώσκετε· τῇ δὲ βουλῇ τὸ δόξαι
ψευδῆ κατὰ Ἀριστογείτονος ἀποφαίνειν καὶ τοῦτον ἐκείνης
παρ' ὑμῖν ὑποληφθῆναι δικαιότερα λέγειν τῶν αἰσχίστων
καὶ δεινοτάτων ἐστίν. διόπερ, ὦ Ἀθηναῖοι, οὗτός μοι δοκεῖ,
15 τὸν ἀγῶνα αὐτῷ ἀσφαλῆ εἶναι νομίζων, διαπειρασόμενος
ἥκειν τῆς ὑμετέρας γνώμης. ἅπαντα γὰρ αὐτῷ πολλάκις
τὰ δεινὰ συμβέβηκε, πλὴν τοῦ ἀποθανεῖν· τοῦτο δ', ἂν
θεὸς θέλῃ καὶ ὑμεῖς σωφρονῆτε, ἐν τῇ τήμερον ἡμέρᾳ συμ-
βήσεται. οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα βελτίω γενήσεσθαι
αὐτὸν προσδοκᾶτε συγγνώμης νυνὶ τυγχάνοντα παρ' ὑμῶν,
οὐδὲ τὸ λοιπὸν ἀφέξεσθαι τοῦ λαμβάνειν χρήματα καθ'
ὑμῶν, ἐὰν νῦν ἀφῆτε αὐτόν. πονηρίαν γὰρ ἀρχομένην μὲν

[1] τὴν — [2] βουλὴν

Ἥκει τὴν] Interpone πρὸς. V. p. 316. 11. REISK. — Αὐτῶν] Π. αὐτὸν. H. STEPHAN. SCALIG.

κωλῦσαι τάχα τις κολάζων δυνηθείη, ἐγκαταγεγηρακυῖαν δὲ καὶ [1]γεγευμένην τῶν εἰθισμένων τιμωριῶν ἀδύνατον εἶναι λέγουσιν. εἰ μὲν οὖν ἐγγενήσεσθαι βούλεσθε [2]δευσοποιὸν ἐν
79 τῇ πόλει πονηρίαν, διαφυλάττειν ὑμᾶς Ἀριστογείτονα δεῖ, καὶ ἐὰν ὅ τι ἄν τις βούληται ἐν τῇ πόλει διαπράττεσθαι· εἰ δὲ τοὺς πονηροὺς καὶ καταράτους ἀνθρώπους μισεῖτε καὶ ἔστιν ὑμῖν ὀργὴ καὶ μνήμη τῶν πρότερον ὑπὸ τούτου πεπρα- 25
γμένων, ἀποκτείνατε τοῦτον, ὃς παρ' Ἀρπάλου λαβεῖν χρήματα ἐτόλμησεν, ὃν [3]ἤσθεθ' ἥκειν καταληψόμενον τὴν πόλιν [4]ὑμῶν, καὶ τὰς προφάσεις καὶ τοὺς φενακισμοὺς ἐκκόψατε αὐτοῦ· τούτοις γὰρ ἥκει πιστεύων πρὸς [5]ὑμᾶς.

6'. Ἆρ' ἴσθ' ὅτι τῆς Ἁρπάλου ἀφίξεως δυσχεροῦς οὔσης ἐκεῖνο συμβέβηκεν εὐτύχημα τῇ πόλει, διότι πεῖραν εἰλήφατ' ἀκριβῆ τῶν ἕνεκ' ἀργυρίου καὶ χρυσίου προϊεμένων 30
πάντα τοῖς [6]τῆς πόλεως ἐχθροῖς; μὴ [7]καταῤῥαθυμήσητε, ὦ Ἀθηναῖοι, μηδ' ἀπείπητε τιμωρούμενοι τοὺς πονηροὺς, ἀλλ' ἐκκαθάρατε, καθ' ὅσον δυνατόν ἐστι, τὴν δωροδοκίαν ἐκ τῆς πόλεως. καὶ μὴ τῶν παρ' ἐμοῦ λόγων ἀκούειν ζητήσητε, φανερῶν ὑμῖν γεγενημένων τῶν ἀδικημάτων ἐκ τῶν ὑπὸ τῆς βουλῆς ἀποπεφασμένων. ἢ διὰ [8]τοὺς τοῦ κρινομένου προγόνους καὶ τὴν αὐτοῦ μετριότητα, καὶ ὅτι ὑμᾶς πολλὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἀγαθὰ εἴργασται, ἄξιον αὐτοῦ φείσασθαι; τί γὰρ ἀγνοεῖτε δι' ὃ δεῖσθε λόγων ἀκούειν κατὰ τοῦ νῦν κρινομένου; πότερ' ἡ τῆς βουλῆς ἀπόφασις, ἐὰν μὲν ἡμεῖς οἱ κατήγοροι δέκα ὄντες τὸ ὕδωρ ἀναλώσωμεν ἅπαν καὶ ἀναβοήσωμεν ὡς δεινόν ἐστιν ἀφεῖσθαι τοὺς
80 εἰλημμένους ἔχοντας ἐπ' αὐτοφώρῳ δῶρα κατὰ τῆς πατρίδος, ἀληθὴς καὶ δικαία ἡ κατὰ Ἀριστογείτονος ἔσται ἀπό- 40
φασις, ἐὰν δ' ἕκαστος ἡμῶν, ὡς εἰδότων ὑμῶν πάντα οὐδὲν ἧττον ἡμῶν τὰ δίκαια περὶ τουτωνὶ τῶν ἀγώνων, βραχέα

[1] γεγενημένην [2] ψευδοποιὸν [3] ᾔσθεσθ' [4] ἡμῶν [5] ἡμᾶς [6] τῆς om. [7] καταῤῥαθυμήσατε [8] τοὺς κρινομένους

Γεγενημένην] Π. γεγευμένην. H. STEPHAN. Deesse hic aliquid liquet, sed incertum est, utrum κρείττω, ut vult Palmerius, an ἰσχυροτέραν, aut ὑπερτέραν, an, cum Toupio Emend. ad Suid. T. I. p. 96. περιγεγενημένην leg. sit, quod idem mihi quoque aliquando in mentem venerat. reliquendum ergo mendum fuit nobis, qui arbitrio codicum destituamur. REISK.

Τοῖς πόλεως] Interpone τῆς. IDEM.

Τοὺς κρινομένους] Lego τοὺς τοῦ κρινομένου. IDEM.

Περὶ τουτωνὶ τῶν ἀγῶν.] Videtur leg. περὶ τουτονὶ τὸν ἀγῶνα. IDEM.

Βραχέα] Num hic adverbialiter est accipiendum, pro βραχέως? an leg. διὰ

06. 1 εἰπὼν καταβῇ, ψευδὴς, καὶ οὐδεὶς ταύτῃ πιστεύσει ὡς παρὰ τῶν Ἀρεοπαγιτῶν γεγενημένῃ; ἢ τὸ δῶρα λαμβάνειν ἐπὶ προδοσίᾳ τῶν τῆς πόλεως συμφερόντων οὐκ ἴσθ' ὅτι τῶν δεινοτάτων ἐστὶ καὶ τῶν πλεῖστα κακὰ τὰς πόλεις ἐργαζομένων.

γ'. Ἀλλ' αὐτὸς ὁ κρινόμενος νὴ Δία μέτριος τὸν τρόπον, 5 καὶ προγόνων χρηστῶν, καὶ πολλὰ ἡμᾶς καὶ ἰδίᾳ καὶ δημοσίᾳ καλὰ εἰργασμένος, ὥστε διὰ τοῦτ' ἄξιόν ἐστιν αὐτοῦ φείσασθαι; καὶ τίς ὑμῶν οὐ πολλάκις ἀκήκοεν, ὅτι [1] Κυδιμάχου μὲν τοῦ πατρὸς τοῦ Ἀριστογείτονος θανάτου καταγνωσθέντος καὶ φυγόντος ἐκ ταύτης τῆς πόλεως ὁ χρηστὸς οὗτος υἱὸς περιεῖδε τὸν αὐτοῦ πατέρα καὶ ζῶντα τῶν ἀναγκαίων σπανίζοντα καὶ τελευτήσαντα οὐ τυχόντα τῶν 31 νομίμων, ἅπερ αὐτοῦ πολλάκις κατεμαρτυρεῖτο· αὐτὸν δὲ 10 τοῦτον, ὅτ' εἰς τὸ δεσμωτήριον τὸ πρῶτον ἀπήχθη — πολλάκις γὰρ ἴστε τοῦτο δήπου γεγενημένον —, τοιαῦτα τολμήσαντα ποιεῖν αὐτοὺς, ὥστ' ἐκείνους ἀποψηφίσασθαι μήτε πῦρ ἐναύειν τούτῳ μήτε συσσιτεῖν μηδένα μήτε θυσιῶν τῶν γινομένων κοινωνεῖν; καίτοι, ὦ Ἀθηναῖοι, τίνα χρὴ τοῦτον νομίζειν ἔχειν διάνοιαν, ὃς διὰ μὲν πονηρίαν εἰς τὸ δεσμωτήριον ἐνέπεσεν, ἐκεῖ δ' ὢν παρὰ τοῖς ἐκ τῶν ἄλλων ἀνθρώπων 15 κακούργοις ἀνηγμένοις οὕτως εἶναι πονηρὸς ἔδοξεν, ὥστε μηδ' ἐκείνοις τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις, ἀλλὰ κλέπτην — ὥς φασι — ληφθέντα τουτονὶ παρ' ἐκείνοις, εἰ ἦν ἕτερός τις τόπος ἀνοσιώτερος ἵνα ἐξῆν ἀπάγειν τοὺς ἐκ δεσμωτηρίου κλέπτοντας, εἰς ἐκεῖνον ἂν τοῦτο τὸ θηρίον ἀπαχθῆναι; καὶ ταῦθ', ἅπερ ἀρτίως εἶπον, τίς οὐκ οἶδε καταμαρτυρηθέντα Ἀριστογείτονος, ὅτ' ἐμπορίου ἐπιμελητὴς λαχὼν 32

[1] τοῦ Κυδ.

βραχέων? an potius post τὰ δίκαια, aut post περὶ τουτονὶ τὸν ἀγῶνα deest aliquid. διεξελθάν? videtur utique. nam πάντα cum τὰ δίκαια jungi nolim. IDEM.

Ταύτῃ] Scil. τῇ παρὰ τῆς ἐξ Ἀρείου πάγου βουλῆς ἀποφάσει τῶν τὰ ἁρπάλεια χρήματα διανειμαμένων. IDEM.

Ὡς παρὰ] Fors. οὐ est interponendum. IDEM.

Τοῦ Κυδιμ.] Τοῦ abesse malim. IDEM.

Αὐτοὺς] Dictum πρὸς τὸ σημαινόμενον pro τοὺς αὐτοῦ, scil. ὄντας, vel δεδεμένους. Satis enim per se intelligitur, nexos in carcere hic designari. tam scelesta in eos, qui ibi essent, ausum patrare. Accusativus τολμήσαντα pendet e τίς ὑμῶν οὐ πολλάκις ἀκήκοεν. IDEM.

Ἀνηγμένοις] De verbo ἀνάγειν, quatenus significat per vim abreptum in captivitatem et in vincula agere, dixi ad Polyb. p. 123. Præpositio ἀνὰ, unde compositum est, h. l. significat, *seorsim*, procul a reliqua societate humana. IDEM.

Ἐκείνοις] Id est, παρ' ἐκείνων. IDEM.

Τοὺς ἐκ] Num τὰ interponendum? IDEM.

ἀπεδοκιμάσθη ὑπὸ τῶν τότε δικαζόντων ἄρχειν τὴν αὐτὴν 20
ἀρχήν; ἔπειτ' εἰρωνεύεσθε πρὸς ὑμᾶς αὐτοὺς, καὶ περὶ Ἀριστογείτονος μέλλοντες φέρειν τὴν ψῆφον ἐλεεῖτε, ὃς τὸν αὐτοῦ πατέρα κακῶς διατιθέμενον ὑπὸ λιμοῦ οὐκ ἠλέησεν; ἔπειτα [1]παρ' ἡμῶν ἔτι λόγους ἀκούειν βούλεσθε περὶ τῆς Ἀριστογείτονος τιμήσεως, ὃν ἴστε ἀκριβῶς ὅτι δικαίως ἂν καὶ ἐκ τοῦ ἄλλου βίου καὶ ἐκ τῶν νῦν αὐτῷ πεπραγμένων τῆς ἐσχάτης τύχοι τιμωρίας; οὐκ Ἀριστογείτων ἐστὶν, ὦ 25
Ἀθηναῖοι, ὁ κατὰ τῆς ἱερείας τῆς Ἀρτέμιδος τῆς Βραυρωνίας καὶ τῶν οἰκείων αὐτῆς τοιαῦτα γράψας καὶ ψευσάμενος, ὥσθ' ὑμᾶς, ἐπειδὴ τὴν ἀλήθειαν ἐπύθεσθε παρὰ τῶν κατη-
83 γόρων, πέντε ταλάντων τιμῆσαι τοῦτον, ὅσονπερ ἦν ἐπὶ τῇ τῶν παρανόμων γραφῇ τίμημα ἐπιγεγραμμένον; ὃ οὗτος πρὶν ἐκτῖσαι, τοῦτο συκοφαντῶν τὸν ἐντυγχάνοντα ὑμῶν καὶ λέγων καὶ γράφων ἐν τῷ δήμῳ διατετέλεκε, καὶ καταφρονῶν 30
ἁπασῶν τῶν τιμωριῶν αἳ κατὰ τῶν ἀδικούντων ἐν τοῖς νόμοις εἰσὶ γεγραμμέναι. οὐ τὸ τελευταῖον οὗτος ἐνδειχθεὶς ὑπὸ Λυκούργου, καὶ ἐξελεγχθεὶς ὀφείλων τῷ δημοσίῳ λέγειν οὐκ ἐξὸν αὐτῷ, καὶ παραδοθεὶς τοῖς ἕνδεκα κατὰ τοὺς νόμους, περιπατῶν ἔμπροσθεν τῶν δικαστηρίων καὶ εἰς τὴν προεδρίαν τῶν πρυτάνεων ἐκάθιζεν;

δ'. Εἶτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὃν οἱ νόμοι μὲν πολλάκις ὑμῖν παραδεδώκασι τιμωρήσασθαι κατεψηφισμένον ὑπὸ τῶν 35

[1] παρ' ἡμῶν om.

Ἄρχειν] Coheret cum ἀπεδοκιμάσθη. ut δοκιμάζεσθαι ἄρχειν (pro ὥστε ἄρχειν) dicitur, *in censura morum, in scrutinio vitæ, probari ita ut dignus habeare qui admittaris ad magistratum*, sic contra ἀποδοκιμάζεσθαι ἄρχειν (pro ὥστε μὴ ἄρχειν), *reprobari quominus eum geras*. Idem.

Τὴν αὐτὴν ἀρχὴν] Nove dictum, ex more deterioris Græciæ, pro ταύτην τὴν ἀρχήν. Nisi si sic accipiamus, pro τὴν αὐτὴν ἑαυτοῖς ἀρχήν. *magistratum eundem quem ipsi gererent*. Idem.

Βαυρωνίας] L. Βρεαυρωνίας. Markland.

Παρὰ τῶν κατηγόρων] Aristogitonis puta, qui causam sacerdotis illius agebant. Reisk.

Τοῦτον] Π. τούτῳ. H. Stephan. Ego malim τοσοῦτον, scil. τίμημα. Reisk.

Γραφῇ] Quam scil. Aristogiton adversus illam Dianæ sacerdotem instituerat, cujus litis æstimationem ipse quinque talenta scripserat. Idem.

Τοῦτο] Malim πάντα. Idem.

Ἐνδειχθεὶς ὑπὸ Λυκούργου] Habemus adhuc illam ἔνδειξιν, verum non sub Lycurgi, sed sub Demosthenis nomine, cujus non est. Idem.

Τῷ δημοσίῳ, λέγειν οὐκ ἐξὸν] Mutavi pravam hanc distinctionem sic: ὀφείλων τῷ δημοσίῳ λέγειν, οὐκ ἐξόν. cum Lycurgus eum actionis illo genere, quod ἔνδειξις appellatur, insectatus detulisset, ut eum, qui concionaretur, quanquam ærario adhuc debens, id quod non liceret. Ærario enim debentes, donec satisfecissent, foro excludebantur hoc ipso facto. Idem.

Δικαστηρίων] Pone δικαστηρίων deesse videtur ὥφθη, vel ἐωρᾶτο, vel simile quid. Quod si admittatur, malim altero versu statim post ἐγκαθίζων pro ἐκάθιζεν. Idem.

Κατεψηφισμένον ὑπὸ τῶν πολιτῶν, ἐνδειχθέντα] Videtur et lectio, et interpunctio

πολιτῶν ἐνδειχθέντα, φυλάξαι δ' οὐθ' οἱ ἕνδεκα δεδύνηνται 84
οὔτε τὸ δεσμωτήριον, τούτῳ βουλήσεσθε συμβούλῳ χρῆσθαι;
καὶ ὁ μὲν νόμος εὐξάμενον κελεύει τὸν κήρυκα μετ' εὐφημίας
πολλῆς, οὕτως ὑμῖν τὸ βουλεύεσθαι περὶ τῶν πραγμάτων
παραδιδόναι· ὑμεῖς δὲ τὸν ἀνόσιον καὶ περὶ πάντας πονηρὸν
40 καὶ μάλιστα περὶ τὸν ἑαυτοῦ πατέρα γεγενημένον, τοῦτον
μεθ' ὑμῶν καὶ μετὰ τῶν ὑμετέρων οἰκείων καὶ συγγενῶν
ἐάσετε πολιτεύεσθαι; καὶ Δημάδη μὲν καὶ Δημοσθένει
οὐδεμίαν ᾤεσθε δεῖν συγγνώμην ἔχειν, ὅτι δῶρα καθ' ὑμῶν
ἐξηλέγχθησαν λαμβάνοντες, ἀλλ' ἐτιμωρήσασθε, καὶ δι-
καίως, οἷς εἰ μὴ πάντα ἀλλὰ πολλά γε σύνιστε χρήσιμα
πολιτευομένοις· τὸν δὲ κατάρατον τοῦτον, ὃς ἀγαθὸν μὲν
07. 1 ὑμᾶς πεποίηκεν οὐδεπώποτε ἐξ οὗ πρὸς τὴν πολιτείαν προσ-
ελήλυθε, κακὸν δ' ὅ τι δυνατός ἐστιν, ἀφήσετε; καὶ τίς
οὐκ ἂν ἐγκαλέσειεν ὑμῖν τοῖς τοῦτον δεχομένοις σύμβουλον;
ὅταν γὰρ ἄνθρωπος γνώριμος καὶ φανερὸς καὶ περιβόητον 85
τὴν πονηρίαν παρὰ πᾶσι τοῖς πολίταις ἔχων δημηγορῇ, τότε
τοὺς ἀκούοντας ὑμᾶς οἱ περιεστηκότες [1] θαυμάζουσι, πότερον
5 βελτίους οὐκ ἔχετε συμβούλους [2] ἢ καὶ χαίρετε τῶν τοιού-
των ἀκούοντες. χρὴ δέ, ὦ Ἀθηναῖοι, ὥςπερ οἱ πρῶτοι νομο-
θέται περὶ τῶν ἐν τῷ δήμῳ λεγόντων τοῖς προγόνοις ἡμῶν
ἐνομοθέτησαν, οὕτω καὶ ὑμᾶς ζητεῖν ἀκούειν, ἵνα βελτίους
τοὺς προσιόντας ὑμῖν ποιήσητε. πῶς οὖν ἐκεῖνοι περὶ τούτων
ἐγίνωσκον; πρῶτον μὲν καθ' ἑκάστην δημοσίᾳ ἀρὰς ποιού-
μενοι κατὰ τῶν πονηρῶν, εἴ τις δῶρα λαμβάνων μετὰ ταῦτα
10 [3] λέγει καὶ γινώσκει περὶ τῶν πραγμάτων, ἐζώλη τοῦτον
εἶναι· ὧν οὗτος νῦν ἐστὶν Ἀριστογείτων· ἔπειτ' [4] ἐν τοῖς νό-

[1] θαυμάσουσι [2] ἢ om. [3] λέγῃ καὶ γινώσκῃ [4] ἐν βωμοῖς

h. l. laborare; aut si illa bene habet, hæc certe vitiosa est. Haud intercedam κατεψηφισμένον h. l. pro passivo accipi. *condemnatum*. malim tamen κατεψηφισμένοι. *qui condemnarunt*. Utrum horum mavis, certe post alterutrum, est comma ponendum, et post πολιτῶν tollendum. Illi cives, hic indicati, sunt Lycurgus et ejus advocati. IDEM.

Πολιτευομένοις] Malim πεπολιτευμένοις. IDEM.

Γνώριμος] Γνώριμον καὶ φανερὰν malim, ut ad πονηρίαν redeat. IDEM.

Καὶ χαίρετε] Num ἢ καὶ χ. nam alias caret illud πότερον opposito sibi ἤ. *utrum defectu meliorum oratorum hos feratis, an libenter audiatis et gaudeatis etiam eorum concionibus atque delectemini*. IDEM.

Ἐνομοθέτησαν] Fort. λέγειν ἐνομ. ut habeat insequens ἀκούειν oppositum sibi respondens. *quemadmodum vestri majores oratoribus, qui ad vestros majores verba facerent, legibus præscripserunt, quomodo eos dicere oporteret, ita vos quoque contendite audire ex illarum legum præscripto*. IDEM.

Ἐγίνωσκον] Scil. δεῖν ἀκούειν τῶν λεγόντων ἐν τῷ δήμῳ καὶ ἐν δικαστηρίοις. IDEM.

Καθ' ἑκάστην] Subaudi ἐκκλησίαν. IDEM.

Ἐν βωμοῖς δώρων] Videtur leg. ἀζημίους (vel ἀνεπιζημίους) τὰς δώρων γρ. actiones de

86 μοις δώρων γραφὰς ποιήσαντες, καὶ κατὰ μόνου τούτου τῶν
ἀδικημάτων δεκαπλασίαν ἐπιτιθέντες τοῦ τιμήματος τὴν
ἔκτισιν, ἡγούμενοι τὸν τιμὴν λαμβάνοντα τῶν ἐν τῷ δήμῳ
ῥηθήσεσθαι μελλόντων λόγων, τοῦτον οὐκ ὑπὲρ τῶν τοῦ
δήμου βελτίστων ἀλλ' ὑπὲρ τῶν τοῖς δοῦσι συμφερόντων
δημηγορεῖν· Ἀριστογείτονα τοίνυν ἡ βουλὴ ἀποπέφαγκε· 15
πρὸς δὲ τούτοις ἀνακρίναντες τοὺς τῶν κοινῶν τι μέλλοντας
διοικεῖν, τίς ἔσται τὸν ἴδιον τρόπον, εἰ γονέας εὖ ποιεῖ, εἰ
τὰς στρατείας ὑπὲρ τῆς πόλεως ἐστράτευται, εἰ ἱερὰ πα-
τρῷά ἐστιν, εἰ τὰ τέλη τελεῖ· ὧν οὐδὲν ἂν ἔχοι συμβεβηκὸς
[1] Ἀριστογείτων αὐτῷ δεῖξαι. ἀντὶ μὲν γὰρ [2] τοῦ γονέας εὖ
ποιεῖν κακῶς οὗτος τὸν ἑαυτοῦ πατέρα πεποίηκεν· ὅτε δ'
87 ὑμεῖς ἐστρατεύεσθε πάντες, οὗτος ἦν ἐν τῷ δεσμωτηρίῳ· 20
τοσοῦτον δ' ἀπολέλοιπε τοῦ πατρὸς μνῆμά τι ἔχειν, ὦ
Ἀθηναῖοι, δεῖξαι, ὥστ' οὐδ' ἐν Ἐρετρίᾳ τοῦ πατρὸς αὐτοῦ
τελευτήσαντος ἐκεῖ τὰ νομιζόμενα ἐποίησεν αὐτῷ· τῶν δ'
ἄλλων Ἀθηναίων εἰσφερόντων ἐκ τῶν ἰδίων, οὗτος οὐδ' ἐκ
τῶν δημοσίων καὶ ὧν ὤφλε τὸ ἀργύριον ἅπαν ἐκτέτικεν.
ἁπλῶς δ' εἰπεῖν, ἐναντία τοῖς νόμοις ἅπασι πράττων διατε-
τέλεκε, καὶ τοῦτον μόνον ἡ ἐξ Ἀρείου πάγου βουλὴ τοῖς 25
ἐζητηκόσι καὶ εἰδόσιν ἀποπέφαγκεν· οὐ γὰρ παρ' ἐκείνης
ὑμεῖς πυθόμενοι τοῦτον ἴστε πονηρὸν καὶ ἄδικον ὄντα, ἀλλ'

[1] ὁ Ἀριστ. [2] τοὺς

largitionibus solas aliarum omnium actionum voluerunt exemptas a muleta, quæ alias actori esset pendenda, si causa cecidisset. Idem.

Τοῦ τιμήματος] Æstimationis ejus puta, qua accusator ipse litem in libello accusatorio æstimasset. Edicebant itaque leges, ut in actionibus largitionum judicibus in mulctam liceret condemnato reo decuplum ejus summæ irrogare, qua accusator ipse litem æstimasset. Idem. λήμματος de suo Bekkerus.

Ἔσται] Aut ἐστὶ est leg. aut ἔς τε. quod posterius si verius est, necesse est hic aliquid desiderari. ut sit, e. c. sic: τίς ἔς τε τὰ κοινὰ, καὶ τὸν ἴδιον τρόπον. qui publice, qui privatim ei sint mores. qualem se gerat erga rempublicam, qualem erga amicos. Reisk.

Ἱερὰ] Vales. ad Harpocr. p. 88. vult ἠρία. Idem.

Γὰρ τοὺς] Interpone τοῦ. Idem.

Πατρὸς μνῆμα] Ergo monumenta patrum habebantur ab Atheniensibus ἐν τοῖς πατρῴοις ἱεροῖς. Palam enim hoc refertur ad illud, quod modo dixerat, εἰ ἱερὰ πατρῷά ἐστι. Idem.

Οὐδ' ἐκ τῶν] Lego οὐδὲ τῶν. eorum nummorum, quos ærario debet, et id quidem judicio condemnatus, totam summam nondum persolvit. Idem.

Περαγμάτων] Π. πράττων. H. Stephan.

Τοῖς ἐζητηκόσι] Interponendum videtur οὐκ. Senatus Areopagiticus, cui mandatum fuerat, ut in reos largitionum Harpalearum inquireret, munus hoc peragebat, et facta quæsitione ad plebem referebat. Plebs itaque οὐκ ἐζήτει. volebat tamen per ζητητὰς suos, Senatores Areopagiticos cognoscere, qui partem rapinarum Harpalicarum cepissent. Jam plebs, ante quæsitionem, neminem norat reorum, præter unum Aristogitonem, quem norant participasse illas rapinas, tametsi non inquisivissent. Hujus itaque solius nomen edebat Senatus Areopagiticus ad plebem jam præsciam; cæterorum ad ignaram. Idem.

ἕκαστος ὑμῶν ἀκριβῶς οἶδε τὴν τούτου [1] πονηρίαν. ὥστε τὸ 88
πολλάκις λεγόμενον ἀληθὲς εἰπεῖν [2] ἐστὶν, ὅτι περὶ μὲν τούτου
τὴν ψῆφον ὑμεῖς μέλλετε φέρειν, περὶ δ' ὑμῶν οἱ περιεστη-
κότες καὶ οἱ ἄλλοι πάντες.

ε'. Διὸ καὶ σωφρόνων ἐστὶ δικαστῶν, ὦ Ἀθηναῖοι, μηθ'
30 ὑμῖν αὐτοῖς ἐναντίαν ἐνεγκεῖν τὴν ψῆφον μήτε πᾶσι τοῖς ἄλ-
λοις Ἀθηναίοις, ἀλλ' ὁμοθυμαδὸν καταψηφισαμένους πάντας
παραδοῦναι τοῖς ἐπὶ [3] τούτῳ τεταγμένοις θανάτῳ ζημιῶσαι,
καὶ μὴ προέσθαι καὶ μὴ προδοῦναι τὴν θείαν καὶ τὴν εὔορκον
ψῆφον, ἀναμνησθέντας ὅτι τούτου κατέγνωκεν ἡ βουλὴ δῶρα
λαμβάνειν καθ' ὑμῶν, τούτου κατέγνωκεν ὁ πατὴρ καὶ ζῶν
35 καὶ τελευτήσας ἀδικεῖν ἑαυτὸν, καὶ ἵνα τὸ πρᾴοτερον εἴπω
τῶν ὀνομάτων, τούτου καταχειροτονήσας ὁ δῆμος παρέδωκεν
ὑμῖν τιμωρήσασθαι. οὗτος πολλὰ κακὰ διαπεπραγμένος ἐπὶ
τοιούτοις εἴληπται πράγμασι νῦν ἀδικῶν, ἐφ' οἷς αἰσχρόν
ἐστιν ὑμῖν τοῖς δικάζουσιν ἀτιμώρητον ἐᾶσαι τοῦτον. τίνα
γὰρ τρόπον, ὦ Ἀθηναῖοι, περὶ τῶν ἄλλων ἀποφάσεων οἴσετε
τὴν ψῆφον; ἢ διὰ τίνας προφάσεις τῶν ἤδη κεκριμένων ἔσεσθε 89
40 κατεψηφισμένοι; ἢ διὰ τί τὸ μὲν ἀποφαίνειν τὴν βουλὴν τοὺς
εἰληφότας τὰ χρήματα φαίνεσθε σπουδάζοντες, τὸ δὲ τιμω-
ρεῖσθαι τοὺς ἀποπεφασμένους ἐῶντες; μὴ γὰρ ἰδίους ἀγῶνας
τούτους ὑπολάβητε εἶναι κατὰ τῶν νῦν [4] μόνον ἀποπεφα-
σμένων, ἀλλὰ κοινοὺς κατὰ τῶν ἄλλων ἀνθρώπων. δωροδοκία
γὰρ καὶ προδοσία κρινομένη παρ' ὑμῖν δυοῖν θάτερον ἐπὶ τοῦ
λοιποῦ χρόνου ποιήσει τοὺς ἄλλους, ἢ χρήματα λαμβάνειν
108. 1 καθ' ὑμῶν θαρροῦντας ὡς οὐ δώσοντας δίκην, ἢ φοβεῖσθαι
τὸ λαμβάνειν ὡς τῆς τιμωρίας τοῖς ληφθεῖσιν ἀξίας γενη-
σομένης τῶν ἀδικημάτων. οὐκ ἴσθ', ὅτι καὶ νῦν ὁ φόβος ὁ
παρ' ὑμῶν τοὺς ὁρμῶντας ἐπὶ τὰ καθ' ἡμῶν ἥκοντα χρή-
ματα νῦν ἀνείργει καὶ ποιεῖ πολλάκις ἀπὸ τοῦ λήμματος
5 ἀποστρέφειν; καὶ τὸ ψήφισμα τοῦ δήμου, τὸ ζητεῖν τὴν

[1] μοχθηρίαν [2] ἐστιν ἔτι· περὶ [3] τοῦτον [4] μόνον

Ἔστιν ἔτι] F. ἐστὶν, ὅτι —. MARKLAND. Malim ἔστι καὶ νῦν ἔτι. REISK.

Περὶ μὲν τούτου] Post μὲν interponi velim οὖν. Aut alias sic leg. sit: ἀληθὲς ἔστιν, ὅτι περὶ μὲν τούτου. IDEM.

Τοῦτον] H. τοῦτο. Ἢ τούτῳ. H. STEPHAN. Significatur cura extrema supplicia in condemnatis exsequendi. REISK.

Θείαν] Fort. εὐθεῖαν. IDEM.

Πρᾴοτερον] Malit fort. quispiam πρᾴοτατον, neque admodum repugnabo. IDEM.

Μόνον] Melius pone ἀποπεφασμέναν collocetur. IDEM.

Ἡμῶν] Num ὑμῶν. IDEM.

Ἀποστρέφειν] Videtur leg. τοὺς ὀφθαλμοὺς ἀποστρέφειν] IDEM.

βουλὴν περὶ τούτων τῶν χρημάτων προστάττον, οὐδὲ τοὺς κεκομικότας τὸ χρυσίον εἰς τὴν χώραν ὁμολογεῖν πεποίηκε; καλῶς γάρ, ὦ Ἀθηναῖοι, καλῶς οἱ πρόγονοι περὶ τούτων
90 ψηφισάμενοι στήλην εἰς ἀκρόπολιν ἀνήνεγκαν, ὅτε φασὶν Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην κομίσαι τὸ χρυσίον ἐκ Μήδων ἐπὶ διαφθορᾷ τῶν Ἑλλήνων. πρὶν γὰρ λαβεῖν τινὰς καὶ δοῦναι [1] τοῦ τρόπου πεῖραν, φυγὴν τοῦ κομίσαντος τὸ χρυσίον καταγνόντες, ἐξήλασαν αὐτὸν ἐξ ἁπάσης τῆς χώρας. καὶ ταῦθ', ὥσπερ εἶπον, εἰς τὴν ἀκρόπολιν εἰς στήλην χαλκῆν γράψαντες ἀνέθεσαν, παράδειγμα [2] ὑμῖν τοῖς ἐπιγινομένοις καθιστάντες, καὶ νομίζοντες τὸν ὁπωσοῦν χρήματα λαμβάνοντα οὐκ ὑπὲρ τῆς πόλεως ἀλλ' ὑπὲρ τῶν διδόντων βουλεύεσθαι. καὶ μόνῳ τούτῳ προσέγραψαν τὴν αἰτίαν δι' ἣν ὁ δῆμος ἐξέβαλεν αὐτὸν ἐκ τῆς πόλεως, γρά-
15 ψαντες διαῤῥήδην· Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην πολέμιον εἶναι τοῦ δήμου καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος, καὶ φεύγειν Ἀθήνας ὅτι τὸν ἐκ Μήδων χρυσὸν ἤγαγεν εἰς Πελοπόννησον. καίτοι εἰ τὸν ἐν Πελοποννήσῳ χρυσὸν ὁ δῆμος πολλῶν κακῶν αἴτιον ἡγεῖτο τοῖς Ἕλλησιν εἶναι, πῶς χρὴ ῥᾳθύμως ἔχειν ὁρῶντας ἐν ταύτῃ τῇ πόλει δωροδοκίαν γινομένην; καί μοι σκοπεῖτε ταύτην τὴν στήλην.

ΣΤΗΛΗ.

καίτοι, ὦ Ἀθηναῖοι, τί ἂν οἴεσθε ποιῆσαι ἐκείνους τοὺς ἄνδρας λαβόντας ἢ στρατηγὸν ἢ ῥήτορα πολίτην ἑαυτῶν
91 δῶρα δεχόμενον ἐπὶ τοῖς [3] τῆς πατρίδος συμφέρουσιν, οἳ τὸν ἀλλότριον καὶ τῷ γένει καὶ τῇ φύσει τῆς Ἑλλάδος ἄνθρωπον οὕτω δικαίως καὶ σωφρόνως ἐξήλασαν ἐκ Πελοποννήσου πάσης; τοιγάρτοι τῆς πόλεως καὶ τῶν προγόνων ἀξίως ἐκινδύνευσαν πρὸς [4] τὸν βάρβαρον.

[1] τοῦ om. [2] ἡμῖν [3] τῆς om. [4] τὴν

Περός τ' αὐτὸν *] Tria hæc vocabula in unum προστάττον contraxi, et asteriscum vitii indicem sustuli. Sanatus enim nunc locus est. Idem.

Ὁμολογεῖν] Scil. ἑαυτοὺς κεκομικέναι τὸ χρυσίον εἰς τὴν χώραν. Idem.

Τὸ χρυσίον] De eo negotio vide Demosthenem in oratione de Cherroneso et de vitiosa legatione, et Æschinem contra Ctesiphontem in fine, Plutarchum in Themistocle, et alios. Palmer. Videtur τότε interponendum esse. τὸ τότε χρυσίον, scil. τὸ ἐπὶ Ἀρθμίου, Arthmii ætate in Græciam illatum, opponitur τῷ νῦν, ἐπὶ Ἀρπάλου, Harpali ætate illato. Reisk.

Τοῖς πατρίδος] Interpone τῆς. Idem.

Πρὸς τὸν βάρβαρον] Scil. γῆν. Sed non solent sic loqui. Solennius est πρὸς τὸν βάρβ. in masculino. Idem.

ΔΕΙΝΑΡΧΟΥ

ΚΑΤΑ ΦΙΛΟΚΛΕΟΥΣ.

Pag. ed. I. Steph. — Pag. ed. Reisk.

108. 29 α΄. ΤΙ χρὴ λέγειν πρὸς τῶν θεῶν περὶ τοιούτου ἀνθρώπου, 91
[1] ἢ πῶς χρήσεσθε τῇ τούτου πονηρίᾳ; ὃς οὐκ ἅπαξ ἀλλὰ
τρὶς ἐξεληλεγμένος ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς —
ὡς ὑμεῖς ἅπαντες ἴστε καὶ νῦν ἐν τῷ δήμῳ ἠκούετε —, καὶ
ἐψευσμένος ἁπάντων Ἀθηναίων ἐναντίον καὶ τῶν περιεστη-
κότων, φάσκων κωλύσειν Ἅρπαλον εἰς τὸν Πειραιᾶ κατα- 92
35 πλεύσειν, στρατηγὸς ὑφ' ὑμῶν ἐπὶ τὴν Μουνυχίαν καὶ τὰ
νεώρια κεχειροτονημένος, καὶ δῶρα τολμήσας λαβεῖν κατὰ
πάντων ὑμῶν καὶ τῆς χώρας καὶ παίδων καὶ γυναικῶν,
καὶ ἐπιωρκηκὼς ὃν ὤμοσεν ὅρκον μεταξὺ τοῦ ἕδους καὶ
τῆς τραπέζης· καὶ γράψας καθ' ἑαυτοῦ ψήφισμα, καὶ
θανάτου τιμησάμενος ἐὰν εἴληφέ τι τῶν χρημάτων ὧν
Ἅρπαλος εἰς τὴν χώραν ἐκόμισεν, ὅμως ἐτόλμησεν εἰς
τοὺς εἰδότας ὑμᾶς ἐξεληλεγμένον ἑαυτὸν ἅπασι τούτοις
40 ἔνοχον γεγενημένον ἐλθεῖν καὶ δεῖξαι ἑαυτὸν, οὐ τῷ δικαίῳ
πιστεύων — τί γὰρ τούτῳ δικαιοσύνης μέτεστιν; —
ἀλλὰ τῇ τόλμῃ καὶ τῇ ἀναιδείᾳ, ᾗ χρώμενος πρότερον 93
μὲν ἠξίωσε καταφρονήσας ὑμῶν καὶ τῶν ἐν τῇ πόλει δι-
καίων τὰ χρήματα λαβεῖν, νυνὶ δὲ ἀπολογησόμενος ἥκει

Ὅπως] Ἢ πῶς. BEKKER. Obsecutus sum.

Τρὶς] Repetit hoc p. 327. v. 11. REISK.

Καὶ ἐψευσμένος] Aut deest aliquod participium ante καὶ, e. c. ἐπιβουλεύσας ὑμῖν, aut delendum est καὶ. nam cohæret ἐξεληλεγμένος cum ἐψευσμένος, et utrumque sic copulatum, ἐξεληλεγμένος ἐψευσμένος, tantundem est, ac si dixisset: ἐξεληλεγμένος, ὅτι ἔψευσται. ter convictus mendacii, in eo commissi, quod affirmavit coram Atheniensibus omnibus in concionem congressis. IDEM.

Καὶ τῶν περιεστηκότων] Ergo hi sunt diversi ab Atheniensibus. Sunt ergo inquilini, et peregrini, tum Athenis commorati. IDEM.

Φάσκων] Cohæret cum ἐψευσμένος. idem est atque ἐν τῷ φάσκειν. *mentitus in eo quod diceret.* IDEM.

Μεταξὺ τοῦ ἕδους καὶ τῆς τραπέζης] Vocabulum ἕδος h. l. simulacrum Minervæ a Phidia factum designat, in arce dedicatum, quæ arx παρθενὼν appellabatur. τράπεζα est mensa coram illo signo posita, qua in mensa poni solebant dona, si quæ Minervæ offerrentur. IDEM.

Ἑαυτὸν] Π. αὐτὸν. H. STEPHAN. Foret hoc quidem planius atque usitatius. Verum tamen bene habet vulgata. Idem est ac si dixisset: ἐλθεῖν εἰς ὑμᾶς τοὺς εἰδότας, ὅτι ἐξήλεγξεν ἑαυτὸν, ὅτι γεγένηται ἔνοχος. Erit ergo ἐξεληλεγμένον h. l. pro part. aor. 1. medii ἐξελεγξάμενον, aut pro ἐξελέγξαντα. REISK.

ὡς οὐδὲν τούτων διαπέπρακται· τοσοῦτον τῆς ὑμετέρας
ῥᾳθυμίας καταπεφρόνηκε. καὶ ὁ μὲν κοινὸς τῆς πόλεως νό-
μος, ἐάν τις ἐναντίον τῶν πολιτῶν ὁμολογήσας τι παραβῇ 109. 1
τοῦτον ἔνοχον εἶναι κελεύει τῷ ἀδικεῖν· ὁ δὲ πάντας Ἀθη-
ναίους [1] ἐξηπατηκώς, καὶ προδοὺς τὴν πίστιν ἣν παρ' ὑμῶν
οὐκ ἄξιος ὢν ἔλαβε, καὶ τὸ καθ' αὑτὸν μέρος ἅπαντ' ἀνα-
τετραφὼς τὰ ἐν τῇ πόλει, οὗτος ἐπὶ τὴν ἀπολογίαν ἥκειν
φήσει τὴν ὑπὲρ τῆς αἰτίας τῆς εἰς αὐτὸν γεγενημένης;
ἐγὼ δέ, ὦ ἄνδρες, εἰ δεῖ τἀληθῆ λέγειν — δεῖ δὲ —, οὐδὲ 5
τὰς ἀποφάσεις οἶμαι νῦν κρίνεσθαι, πότερον ἀληθεῖς εἰσὶν
ἢ ψευδεῖς [2] αἱ κατὰ Φιλοκλέους γεγενημέναι· ἀλλὰ περὶ
μὲν τῆς τιμωρίας ὑμᾶς δεῖ τῆς ἐν τῷ ψηφίσματι γεγραμ-
μένης δικάσαι νῦν, πότερα δεῖ χρημάτων τιμῆσαι τῷ τηλι-
καῦτα ἠδικηκότι τὴν πόλιν, ἢ θανάτῳ ζημιώσαντας, ὥςπερ
οὗτος ἔγραψεν ἐν τῷ ψηφίσματι καθ' αὑτοῦ, [3] [ἢ] δημεῦσαι
94 τὴν οὐσίαν τὴν ἐκ τοιούτων λημμάτων συνειλεγμένην.

β'. Οἴεσθε τοῦτον νῦν πρῶτον ἐπὶ τούτων τῶν χρημά- 10
των πονηρὸν γεγενῆσθαι, ἢ [4] νῦν πρῶτον καθ' ὑμῶν δῶρα
εἰληφέναι; οὐκ ἔστι ταῦτα, ἀλλὰ πάλαι τοιοῦτος ὢν ἐλάν-
θανεν ὑμᾶς, καὶ [5] ἠὐτυχεῖτε, καθότι οὐκ ἐν μείζοσι καιροῖς
ἐπύθεσθε τὴν αἰσχροκέρδειαν αὐτοῦ· οὐ γάρ ἐστι χαλε-
πώτερον ἀνθρώπου τὴν αὐτὴν πονηρίαν ἀγνοουμένην ἔχοντος.
οὐκ ἀποκτενεῖτε, ὦ Ἀθηναῖοι, πάντες ὁμοθυμαδὸν τὸν εἰς
τοσαύτην αἰσχύνην καὶ ἀδικίαν πολλοὺς ἐμβεβληκότα, 15
τὸν ἀρχηγὸν γενόμενον τοῦ διαδεδομένου χρυσίου καὶ εἰς
αἰτίαν [6] καθίσαντα πᾶσαν τὴν πόλιν; ἀλλ' ὑπομενεῖτε

[1] ἠδικηκώς [2] καὶ αἱ [3] uncos om. [4] νῦν om.
[5] ἠὐτύχει [6] καθιστάντα

Καὶ αἱ] Aut delendum est καὶ, aut transponendum, sic: ψευδεῖς, αἱ καὶ κατὰ Φιλ. *etiam illæ, quæ de Philocle.* non solum, quæ de Demosthene et Aristogitone aliisque, sed etiam quæ de Philocle sunt redditæ. IDEM.

Περὶ μὲν] Imo vero περὶ μόνης. IDEM.

Αὐτοῦ· ἢ δημεῦσαι] Semicolon commate muta, et tolle ἢ, et locum habebis correctum. non tria pœnæ genera hic proponuntur, 1) mulcta pecuniaria. 2) supplicium mortis. 3) confiscatio bonorum. sed duo tantum, 1) mulcta pecuniaria. 2) supplicium mortis cum adjuncta ei atque semper insequi solita proscriptione bonorum conjunctum. IDEM.

Πρῶτον] E vulgata, ut nunc est, hæc exsistit sententia: aut primum Atheniensium hunc esse, qui largitionibus se corrumpi passus sit. Non mala sententia; sed ab hoc loco, ni fallor, alienior. Quare malim νῦν πρῶτον. IDEM.

Ἠὐτύχει] Aut addendum est ἡ πόλις, aut potius scrib. ἠὐτυχεῖτε. IDEM.

Οὐ γὰρ] Π. οὐδὲν γάρ. H. STEPHAN.

Τὴν αὐτὴν] Π. τὴν αὐτοῦ. IDEM.

Διαδεχομένου] Dedi διαδεδομένου. *diditi per multos.* REISK.

Καθίσαντα] Π. καθιστάντα. H. STEPHAN.

ἀκούειν τοῦ τοσαῦτα διαπεπραγμένου καθ' ὑμῶν, ὡς ὅτι τὸ συνέδριον τὸ ἐν Ἀρείῳ πάγῳ ψευδεῖς πεποίηται τὰς ἀποφάσεις, καὶ ὡς αὐτὸς μὲν δίκαιος καὶ χρηστὸς καὶ ἀδω- 95
ροδόκητός ἐστιν, ἡ δ' ἐξ Ἀρείου πάγου βουλὴ ταῦτα πάντα
20 προεῖται χάριτος ἢ λήμματος ἕνεκα; ἆρ' ἴσθ' ὅτι ἐπὶ μὲν τῶν ἄλλων ἀδικημάτων σκεψαμένους ἀκριβῶς δεῖ μεθ' ἡσυχίας καὶ τἀληθὲς ἐξετάσαντας, οὕτως ἐπιτιθέναι τοῖς ἠδικηκόσι τὴν τιμωρίαν, ἐπὶ δὲ ταῖς φανεραῖς καὶ παρὰ πάντων ὡμολογημέναις προδοσίαις πρῶτον τετάχθαι τὴν ὀργὴν καὶ τὴν μετ' αὐτὴν γιγνομένην τιμωρίαν; τί γὰρ τοῦτον οὐκ ἂν οἴεσθε ἀποδόσθαι τῶν ἐν τῇ πόλει σπουδαιοτάτων,
25 ὅταν ὑμεῖς ὡς πιστὸν αὐτὸν καὶ δίκαιον φύλακα καταστήσητε; ποίας οὐκ ἂν προδοῦναι τριήρεις τῶν ἐν τοῖς νεωρίοις; ἢ τίνος ἂν φροντίσαι φυλακῆς, λήσειν ἐλπίσαντα καὶ λήψεσθαι διπλάσιον οὗ νῦν εἴληφε χρυσίου; οὐδὲν ὅ τι οὐκ ἂν ὁ τοιοῦτος, ὦ ἄνδρες, ποιήσειεν. ὅστις γὰρ ἀργύριον καὶ χρυσίον περὶ πλείονος τῆς πρὸς ὑμᾶς πίστεως αἱρεῖται καὶ μήθ' ὅρκου μήτ' αἰσχύνης μήτε δικαίου πλείω λόγον 96
30 ἢ τοῦ λαμβάνειν ποιεῖται, οὗτος ἀποδώσεται τὸ καθ' αὑτὸν τὴν Μουνυχίαν, ἂν ἔχῃ τὸν ὠνησόμενον, οὗτος ἐξαγγελεῖ τοῖς πολεμίοις σύνθημα καθ' ὑμῶν φήνας, οὗτος προδώσει τὴν πεζικὴν καὶ ναυτικὴν δύναμιν.

γ'. Μὴ οὖν, ὦ Ἀθηναῖοι, τὴν τίμησιν ὑπὲρ τῶν γεγενημένων μόνον ὑπὸ Φιλοκλέους ἀδικημάτων ἡγεῖσθε μέλλειν ποιεῖσθαι, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων ὧν ἂν [1]ἔπραξεν οὗτος κύριος γενόμενος. καὶ τοῖς μὲν θεοῖς ἔχετε χάριν
35 ὑπὲρ τοῦ μὴ παθεῖν τι μεῖζον ὑπὸ τούτου δεινόν, ἐγνωκότες τοῦτον οἷός ἐστιν· ἀξίως δ' ὑμῶν αὐτῶν καὶ τῆς τοῦ κρινομένου πονηρίας κολάσατε αὐτόν· ὃς, ὦ Ἀθηναῖοι, τρὶς ἢ τετράκις ἱππαρχηκὼς ἀνδρῶν καλῶν κἀγαθῶν, πλεονάκις δ' ἢ δεκάκις στρατηγὸς ὑφ' ὑμῶν κεχειροτονημένος οὐκ

[1] ἔπραξεν ἂν

Πεποίηται] Si bene habet, significat, senatus hanc totam fraudem committit, in gratiam quorundam, a quibus seu rogatus seu corruptus donis fuit, quo Demosthenes aliique insontes, quibus infensi nonnulli sint, pessumdentur. Reisk.

Πρῶτον] Malim πρώτην. Idem.

Γιγνομένην] Pœnam e crimine quoque exsistentem, velut summa e numeris præmissis in unum collectis exstitit, crimini consentaneam, atque necessariam. Idem.

Αἱρεῖται] Bene si habet, de quo valde dubito, usurpatum est pro ἡγεῖται. Sed insolens est dictio περὶ πλείονος αἱρεῖσθαί τι. Idem.

ἄξιος ὢν, τιμώμενος καὶ ζηλούμενος διὰ τὴν πρὸς ὑμᾶς πίστιν ἀπέδοτο καὶ προέδωκε τὸ τῆς ἡγεμονίας ἡμῶν ἀξί-
97 ωμα, καὶ εἰς τὸ αὐτὸ κατέστησεν ἑαυτὸν Ἀριστογείτονι, 40
καὶ μισθωτὸν καὶ προδότην ἀντὶ στρατηγοῦ ἐποίησεν. ἔπειτα ὑποστείλασθαί τι δεῖ πρὸς τὸν τοιοῦτον ὑμῖν, καὶ αἰσχυνθῆναι τοὺς ἠδικημένους, ὃς οὐκ ἠσχύνθη τοιαῦτα πράττων καθ' ὑμῶν καὶ τῶν ἄλλων; οὐχ οἱ τοιοῦτοι τῶν ἀνθρώπων ἐλεοῖντ' ἂν εἰκότως παρ' ὑμῖν, ὦ Ἀθηναῖοι· πολλοῦ γε καὶ δεῖ· ἀλλ' οἱ προδοθέντες ἂν ὑπὸ Φιλοκλέους, εἴ τιν' οὗτος παρέλαβε καιρὸν χρημάτων πολλῶν. ἐν οἷς 110
καὶ ἡ ἀκτὴ καὶ οἱ λιμένες εἰσὶ καὶ τὰ νεώρια, ἃ οἱ πρόγονοι ὑμῖν κατασκευάσαντες κατέλιπον. ὧν ἀναμιμνησκομένους ὑμᾶς, ὦ Ἀθηναῖοι, δεῖ μὴ παρέργως ἔχειν πρὸς τὰς ὑπὸ τῆς βουλῆς γεγενημένας ἀποφάσεις, ἀλλ' ἀκολούθως ταῖς πρότερον κεκριμέναις· αἰσχρὸν γὰρ ἀπειπεῖν τιμωρουμένους
98 ἐστὶ τοὺς προδότας τῆς πόλεως γεγενημένους, καὶ ὑπολεί- 5
πεσθαί τινας τῶν ἀδίκων καὶ πονηρῶν ἀνθρώπων, ὅτε οἱ θεοὶ φανεροὺς ὑμῖν ποιήσαντες παρέδοσαν τιμωρήσασθαι, [1]ἑωρακότες τὸν δῆμον ἅπαντα κατήγορον τούτου γεγενημένον καὶ [2]προκεχειρικότα πρῶτον τῶν ἄλλων ἐπὶ τῷ τὴν τιμωρίαν ἐν ὑμῖν δοῦναι.

δ'. Ἀλλ' ἔγωγε, νὴ τὸν Δία τὸν σωτῆρα, αἰσχύνομαι, εἰ προτραπέντας ὑμᾶς δεῖ καὶ παροξυνθέντας ὑφ' ἡμῶν 10
ἐπὶ τὴν τοῦ νῦν ἐκλελοιπότος [3]τὴν κρίσιν τιμωρίαν ἐλθεῖν,

[1] ἑωρακότας [2] προκεχωρηκότα [3] τὴν om.

Διὰ τὴν πρὸς ὑμᾶς πίστιν] Subaudi αὐτοῦ δοκοῦσαν μόνον, ἀλλ' οὖσαν. recurrit hæc dictio p. 328. v. 4. Idem.

Τὸ τῆς ἡγεμονίας ἡμῶν ἀξίωμα] Quæ hic appellatur ἡγεμονία, estne ea illa vulgaris, a multis sic dicta, universæ Græciæ principatus, de quo tam diu, tam acriter, tam sæve inter se Athenienses atque Lacedæmonii contenderunt? An potius illa, quodammodo privata, ἡγεμονία, quæ penes eum est, qui tribunus aut imperator exercitus sit constitutus. Præferam ego hoc posterius hic loci, dignitatem muneris, quo fungebatur, ut ductor noster, tanquam ἵππαρχος, aut et στρατηγός. Idem.

Τοιοῦτον ὑμῖν] Aut in vitio est ὑμῖν, aut inter hæc duo vocabulo deest aliquid, e. c. πεφασμένον aut φωραθέντα. Idem.

Αἰσχυνθῆναι] Post αἰσχυνθῆναι deest ἢ μᾶλλον. *hujusne pudore et reverentia vos duci oportet, an potius violatorum per injuriam?* aut alias pro ὑμῖν leg. erit. ὑμᾶς. quæ est lenissima et tutissima h. l. medicina. Idem.

Πραττόντων] Π. πράττων. H. Stephan.

Ὑμῶν] Alloquitur judices. τῶν ἄλλων reliquos designat Athenienses, qui sive circumstabant judicium spectantes et audientes, sive domi manserant, rerum suarum privatarum satagentes. Reisk.

Ἐν οἷς] Subaudi καιροῖς χρημάτων. *opportunitatibus pecuniæ quærendæ.* Idem.

Τιμωρήσασθαι] Subaudi ὥστε τιμ. aut ἐπὶ τῷ τιμ. Idem.

Ἑωρακότες] Π. ἑωρακότας. H. Stephan.

Ἐπὶ τῷ] Π. ἐπὶ τὸ. Idem. Non male id quidem. verum tamen potest vulgata defendi. Reisk.

Ἐκλελοιπότος κρίσιν] Interpone τὴν. Apparet hoc e loco Philoclem fuga antever-

καὶ οὐκ αὐτόπται ἐστὲ τῶν ὑπὸ τούτου γεγενημένων ἀδικημάτων· καὶ ὁ μὲν δῆμος ἅπας οὔτ' ἀσφαλὲς οὔτε δίκαιον νομίζων εἶναι παρακαταθέσθαι τοὺς ἑαυτοῦ παῖδας ἀπεχειροτόνησεν αὐτὸν ἀπὸ τῆς τῶν ἐφήβων ἐπιμελείας, ὑμεῖς δὲ οἱ τῆς δημοκρατίας καὶ τῶν νόμων φύλακες, οὓς
15 ἡ τύχη καὶ ὁ κλῆρος ὑπὲρ τοῦ δήμου δικάσοντας ἐπέτρεψε, 99
φείσεσθε τοῦ [1] τοιαῦτα διαπεπραγμένου, καὶ τὸ πέρας ἔχοντες τῶν ἐν τῇ πόλει ἁπάντων δικαίων ἀτιμώρητον ἀφήσετε τὸν δωροδόκον καὶ πάντων τῶν γεγενημένων κακῶν αἴτιον, ὃς — ὅπερ καὶ μικρῷ πρότερον εἶπον — μόνος τῶν πονηρῶν πάντων τρὶς οὐχ ἅπαξ ἀποπέφανται, καὶ τρὶς ἤδη δικαίως ἐζημιωμένος θανάτῳ κατὰ τὸ αὐτὸ ψήφισμα. τί οὖν ἀναμενεῖτε, ὦ Ἀθηναῖοι; καὶ ποῖα ἀδικήματα
20 ζητεῖτε ἕτερα μείζω τῶν εἰρημένων ἀκοῦσαι; οὐχ ὑμεῖς ἐστὲ καὶ οἱ ὑμέτεροι πρόγονοι οἱ Τιμοθέῳ Πελοπόννησον περιπλεύσαντι καὶ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν Λακεδαιμονίους νικήσαντι καὶ Κόνωνος υἱεῖ τοῦ τοὺς Ἕλληνας ἐλευθερώσαντος καὶ Σάμον λαβόντος καὶ Μεθώνην καὶ Πύδναν καὶ Ποτίδαιαν, καὶ πρὸς ταύταις ἑτέρας εἴκοσι πόλεις, οὐδὲν τούτων ὑπόλογον ποιησάμενοι; οὐδὲ τῆς τότε ἐνεστώσης
25 κρίσεως καὶ τῶν ὅρκων οὓς ὀμωμοκότες [2] φέρετε τὴν ψῆφον 100
ἀντικαταλλαξάμενοι τὰς τηλικαύτας εὐεργεσίας, ἀλλ' ἑκατὸν ταλάντων τιμήσαντες, ὅτι χρήματ' αὐτὸν Ἀριστοφῶν ἔφη παρὰ Χίων εἰληφέναι καὶ Ῥοδίων; τὸν δὲ μιαρὸν ἄνθρωπον καὶ προδότην, ὃν οὐχ εἷς ἀνὴρ ἀλλὰ πᾶσα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασα ἀποπέφαγκε χρήματ' ἔχειν καθ' ὑμῶν, ὃς οὐσίαν ἔχων πολλὴν καὶ παίδων ἀρ-
30 ρένων οὐκ ὄντων αὐτῷ, καὶ οὐδενὸς ἄλλου δεόμενος ὧν

[1] τὰ τοιαῦτα [2] ἐφέρετε

tisse judicium, et in eo non comparuisse. Constructio hæc est: ἐλθεῖν ἐπὶ τὴν τιμωρίαν τοῦ νῦν ἐκλελοιπότος τὴν κρίσιν. Atqui p. 323. 13. dixerat ἐτόλμησεν εἰς ὑμᾶς ἐλθεῖν ἀπολογησόμενος. Non novi, quomodo hæc inter se pugnantia conciliari possint. IDEM.

Παρακαταθέσθαι] Post παρακαταθέσθαι deesse videtur αὐτῷ. IDEM.

Ἐπέτρεψε] Offendor dictione οὓς ἡ τύχη δικάσοντας ἐπέτρεψε. Sententia et usus loquendi postulant ἐπέστησε. aut οἷς ἡ τύχη τὸ ὑπὲρ τοῦ δήμου ἀμύνεσθαι δικάσοντας ἐπέτρεψε. Suspectus mihi quidem vitii hic locus est. IDEM.

Δικαίως ἐζημιωμένος] Interpone ἄν. IDEM.

Ψήφισμα] Post ψήφισμα videtur ἀπολάλει, vel simile quid, deesse. IDEM.

Ἐλευθερώσαντος] Æmil. Prob. in Timotheo. Athenæus l. xiii. pag. 11. GRUTER.

Οὐδὲ] Stephanus οὐδένα conjecit. Sed falsus fuit. bene habet h. l. vulgata. v. p. 281. 1. ubi hic idem locus iisdem verbis legitur. Cur ibi non offendit Stephanus? cur nil ibi quoque annotavit? REISK.

ἄνθρωπος μέτριος δεηθείη, οὐκ ἀπέσχετο χρημάτων διδομένων κατὰ τῆς πατρίδος, [1] οὐδ' ἀπεκρύψατο τὴν ἔμφυτον πονηρίαν, ἀλλ' ἀνεῖλε πᾶσαν τὴν γεγενημένην αὐτῷ πρὸς ὑμᾶς πίστιν, καὶ οἷς πρότερον ἔφη διαφέρεσθαι, πρὸς τούτους ἔταξεν αὐτόν, καὶ ἐξήλεγξεν αὐτοῦ τὴν προσποίητον καλοκαγαθίαν, ὅτι ψευδὴς ἦν.

ε'. Ἃ χρὴ λογισαμένους ὑμᾶς, ὦ Ἀθηναῖοι, καὶ τῶν 35
παρόντων καιρῶν ἀναμνησθέντας, οἳ πίστεως οὐ δωροδοκίας δέονται, μισεῖν τοὺς πονηροὺς, ἀνελεῖν ἐκ τῆς πολιτείας τὰ τοιαῦτα θηρία, καὶ δεῖξαι πᾶσιν ἀνθρώποις ὅτι οὐ συνδιέφθαρται τὸ τοῦ δήμου πλῆθος τῶν ῥητόρων καὶ τῶν στρατηγῶν τισὶν, οὐδὲ δουλεύει ταῖς δόξαις, [2] εἰδό-
Παρὰ τοῦτον] Sc. *unam modo legem*. — Reisk. [et Osann.] scripsit τοῦτο. *propter hoc facinus*. BECKER.

Ἀποκτείναιτ'] Est correctio Mori. BECKER. Beckerus ἀποκτείναιτ' edidit, parum circumspecte. Plato Alcib. I. apposite p. 111. F. εἰ βουληθείημεν εἰδέναι μὴ μόνον ποῖοι ἄνθρωποί εἰσιν, ἀλλ' ὁποῖοι ὑγιεινοὶ ἢ νοσώδεις, ἆρ' ἱκανοὶ ἂν ἡμῖν ἦσαν διδάσκαλοι οἱ πολλοί; Cf. Erfurdt. ad Sophocl. Œd. Tyr. 664. ed. min. OSANN.

Μόνος] Bene habet. εἷς μόνος bene Græcum est. In ὁ ἄνθρωπος subauditur e præmissis ὁ κολαστέος. REISK.

Ἀλλ' εἰς τὸ πρᾶγμα] Lege: οὐ τοῦτο λογιεῖσθε, εἰ εἷς ἐστὶ μόνον ὁ ἄνθρωπος, ἀλλ' εἰ τὸ πρᾶγμα, scil. (ἔν ἐστι). TAYLOR. Dedi de meo εἰ καὶ τὸ πρᾶγμα, scil. aut κολαστέον ἐστὶ, aut μόνον ἐστί. *num etiam res* vel *factum sit singulare*, ad unum solum hominem pertinens, neque ultra eum ad alios quoque proserpens. REISK.

Εἰς τὸ πρᾶγμα] Sc. ἀποβλέπετε. Vulga-

πρᾶγμα. ἐγὼ μὲν γὰρ ἡγοῦμαι, τὸ μὴ πολλοὺς τοιούτους γενέσθαι ἡμέτερον εὐτύχημα εἶναι, τοῦτον μέντοι διὰ τοῦτο μείζονος τιμωρίας ἄξιον εἶναι τυχεῖν, ὅτι μόνος τῶν ἄλλων πολιτῶν οὐ κοινὴν ἀλλ' ἰδίαν τὴν σωτηρίαν ἐζήτησεν. 185

25 ιζ'. Ἀγανακτῶ δὲ μάλιστα, ὦ ἄνδρες, ἐπειδὰν ἀκούσω τῶν μετὰ τούτου τινὸς λέγοντος, ὡς οὐκ ἔστι τοῦτο προδιδόναι, εἴ τις ᾤχετο ἐκ τῆς πόλεως· καὶ γὰρ οἱ πρόγονοί ποθ' ἡμῶν τὴν πόλιν καταλιπόντες, ὅτε πρὸς Ξέρξην ἐπολέμουν, εἰς Σαλαμῖνα [1] διέβησαν. καὶ οὕτως ἐστὶν ἀνόητος καὶ παντάπασιν ὑμῶν καταπεφρονηκώς, ὥστε τὸ κάλλιστον τῶν ἔργων πρὸς τὸ αἴσχιστον συμβαλεῖν ἠξίωσε. ποῦ 30 γὰρ οὐ περιβόητος ἐκείνων τῶν ἀνδρῶν ἡ ἀρετὴ γέγονε; τίς δ' οὕτως ἢ φθονερός ἐστιν ἢ παντάπασιν ἀφιλότιμος, ὃς οὐκ ἂν εὔξαιτο τῶν ἐκείνοις πεπραγμένων μετασχεῖν; οὐ γὰρ τὴν πόλιν ἐξέλιπον, ἀλλὰ τὸν τόπον μετήλλαξαν, πρὸς τὸν ἐπιόντα κίνδυνον καλῶς βουλευσάμενοι. Ἐτεόνικος μὲν γὰρ ὁ Λακεδαιμόνιος καὶ Ἀδείμαντος ὁ Κορίνθιος καὶ τὸ Αἰγινητῶν ναυτικὸν ὑπὸ νύκτα τὴν σωτηρίαν αὑτοῖς

[1] διέβασαν T. R.

tam lectionem retinuimus. Orator auditoribus demonstrat, imprimis Leocratis factum animo secum reputent, et si alii idem fecissent, quod inde secutum sit. Modo felicitas, qua semper usi sumus, (v. Demosth. Phil. I. 43. 17. ed. Reisk.) impedivit, quominus plures idem consilium ceperint. Felicitati igitur nostræ, non Leocrati, gratias agamus, quod exemplum ejus turpissimum cæteros ad similem patriæ fugam non incitaverit. cf. §. 5. Becker. Ita MSS. nostri, quæ lectio etsi an ab ipso auctore profecta sit, equidem dubitaverim, sanior certe videtur Taylori et Reiskii commentis. ἀλλ' εἰ τὸ πρᾶγμα, scil. ἓν ἐστι, ut exstat jam in Ald. et Thorlacius [et Heinrichius] vulgavit. Vulgatam servarunt Hauptm., Schulz., et Beckerus [et Pinzgerus], in eo tamen falsi, quod ἀπεβλέπετε mente supplendum censuerint: quo minime opus videtur. Euripides Phœnice apud Æschin. in Timarch. p. 154. Reisk.

καγὼ μὲν οὖτω, χ' ὅστις ἔστ' ἀνὴρ σοφὸς,
λογίζομαι τἀληθὲς εἰς ἀνδρὸς φύσιν,
σκοπῶν δίαιταν ἥντιν' ἐμπορεύεται,

ubi quo minus locorum memor ejus generis, cujus sunt Xenophontis Cyrop. 1. 6. 8. ὅταν πρὸς αὐτὸ τὸ ἄρχειν σκοπῶν λογίζωμαι, mutata distinctione εἰς ἀνδρὸς φύσιν cum proximo σκοπῶν jungi jubeas, id quod Valckenaerius Diatr. p. 270. fecit, Taylori nota satis prospectum esse videtur. Osann.

Τῶν μετὰ τούτου] I. e. συνηγόρων. Becker.

Τὴν πόλιν ἐξέλιπον] Parum caste Lonicerus. Tu, *urbem deserebant*. In illa altera interpretatione nihil ad mentem Auctoris. Taylor.

Οὐ γὰρ τὴν πόλιν ἐξέλιπον] I. e. λιπόντες ἔφυγον, *relicta urbe in fugam se conjecerant*. Xenoph. Anabas. I. 2. 24. ταύτην τὴν πόλιν ἐξέλιπον οἱ ἐνοικοῦντες. ubi v. Zeunium. Verbum ἐκλείπειν igitur significat, præ timore ut periculum effugias, vel perterrito animo et inconsulte locum relinquere. Quare ne Atheniensium fugam ex urbe talem fuisse aliquis existimet, statim addit Orator καλῶς βουλευσάμενοι, ubi Thucyd. I. 18. in eadem narratione, διανοηθέντες ἐκλιπεῖν τ. πόλιν posuit. Quin Lys. Epitaph. §. η'. ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν πόλιν dixit, ubi Tayl. et Markl. loca veterum colligebant, quæ hujus Atheniensium consilii meminerunt. Becker.

Ἐτεόνικος] Herodot. VIII. 42. et 75. Idem.

ἔμελλον πορίζεσθαι· ἐγκαταλειπόμενοι δὲ οἱ πρόγονοι ὑπὸ 35
πάντων τῶν Ἑλλήνων βίᾳ καὶ τοὺς ἄλλους ἠλευθέρωσαν,
ἀναγκάσαντες ἐν Σαλαμῖνι μετ' αὐτῶν πρὸς τοὺς βαρβά-
ρους ναυμαχεῖν. μόνοι δὲ ἀμφοτέρων περιγεγόνασι, καὶ τῶν
πολεμίων καὶ τῶν συμμάχων, ὡς ἑκατέρων προσῆκε, τοὺς
μὲν εὐεργετοῦντες, τοὺς δὲ μαχόμενοι νικῶντες. ἆρά γε
186 ὅμοιον τῷ φεύγοντι τὴν πατρίδα τεττάρων ἡμερῶν πλοῦν
εἰς Ῥόδον; ἢ που ταχέως ἂν ἠνέσχετό τις ἐκείνων τῶν 40
ἀνδρῶν τοιοῦτον ἔργον, ἀλλ' οὐκ ἂν κατέλευσαν τὸν καται-
σχύνοντα τὴν αὐτῶν ἀριστείαν. οὕτω γοῦν ἐφίλουν τὴν
πατρίδα πάντες, ὥστε τὸν παρὰ Ξέρξου πρεσβευτὴν Ἀλέ-
ξανδρον, φίλον ὄντα αὐτοῖς πρότερον, ὅτι γῆν καὶ ὕδωρ
ἤτησεν, μικροῦ δεῖν κατέλευσαν. ὅπου δὲ καὶ τοῦ λόγου
τιμωρίαν [1] ἠξίουν λαμβάνειν, ἢ που τὸν ἔργῳ παραδόντα
τὴν πόλιν ὑποχείριον τοῖς πολεμίοις οὐ μεγάλαις ἂν ζημίαις
ἐκόλασαν; τοιγαροῦν τοιαύταις χρώμενοι γνώμαις, ἐνενή- 15
187 κοντα μὲν ἔτη τῶν Ἑλλήνων ἡγεμόνες κατέστησαν, Φοινί-

[1] ἠξίου T.

Ἀναγκάσαντες] Nep. Themist. 4. v. Morum ad Isocr. Paneg. c. 27. Idem.

Μετ' αὐτῶν] Malim μεθ' αὐτῶν. Taylor. Male. Osann.

Μόνοι δ' ἀμφ. — νικῶντες] Ex Isocr. Paneg. c. 20. ἀμφοτέρων κρατήσαντες, ὡς ἑκατέρῳ προσῆκεν — nostrum expressum esse monuit Mor. ad h. l. Becker. Eandem sententiam habet Aristid. Panathen. p. 39. qui vero frustra se primum hoc dixisse jactat. Mor.

Ἆρά γε ὅμοιον] *itaque quis comparare velit eorum facta cum fuga Leocratis?* Hauptm. conjec. ὅμοιοι. Becker.

Τῷ φεύγοντι] Suspicor sic ferme Lycurgum reliquisse: ἆρά γε ὅμοιον τὸ πλεῖν φεύγοντα. *estne huic simile, fugientem e patria iter quatridui per mare conficere, tendentem ad Rhodum.* Reisk. At nulla opus correctione. Osann.

Ταχέως] Nove hoc dictum, neque sine maxima suspicione mendi, ταχέως ἠνέσχετο. Sic et infra quoque §. λδ'. ὃς γὰρ ὑπὲρ τῆς αὐτοῦ πατρίδος οὐκ ἐβοήθησε, ταχύ γ' ἂν ὑπὲρ τῆς ἀλλοτρίας κίνδυνόν τινα ὑπομείνειε. Verum repone τραχέως et τραχύ. Ita Demosthenes π. παραπρεσβ. §. ις'. τραχέως δ' ὑμῶν ἐπὶ τῷ μηδὲ προσδοκᾶν σχόντων. ubi in nonnullis Codd. sed mendose, ut hic apud Lycurgum, scribitur ταχέως. Locum igitur præ manibus ita verte: Nimirum ægre isti homines sustinuissent tale facinus; immo annon existimetis eos lapidibus confestim obruturos, qui —? Proxime τὴν αὐτῶν ἀριστείαν legas non αὐτῶν. Est enim verissimum. Taylor. Taylorum Schulzius refutavit. Osann. Et αὐτῶν dedit Heinrichius.

Ἀλέξανδρον] Herodot. VIII. 143. Immutavit paullum Aristid. Panath. p. 49. qui Alexandrum regem Macedoniæ appellat. Herodot. VIII. 136. τὸν Ἀμυντέω, ἄνδρα Μακεδόνα nominat; ex quo Harpocr. v. Ἀλέξ. sua sumpsit. Becker.

Γῆν καὶ ὕδωρ ἤτησεν] Formula deditionis postulatæ. Herod. IV. 126. Curt. III. 13. *aquam terramque postulare.* Mor.

Οὐ μεγάλαις] Bekkerus annotat: 'οὐ suspectum, quo sublato tollenda etiam interrogatio.' Sed mihi secus videtur. Pinzger.

Ἐνενήκοντα] Vereor, ut hoc sit nimium, et rescribendum potius ἑβδομήκοντα. Istum enim numerum vix excedunt, qui de imperio Atheniensium perquam magnifice sentiunt: plurimi intra eum se continent. Eorum nonnullos, non tamen omnes, videre est apud Meursium de Fortuna Athenarum c. X. Taylor. Vid. Mor. et Spohn. ad Isocrat. Paneg. §. κθ'. Becker.

κην δὲ καὶ Κιλικίαν ἐπόρθησαν, ἐπ' Εὐρυμέδοντι δὲ καὶ πεζομαχοῦντες καὶ [1]ναυμαχοῦντες ἐνίκησαν, ἑκατὸν δὲ τριήρεις τῶν βαρβάρων αἰχμαλώτους ἔλαβον, ἅπασαν δὲ τὴν Ἀσίαν κακῶς ποιοῦντες περιέπλευσαν, καὶ τὸ κεφάλαιον τῆς νίκης, οὐ τὸ ἐν Σαλαμῖνι τρόπαιον ἀγαπήσαντες ἔστησαν, ἀλλ' ὅρους τοῖς βαρβάροις πήξαντες τοὺς εἰς τὴν ἐλευθερίαν τῆς Ἑλλάδος, καὶ τούτους κωλύσαντες ὑπερβαίνειν, συνθήκας ἐποιήσαντο μακρῷ μὲν πλοίῳ μὴ πλεῖν ἐντὸς
188 Κυανέων καὶ [2]Φασήλιδος, τοὺς δ' Ἕλληνας αὐτονόμους εἶναι, μὴ μόνον τοὺς τὴν Εὐρώπην ἀλλὰ καὶ τοὺς τὴν Ἀσίαν κατοικοῦντας. καίτοι οἴεσθε ἂν, εἰ τῇ Λεωκράτους διανοίᾳ χρησάμενοι πάντες ἔφυγον, τούτων ἄν τι γενέσθαι τῶν καλῶν ἔργων, ἢ ταύτην ἂν ἔτι τὴν χώραν κατοικεῖν ὑμᾶς; χρὴ τοίνυν, ὦ ἄνδρες, ὥςπερ τοὺς ἀγαθοὺς ἐπαινεῖτε καὶ τιμᾶτε, οὕτω καὶ τοὺς κακοὺς μισεῖν τε καὶ κολάζειν, ἄλλως τε καὶ Λεωκράτην, ὃς οὔτε ἔδεισεν οὔτε ἠσχύνθη [3]ὑμᾶς.

ιή. Καίτοι ὑμεῖς τίνα τρόπον νενομίκατε περὶ τούτων,

[1] ναυμαχοῦντες καὶ πεζομαχοῦντες T. R. [2] Φάσιδος T. R. [3] ἡμᾶς R.

Φοινίκην δὲ καὶ Κιλικίαν ἐπόρθησαν] Duce Cimone. Diod. XII. 3. Idem ad Eurymedontem navali et terrestri prœlio uno die Persas devicit. Ol. 77. 3. Diodor. XI. 60—62. Idem.

Οὐ τὸ ἐν Σαλαμῖνι] Sensus est: Non contenti tropæum erigere, quod erat monumentum victoriæ Salamine partæ, verum etc. Taylor.

Ἀγαπήσαντες ἔστησαν] Alius dixisset ἠγάπησαν στήσαντες. Reisk. Scite confert Schaubius Demosth. in Neær. §. κ'. τὸν νόμον γράψαντες ἐν στήλῃ λιθίνῃ, ἔστησαν ἐν τῷ ἱερῷ, scil. τὴν στήλην. Osann.

Μὴ πλεῖν etc.] Fœdus hoc conservavit Diod. Sic. l. XII. 4. Ἐγένοντο συνθῆκαι περὶ τῆς εἰρήνης τοῖς Ἀθηναίοις καὶ τοῖς συμμάχοις πρὸς τοὺς Πέρσας, ὧν ἐστὶ τὰ κεφάλαια ταῦτα· αὐτονόμους εἶναι τὰς κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις ἁπάσας, τοὺς δὲ τῶν Περσῶν σατράπας μὴ καταβαίνειν ἐπὶ θάλατταν κατωτέρω τριῶν ἡμερῶν ὁδὸν, μηδὲ ναῦν μακρὰν πλεῖν ἐντὸς Φάσιδος καὶ Κυανέων. Cujus in margine Φασήλιδος appingitur, ut legi debet, et hic etiam restitui. Suidas v. Κίμων. Καὶ ἐπ' Εὐρυμέδοντι ποταμῷ ναυσὶ καὶ πεζῷ νικᾷ ἐπὶ τῆς αὐτῆς ἡμέρας. οὗτος ἔταξε καὶ τοὺς ὅρους τοῖς Βαρβάροις· ἐκτός τε γὰρ Κυανέων καὶ Χελιδονίων καὶ Φασήλιδος (πόλις δὲ αὕτη τῆς Παμφυλίας) ναῦν Μηδικὴν μὴ πλεῖν νόμῳ πολέμου. Isocr. in Areopag. extr. Οἱ δὲ Βάρβαροι τοσοῦτον ἀπεῖχον τοῦ πολυπραγμονεῖν περὶ τῶν Ἑλληνικῶν πραγμάτων, ὥστε οὔτε μακροῖς πλοίοις ἔγγιστα Φασήλιδος ἔπλεον, οὔτε κ. τ. λ. Idem in Panegyrico §. λγ'. Εἰς τοσαύτην ταπεινότητα κατεστήσαμεν, ὥστε μακρὸν πλοῖον ἐντὸς Φασήλιδος μὴ καθέλκειν. Idem in Panathenaico §. κ'. Ἐπὶ γὰρ τῆς ἡμετέρας δυναστείας οὐκ ἐξῆν αὐτοῖς οὔτε ἐντὸς Ἅλυος ποταμοῦ πεζῷ καταβαίνειν, οὔτε μακροῖς πλοίοις ἐπὶ τἄνδον πλεῖν Φασήλιδος. Omnino recte. Cyaneæ et Phaselis duo erant σημεῖα, sibi invicem (ad septentrionem illæ in Euxino, hæc ad meridiem in mari Pamphylio, quæ pars est mediterranei), si longitudinem spectes, opposita; fines nempe, quibus utrinque Persarum maritimum imperium hoc fœdere coerceretur. Taylor. Cf. interpr. Nepot. ad Cimon. c. 2. et doctissimum Chr. J. G. Moschii, de pace inter Persas victos et Græcos Cimone duce victores composita, dissert. Francof. 1802. in qua p. 26. Nostri locus accurate cum cæteris, qui de hac pace ejusque conditionibus enarrarunt scriptoribus, comparatur. Becker. Vid. Lessingii Sämmtliche Schriften t. xiv. p. 481., Meier. de bonis damn. et fiscal. debitt. p. 117. Cæterum de nominis Φασηλὶς prosodia, quod secundum alios etiam Φασηλὶς fertur, vid. Spohn. ad Isocrat. Paneg. c. 33., cui jam adde Arcadium de accentibus p. 31. 15. Osann.

καὶ πῶς ἔχετε ταῖς διανοίαις, θεωρήσατε. ἄξιον γὰρ ὅμως καίπερ πρὸς εἰδότας διελθεῖν. ἐγκώμιον γάρ, νὴ τὴν Ἀθη- 15
νᾶν, εἰσὶ τῆς πόλεως οἱ παλαιοὶ νόμοι καὶ τὰ ἔθη τῶν ἐξ ἀρχῆς ταῦτα κατασκευασάντων, οἷς ἂν προσέχητε, τὰ
189 δίκαια ποιήσετε καὶ πᾶσιν ἀνθρώποις σεμνοὶ καὶ ἄξιοι τῆς πόλεως δόξετ' εἶναι. ὑμῖν γάρ ἐστιν ὅρκος, ὃν ὀμνύουσι πάντες οἱ πολῖται, ἐπειδὰν εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφῶσι καὶ ἔφηβοι γένωνται, μήτε [1]τὰ ἱερὰ ὅπλα [2]καταισχυνεῖν μήτε τὴν τάξιν λείψειν, [3]ἀμυνεῖν δὲ τῇ 20
πατρίδι καὶ ἀμείνω παραδώσειν. ὃν εἰ μὲν ὀμώμοκε Λεωκράτης, φανερῶς ἐπιώρκηκε, καὶ οὐ μόνον [4]ὑμᾶς ἠδίκηκεν ἀλλὰ καὶ εἰς τὸ θεῖον [5]ἠσέβησεν· εἰ δὲ μὴ ὀμώμοκεν, εὐθὺς δῆλός ἐστι παρεσκευασμένος οὐδὲν ποιήσειν τῶν δεόντων, ἀνθ' ὧν δικαίως ἂν αὐτὸν [6]καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν [7]τιμωρήσαισθε. βούλομαι δὲ ὑμᾶς ἀκοῦσαι τοῦ ὅρκου. λέγε, γραμματεῦ.

ΟΡΚΟΣ.

καλός γε, ὦ ἄνδρες, καὶ ὅσιος ὁ ὅρκος. παρὰ τοῦτον τοίνυν 25
ἅπαντα πεποίηκε Λεωκράτης. καίτοι πῶς ἂν ἄνθρωπος γένοιτο ἀνοσιώτερος ἢ μᾶλλον προδότης τῆς πατρίδος; τίνα δ' ἂν τρόπον ὅπλα καταισχύνειέ τις μᾶλλον, ἢ εἰ λαβεῖν μὴ [8]θέλει καὶ τοὺς πολεμίους ἀμύνασθαι; πῶς δ' οὐ καὶ
190 τὸν παραστάτην καὶ τὴν τάξιν λέλοιπεν ὁ μηδὲ τάξαι τὸ

[1] τὰ om. T. R. [2] καταισχύνειν R. [3] ἀμύνειν R. [4] ἡμᾶς T. R. [5] ἠσέβηκεν T. R. [6] καὶ ὑπὲρ ὑμῶν om. T. R. [7] τιμωρήσοιθε T. R. [8] θέλει T. R.

Ἔχετε] Num ἔσχετε? PINZGER.

Ληξιαρχικὸν γραμματεῖον] I. Pollux VIII. 9. p. 447. ὁ δὲ εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφεὶς, ἤδη τὰ πατρῷα παρελάμβανεν. ἡ δὲ πατρῴα οὐσία καὶ λῆξις ἐκαλεῖτο. Cf. Oratio Demosth. c. Eubulidem passim. BECKER.

Καταισχύνειν] Pro καταισχύνειν et ἀμύνειν, ut edi solet, recte videt H. Stephanus rescribi oportere καταισχυνεῖν et ἀμυνεῖν in futuro, quemadmodum λείψειν scribitur et παραδώσειν. Et hoc certe nemo ibit inficias. TAYLOR.

Τοὺς πολεμίους ἀμύνασθαι] *hostes juvare.* Mira sane Interpretatio! Quam vix credas profectam ab homine, qui ætatem suam contrivit in Græcis literis Latine vertendis. Quid statueret, qui ita interpretari soleat, de istis Lysiæ, Orat. Funeb. §. ζ'. στασιαζούσης τῆς Ἑλλάδος ὥτινι χρὴ τρόπῳ τοὺς ἐπιόντας ἀμύνασθαι? Quid de istis adv. Simonem §. β'. ἐπειδὴ αὐτὸν ἡμυνάμην, ἐκστὰς ἔβαλλέ με λίθοις? Quid de aliis locis propemodum infinitis, ubi vox ista non de adjuvando, sed de repellendo sumitur? TAYLOR.

Παραστάτην — ὁσίων καὶ ἱερῶν] Hæc verba non apparent in jurisjurandi formula modo adducta; cum tamen oportuit, eo quod illa, quæ ibi allegat, jam ad Leocratis mores et facta applicat. Adeo ut plus subsumat, quam præmisit. Quod Dialectici ægre tulerint, sat scio. Occurrit autem Formula plenissimis, et credo, conceptis verbis apud I. Stobæum, Serm. XLI. Οὐ καταισχυνῶ ὅπλα τὰ ἱερὰ, οὐδ' ἐγκαταλείψω τὸν παραστάτην, ὅπῃ ἂν στοιχήσω. ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν καὶ

σῶμα παρασχών; ποῦ δ' ὑπὲρ ὁσίων καὶ ἱερῶν ἤμυνεν ἂν
30 ὁ μηδένα κίνδυνον ὑπομείνας; τίνι δ' ἂν τὴν πατρίδα προὔ- 191
δωκε μείζονι προδοσίᾳ; τὸ γὰρ τούτου μέρος ἐκλελειμμένη
[1] τοῖς πολεμίοις ὑποχείριός ἐστιν. εἶτα τοῦτον οὐκ ἀποκτε-
νεῖτε τὸν ἁπάσαις ταῖς ἀδικίαις ἔνοχον ὄντα; τίνας οὖν
τιμωρήσεσθε; τοὺς ἕν τι τούτων ἡμαρτηκότας; ῥᾴδιον
ἔσται παρ' ὑμῖν ἄρα μεγάλα ἀδικεῖν, εἰ φανεῖσθε [2] ἐπὶ
τοῖς μικροῖς μᾶλλον ὀργιζόμενοι.

[1] τοῖς om. T. R.

[2] ἐπὶ τοὺς μᾶλλον μικροῖς T. R.

ὑπὲρ ὁσίων, καὶ μόνος καὶ μετὰ πολλῶν. τὴν πατρίδα δὲ οὐκ ἐλάσσω παραδώσω, πλείω δὲ καὶ ἀρείω, ὅσην ἂν παραδέξωμαι. καὶ εὐνοήσω τῶν ἀεὶ κρινόντων ἐμφρόνως, καὶ τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι, καὶ οὕστινας ἂν ἄλλους τὸ πλῆθος ἱδρύσηται ὀμφρόνως. καὶ ἄν τις ἀναιρῇ τοὺς θεσμοὺς, ἢ μὴ πείθηται, οὐκ ἐπιτρέψω. ἀμύνῳ δὲ καὶ μόνος, καὶ μετὰ πάντων, καὶ ἱερὰ τὰ πάτρια τιμήσω. ἵστορες θεοὶ τούτων. Vide eadem fere, paucissimis immutatis, apud Pollucem VIII. §. 9. Adjunge autem Petit. L. L. Attic. L II. Tit. IV. et Meurs. Athen. Attic. I. 7. TAYLOR. Quibus nomina deorum, qui advocantur, e Polluce viii. 106. hæc adde: Ἄγραυλος, Ἐνάλιος, Ἄρης, Ζεὺς, Θαλλὼ, Αὐξὼ, Ἡγεμόνη. Mentionem hujus juramenti injicit Demosth. de fals. Legat. p. 438. 18. ed. Reisk. ubi vid. Schol. August. Plura interpp. Pollucis l. l. conferunt. OSANN. Hanc jurisjurandi formulam in textum inferserunt Thorlacius et Heinrichius.

Τίνι δ' ἂν etc.] Legit doctissimus Wesselingius ad Petit. p. 232. τίνι δ' ἂν τὴν πατρίδα παρέδωκε μείζονα; πρὸδοσία γὰρ τὸ τούτου μέρος. κ. τ. λ. TAYLOR. Non video, quid incommodi insit in vulgata; nisi quod idem dicit cum verbis p. 432. 20. τίς μᾶλλον προδότης τῆς πόλεως. Wesselingii conjecturam, ingeniosam profecto, si optes, legendum erit: τίνι δ' ἂν ἀμείνω τὴν πατρίδα παρέδωκεν, ὁ παντελῶς ἀφανίσας τῇ ἑαυτοῦ προδοσίᾳ. REISK. Certissima Wesselingii emendatione textum Lycurgi restituimus. Orator enim singulas jurisjurandi partes cum Leocratis facinore comparat. Denique exspectatur παραδοῦναι ἀμείνω τὴν πατρίδα, quod Wesseling. scriptori reddidit; neque dubitare licet, quin orator elegantissimus ita scripserit, vel scripsisse debuerit. BECKER. Ingeniosa quidem est, nec tamen necessaria Wesselingii emendatio; quam præeunte interprete Germanico Beckerus præpropere in textum suscepit. OSANN. Heinrichius: τίνι δ' ἂν τὴν πατρίδα παρέδωκε μείζονα προδοσίᾳ;

Ἐπὶ τοὺς μᾶλλον μικροῖς ὀργιζόμενοι] Ita editur et legitur, ea tamen absurditate, quam nihil unquam superavit. Sensus est: Qualem Remp. habituri simus, si levia crimina omni pœnarum genere, atrocissima autem nullo, coerceatis? Quis erit, qui non propter spem veniæ se ipsum ita comparabit, ut plurima et gravissima peccet? ῥᾴδιον ἔσται παρ' ὑμῖν ἄρα μεγάλα ἀδικεῖν, εἰ φανεῖσθε ἐπὶ τοῖς μικροῖς μᾶλλον ὀργιζόμενοι. TAYLOR. Videtur sic leg. et distinguendum esse: τίνας οὖν τιμωρήσεσθε; continuatur interrogatio τοὺς ἕν τι τούτων [quæ modo enumeravi a Leocrate peccata] ἡμαρτηκότας; eosne punietis, qui horum unum aliquid commiserint; si quis autem omnia ea commiserit, eum impune dimittetis? Ergo facile penes vos erit, magna delinquere, si constet vos, ἐπὶ τοῖς μᾶλλον μιαροῖς (aut μισαροῖς) ἧττον ὀργιζόμενοι, minus sævire in crimina atrociora et odiosiora. REISK. ἐπὶ τοῖς μικροῖς μᾶλλον ὀργ. recepi, idem suadente Passovio Symbol. crit. p. 30. Quæ ad. h. l. attulit Reiskius, meræ sunt nugæ: contra in ed. Viterb. vulgatum μᾶλλον ἐπὶ μικροῖς ὀργ. quod si auctoritate aliqua niteretur, libenter codd. scripturæ prætulissem. OSANN. Et receperunt Thorlacius, Heinrichius et Pinzgerus.

Ἐπὶ τοῖς μᾶλλον μικροῖς ὀργιζ.] Ἐπὶ τοῖς μικροῖς μᾶλλον ὀργιζόμενοι. TAYLOR. Melanch. jam sic corrigebat, omisso τοῖς. Utrumque a Dorvill. ad Chariton. p. 394. ed. Lips. et verissime improbatur. Agnoscit ille in hoc loco figuram συγχύσεως, consulto ab Oratore usurpatum: 'Tayloro (inquit), transponenti ἐπὶ τοῖς μικροῖς μᾶλλον non accesserim; immo minus id elegans putarim. Interpositio vocabuli inter articulum et nomen politissimis scriptoribus in usu; quoties Herodotus τῶν τις ἐχθρῶν et similia. Olim jam in hoc loco turbatum fuit; nam eadem Synchysi offensi, ad sensum æque perspicue, ediderunt Vitebergæ 1568. εἰ φανεῖσθε μᾶλλον ἐπὶ μικρ. ὀργιζόμενοι. At Orator cavens aperte Atheniensi populo convicium fa-

ιθ'. Καὶ μὴν, ὦ ἄνδρες, καὶ τοῦθ' ὑμᾶς δεῖ μαθεῖν, ὅτι τὸ συνέχον τὴν δημοκρατίαν ὅρκος ἐστί. τρία γάρ ἐστιν ἐξ 35 ὧν ἡ πολιτεία συνέστηκεν, ὁ ἄρχων, ὁ δικαστὴς, ὁ ἰδιώτης.
192 τούτων τοίνυν ἕκαστος ταύτην [1] πίστιν διδωσιν. εἰκότως· τοὺς μὲν γὰρ ἀνθρώπους πολλοὶ ἤδη ἐξαπατήσαντες καὶ διαλαθόντες οὐ μόνον τῶν παρόντων κινδύνων ἀπελύθησαν, ἀλλὰ καὶ τὸν ἄλλον χρόνον ἀθῷοι τῶν ἀδικημάτων τούτων εἰσί· τοὺς δὲ θεοὺς οὔτ' ἂν ἐπιορκήσας τις λάθοι, οὔτ' ἂν ἐκφύγοι τὴν ἀπ' αὐτῶν τιμωρίαν, ἀλλ' εἰ μὴ αὐτὸς, οἱ 40 παῖδές γε καὶ τὸ γένος ἅπαν τὸ τοῦ ἐπιορκήσαντος μεγάλοις ἀτυχήμασι περιπίπτει. διόπερ, ὦ ἄνδρες δικασταὶ, ταύτην [1] πίστιν ἔδοσαν αὐτοῖς ἐν Πλαταιαῖς πάντες οἱ Ἕλληνες, ὅτε ἔμελλον παραταξάμενοι μάχεσθαι πρὸς τὴν Ξέρξου δύναμιν, οὐ παρ' αὐτῶν εὑρόντες, ἀλλὰ μιμησάμενοι τὸν παρ' ὑμῖν εἰθισμένον ὅρκον. ὃν ἄξιόν ἐστιν [2] ἀκοῦσαι· καὶ

[1] τὴν πίστιν T. R.

[2] ἀκοῦσαι - - - πεπραγμένων] ἃ T. R.

cere, quasi ἐπὶ μικροῖς ὀργιζομένῳ, conturbavit verba, et pronuntiavit ἐπὶ τοῖς μᾶλλον μικροῖς ὀργ. illud μᾶλλον quasi occultans. Sic Demosth. Lept. p. 541. D. Ἐν, οἶμαι, πολλοῖς. — Ambiguum sæpe, fateor, sensum talia possunt facere: sed non sumus ii, qui veteres auctores in ordinem redigamus, et nostro more, non suo libitu, loqui cogamus. Critico non spectandum, quid, vel quomodo debuissent veteres scribere, sed quid re vera scripserint.' Becker.

Τρία γὰρ — δίδωσιν] Locus, quem Schulz. truncatum esse existimabat, sanus est. Hic vero sensus esse videtur: Forma civitatis liberæ s. democratia (v. Wolf ad Lept. §. ς'.) tribus consistit, magistratu, judice, privato; quorum quisque juramento præscripto se constrinxit, cæterisque fidem fecit, officio suo satisfacturum. Religio vero, i. e. timor deorum pejerantes punientium, siquidem ab hominibus, quibus imponebant, non puniebantur, sanctissimam reddunt hanc fidem datam.—De juramento magistratus v. Petit. Leg. Att. III. 3. Judicum jusjurandum servavit Demosth. c. Timocr. p. 746. ed. Reisk. et privati Noster c. 18. Idem.

Τοὺς δὲ θεοὺς] Sæpius et Poetæ et prosaici scriptores hanc sententiam repetierunt. Eurip. ap. Theophil. ad Autol. p. 378. ed Paris.

— οὐ γὰρ ἀσύνετον
τὸ θεῖον, ἀλλ' ἔχει συνιέναι
κακῶς παγέντας ὅρκους καὶ συνηναγκασμένοις.

Tibull. 1. 9. 3.

"Ah miser! etsi quis primo perjuria celat,
Sera tamen tacitis pœna venit pedibus."

cf. Xenoph. Anabas. II. 5. 7. et III. 2. 10. Idem.

Ταύτην τὴν πίστιν — ἐν Πλαταιαῖς] Etsi Herodotus 9. 53. sqq. copiose agit de isto apud Platæas certamine, hoc tamen jusjurandum non commemoravit. Et Theopompus ab Atheniensibus fictam esse hanc formulam contendit, quod monuit Wesseling. ad Diodor. Vol. IV. p. 346. Bip. Is vero scriptor l. XI. c. 29. eandem, paucis mutatis vel omissis, formulam habet. Contra Isocrates, Theopompi præceptor, cum hoc facere videtur. Nam Panegyr. c. 41. has diras non Atheniensibus neque cæteris Græcis tribuit, sed unis Ionibus. Dubitabatur igitur jam Isocratis ætate de veritate hujus narrationis: sed Lycurgum non idem fecisse haud mireris. Nam is evincere studet, eo jam tempore omnes Græcos in juramenti formula Athenienses secutos, eorumque jusjurandum (v. c. 18.) sponte imitatos esse. Quare, nisi Diodorus quoque ex scripto historico eandem formulam dedisset, omnino et in hac re, ut in multis aliis, historiæ scriptoribus omnino major fuerit fides, quam Oratoribus. Idem.

Ἀκοῦσαι - - - τότε πεπραγμένων] Vulgo horum loco tantum erat ἃ, quam lectionem vitiosam esse, quum neminem posset fu-

γὰρ παλαιῶν ὄντων τῶν τότε πεπραγμένων ὅμως ἰσχυῶς
58. 1 ἔστιν ἐν τοῖς γεγραμμένοις ἰδεῖν τὴν ἐκείνων ἀρετήν. καί 193
μοι ἀναγίνωσκε αὐτόν.

ΟΡΚΟΣ.

Οὐ ποιήσομαι περὶ πλείονος τὸ ζῆν τῆς ἐλευθερίας, οὐδὲ καταλείψω τοὺς ἡγεμόνας οὔτε ζῶντας οὔτε ἀποθανόντας, ἀλλὰ τοὺς ἐν τῇ μάχῃ τελευτήσαντας τῶν συμμάχων ἅπαντας θάψω. καὶ κρατήσας τῷ πολέμῳ τοὺς βαρβάρους τῶν μὲν μαχεσαμένων ὑπὲρ τῆς Ἑλλάδος πόλεων οὐδεμίαν ἀνάστατον ποιήσω, τὰς δὲ τὰ τοῦ βαρβάρου πρεσελομένας ἁπάσας δεκατεύσω· καὶ τῶν ἱερῶν τῶν ἐμπρησθέντων καὶ καταβληθέντων ὑπὸ τῶν βαρβάρων οὐδὲν ἀνοικοδομήσω παντάπασιν, ἀλλ' ὑπόμνημα τοῖς ἐπιγινομένοις ἐάσω καταλείπεσθαι τῆς τῶν βαρβάρων ἀσεβείας.

οὕτω τοίνυν, ὦ ἄνδρες, σφόδρα ἐνέμειναν ἐν τούτῳ πάντες, 194
ὥςτε καὶ τὴν παρὰ τῶν θεῶν εὔνοιαν μεθ' ἑαυτῶν ἔσχον βοηθόν. καὶ πάντων Ἑλλήνων ἀνδρῶν ἀγαθῶν γενομένων πρὸς τὸν κίνδυνον μάλιστα ἡ πόλις [1] ὑμῶν εὐδοκίμησεν. ὃ καὶ πάντων ἂν εἴη δεινότατον, τοὺς μὲν προγόνους [1] ὑμῶν ἀποθνήσκειν τολμᾶν, ὥςτε μὴ τὴν πόλιν ἀδοξεῖν, ὑμᾶς δὲ μὴ κολάζειν τοὺς καταισχύναντας αὐτὴν, ἀλλὰ περιορᾶν τὴν κοινὴν καὶ μετὰ πολλῶν πόνων συνειλεγμένην εὔκλειαν ταύτην διὰ [2] τὴν τῶν τοιούτων ἀνδρῶν πονηρίαν καταλυομένην.

κ'. Καίτοι, ὦ ἄνδρες, μόνοις ὑμῖν τῶν Ἑλλήνων οὐκ ἔστιν οὐδὲν τούτων περιιδεῖν. βούλομαι δὲ μικρὰ τῶν παλαιῶν ὑμῖν διελθεῖν, οἷς παραδείγμασι χρώμενοι καὶ περὶ τούτων καὶ περὶ [3] τῶν ἄλλων βέλτιον βουλεύσεσθε· τοῦτο γὰρ ἔχει μέγιστον ἡ πόλις [1] ὑμῶν ἀγαθὸν, ὅτι τῶν καλῶν ἔργων παράδειγμα τοῖς Ἕλλησι γέγονεν. ὅσον γὰρ τῷ χρόνῳ πασῶν ἐστὶν ἀρχαιοτάτη, τοσοῦτον οἱ πρόγονοι ἡμῶν τῶν ἄλλων ἀνθρώπων ἀρετῇ διενηνόχασιν. ἐπὶ Κόδρου γὰρ

[1] ἡμῶν T. R. [2] τὴν om. T. R. [3] τῶν om. T. R.

gere, varia tentarunt Viri docti, quæ tamen, loco nunc ex libro MS. persanato, scitu sunt inutilia. PINZGER. Pinzgero morem gessi. Miror tamen satis Osanni negligentiam non queo, qui prorsus hoc supplementum e cod. Cripps. prætermisit.

ΟΡΚΟΣ] Et Diodor. XI. 29. hoc juramentum Græcorum, sed neglectis nonnullis, quæ notavit Wesseling. ad h. l., tradidit. Latinam ejusdem interpretationem habet Muretus Var. Lect. III. c. 10. BECKER.

Ἀνάστατον] Tacuit Herodotus de hoc sacramento in narratione belli, quod ad Plataeas contra Persas gestum est, quod mirum videtur, cum tam exacte et sigillatim omnia narraverit. PALMER.

Μεθ' ἑαυτῶν — βοηθὸν] Quare autem utrumque? Cum altera locutio alterius sit glossa, necesse est. TAYLOR. Cui tamen nemo aures præbuit, idque recte. OSANN.

Καὶ μετὰ] καὶ τὴν μετὰ Heinrich.

Διὰ τῶν τ. ἀ. πονηρίαν] Malim διὰ τῆς τῶν τ. ἀ. πονηρίας. REISK.

Ἐπὶ Κόδρου] Hauptm. laudat Meurs. de reg. Athen. III. 11. sqq. BECKER.

βασιλεύοντος Πελοποννησίοις γενομένης ἀφορίας κατὰ τὴν χώραν αὐτῶν ἔδοξε στρατεύειν ἐπὶ τὴν πόλιν ἡμῶν καὶ ἡμῶν τοὺς προγόνους ἐξαναστήσαντας κατανείμασθαι τὴν χώραν. καὶ πρῶτον μὲν εἰς Δελφοὺς ἀποστείλαντες τὸν θεὸν ἐπηρώτων, εἰ ἐπιλήψονται τὰς Ἀθήνας· ἀνελόντος δὲ
195 τοῦ θεοῦ αὐτοῖς ὅτι τὴν πόλιν αἱρήσουσιν, ἐὰν μὴ τὸν βασιλέα τῶν Ἀθηναίων Κόδρον ἀποκτείνωσιν, ἐστράτευον ἐπὶ τὰς Ἀθήνας. Κλεόμαντις δὲ τῶν Δελφῶν τις πυθόμενος τὸ χρηστήριον δι' ἀπορρήτων ἐξήγγελε τοῖς Ἀθηναίοις. οὕτως οἱ πρόγονοι ἡμῶν, ὡς ἔοικε, καὶ τοὺς ἔξωθεν ἀνθρώπους εὔνους ἔχοντες διετέλουν. ἐμβαλόντων δὲ τῶν Πελοποννησίων εἰς τὴν Ἀττικὴν τί ποιοῦσιν οἱ πρόγονοι [1] ὑμῶν, ἄνδρες δικασταί; οὐ καταλιπόντες τὴν χώραν, ὥσπερ Λεωκράτης, ᾤχοντο, οὐκ ἔκδοτον τὴν θρεψαμένην καὶ τὰ ἱερὰ τοῖς πολεμίοις παρέδοσαν, ἀλλ' ὀλίγοι ὄντες κατακλει-

[1] ἡμῶν T. R.

Γενομένης ἀφορίας] Huc referenda sunt Etym. Mag. v. εἰρεσιώνη p. 303. 35. Λυκοῦργος δέ φησιν, ἀφορίας γενομένης Ἀθηναίοις, τοῦτο ἐπιτελεσθῆναι κατὰ χρησμὸν, οἷον ἱκετηρίας, quæ postrema vitio laborant. Osann.

Εἰ ἐπιλήψονται τὰς Ἀθήνας] Num ἐπιλαμβάνεσθαί τινα in usu Græcis fuerit, pro *occupare aliquem*, præsertim *subito, derepente*, in dubio relinquam. Haud equidem commemini. Interim haud celabo lectores, mihi visum aliquando fuisse, leg. esse: εἰ καὶ πῇ λήψονται τ. ἀ. *nun, et qua ratione, capturi essent Athenas?* Reisk. Quod Schulzio probavit. Osann. Heinrichius: εἰ [ἔπι] λήψονται.

Τὸν Ἀθηναίων] Vulgo τῶν Ἀθ. Vid. Schaef. Melet. crit. p. 8. et ad Greg. Cor. p. 1048. Heind. ad Plat. Gorg. 82. p. 115. Pone v. Ἀθηναίων in MSS. et in edd. nomen Κόδρον vulgo additur, quod, utpote fœdissimam glossam e margine in textum intrusam, quin inter genuina scriptoris verba locum occupare sinerem, a me non potui impetrare. Nempe non poterat Pythia, quum de fatali Atheniensium ducis cæde oraculum consueto more ambiguo ederet, ipsum proprium ducis nomen simul significare, nisi præter morem vellet clare et manifeste eloqui, quod non nisi cum erroris periculo fieri poterat. Ac re vera hoc in oraculo Pythiam ducis nomen reticuisse, certissime produnt veterum de ejus effato fabulæ. Ita Velleius Pat., qui rem omnium accuratissime narrare videtur, 1. 2. "quarum ultimus rex fuit Codrus, Melanthi filius, vir non prætereundus. quippe cum Lacedæmonii gravi bello Atticos premerent, responsum dissetque Pythius, quorum dux ab hoste esset occisus, eos futuros superiores." Justinus 2. 6. 16. "Erant inter Athenienses et Dorienses simultatum veteres offensæ, quas vindicaturi bello Dorienses, de eventu prælii oracula consuluerunt. Responsum, superiores fore, ni regem Atheniensium occidissent." Polyænus Stratag. 1. p. 24. ed. Casaub. Ἀθηναίοις καὶ Πελοποννησίοις πόλεμος ἦν. ὁ θεὸς ἔχρησε, νικᾶν Ἀθηναίους, εἰ ὁ βασιλεὺς αὐτῶν ἀποθάνοι πρὸς ἀνδρὸς Πελοποννησίου· Κόδρος ἦν Ἀθηναίων βασιλεύς. Cicero Tusc. 1. 48. "quod oraculum erat datum, si rex interfectus esset, victrices Athenas fore." Cf. Perizon. ad Ælian. V. H. 5. 13. I nunc et defende, sis, pannum male assutum. Osann.

Τῶν Δελφῶν τις] Vrat. τῶν ἀδελφῶν τίς. β α B. τις τῶν Δελφῶν, i. e. τῶν τις Δελφῶν, quod nisi vulgatam etiam A servaret, recepissem. Similem pronominis trajectionem habes ap. Demosthen. de fals. legat. p. 322. E. μικρὸν ἀκούσατέ μου ἔξω τι τῆς πρεσβείας ταυτησί. Infra pag. 439. v. 8. est τῶν ἀρχαίων τινὲς ποιητῶν. Alia plura dabit Matth. Gr. Gr. §. 278. p. 386. Idem.

Ὡς ἔοικε] H. l. ut interdum non dubitantis est, sed affirmantis. V. interpp. ad Lucian. Vol. I. p. 448. Becker.

σθέντες ἐπολιορκοῦντο καὶ διεκαρτέρουν εἰς τὴν πατρίδα. καὶ οὕτως ἦσαν, ὦ ἄνδρες, γενναῖοι οἱ τότε βασιλεύοντες, ὥςτε προῃροῦντο ἀποθνήσκειν ὑπὲρ τῆς [1] τῶν ἀρχομένων σωτηρίας μᾶλλον ἢ ζῶντες ἑτέραν μεταλλάξαι τὴν χώραν. φασὶ γοῦν τὸν Κόδρον παραγγείλαντα τοῖς Ἀθηναίοις
35 προσέχειν ὅταν τελευτήσῃ τὸν βίον, λαβόντα πτωχικὴν
στολὴν ὅπως ἂν ἀπατήσῃ τοὺς πολεμίους, κατὰ τὰς 196
πύλας ὑποδύντα φρύγανα συλλέγειν πρὸ τῆς πόλεως, προσελθόντων δ' αὐτῷ δυοῖν ἀνδρῶν ἐκ τοῦ στρατοπέδου καὶ τὰ κατὰ τὴν πόλιν πυνθανομένων τὸν ἕτερον αὐτῶν ἀποκτεῖναι τῷ δρεπάνῳ προσπεσόντα, τὸν δὲ περιλελειμμένον, παροξυνθέντα τῷ Κόδρῳ καὶ νομίσαντα πτωχὸν
40 εἶναι, σπασάμενον τὸ ξίφος ἀποκτεῖναι τὸν Κόδρον. τούτων δὲ γενομένων, οἱ Ἀθηναῖοι κήρυκα πέμψαντες ἠξίουν δοῦναι τὸν βασιλέα θάψαι, λέγοντες αὐτοῖς ἅπασαν τὴν ἀλήθειαν· οἱ δὲ Πελοποννήσιοι τοῦτον μὲν ἀπέδοσαν, γνόντες δὲ ὡς οὐκ ἔτι δυνατὸν αὐτοῖς τὴν χώραν κατασχεῖν ἀπεχώρησαν. τῷ δὲ Κλεομάντει τῷ Δελφῷ ἡ πόλις αὐτῷ τε καὶ ἐκγόνοις ἐν Πρυτανείῳ ἀΐδιον σίτησιν ἔδοσαν. ὁρᾶτε,

[1] τῶν om. T. R.

Διεκαρτέρουν εἰς τὴν πατρίδα] Hæc non intelligo. videtur aliquid deesse. Reisk. Reiskium Schulzius refutavit. Osann.

Τῆς ἀρχομένων] Interpono τῶν. Reisk. Ἑτέραν] Inclusit Heinrichius.

Μεταλλάξαι] Enotat hoc e loco exemplum præsentis infinitivi et aoristi eodem enunciato junctorum Lobeckius Parerg. ad Phrynich. p. 747. Cf. Peerlkamp. ad Xenoph. Ephes. p. 207. 257. Mox Reiskium τινὰ χώραν legi jubentem bene Heindorfius ad Platon. Charm. 7. p. 62. castigat, articulum fere vim indefiniti nonnunquam habere docens. Cf. Matthiæ Gr. Gr. §. 266. p. 373. s. Osann.

Τὴν χώραν] Malim τινὰ χώραν. Reisk.

Τὸν Κόδρον] Codri mortem enarrant Cic. Tuscul. 1. 48., qui πτωχικὴν στόλην, *vestem famularem*, Justin. II. 8. *pannosam*, interpretantur. Cf. Polyæn. I. 18. Tzetz. Chil. IV. — Cæterum Conon ap. Photium Codrum a civibus, ut se devoveret, persuasum esse ait. Hauptm.

Ὑποδύντα] Subaudi τῷ τῶν φρυγανηλόγων ὁμίλῳ. *cum se immiscuisset turbæ sarmenta legentium.* Reisk. Nisi cum Ernest. ὑπεκδύντα mavis legere subaudiendum erit: τῷ τῶν φρυγανηλόγων ὁμίλῳ. Polyæn. l. c. ὁ δὲ - - - σχῆμα φρυγανιστῆρος λαβὼν, τοῦ χάρακος προσελθὼν κ. τ. λ. Becker. Ernestius et Schulz. ὑπεκδύντα vult, non male, etsi haud necessarium. Vocem ὑπεκδύω, a Schneidero pridem addubitatam Græcitati reddidit Passovius über Zweck, Anlage und Ergänzung. Griech. Wörterb. p. 103. quibus adde Plutarch. de superstitione T. 2. p. 170. F. καίτοι γε ὥσπερ ὁ Τάνταλος ὑπεκδύναι τὸν λίθον. Osann.

Παροξυνθέντα τῷ Κόδρῳ — ἀποκτεῖναι τὸν Κόδρον] Iterum malam manum agnosco Enarratoris. Quam rotundius hoc et elegantius! τὸν δὲ περιλελειμμένον, παροξυνθέντα τῷ Κόδρῳ, καὶ νομίσαντα πτωχὸν εἶναι, σπασάμενον τὸ ξίφος ἀποκτεῖναι. Cæterum, ut istud notem, ex aliquo scriptore hujus historiæ procul dubio desumitur istud fragmentum, quod legitur in Suida v. Ἀδηλώσας. Ὁ δὲ ἀδηλώσας ἑαυτὸν πιναρᾷ στολῇ, καὶ λαβὼν δρέπανον, ὡς ἂν γῆς ἐργάτης. Taylor. Renitentibus Hauptmanno et Schulzio. Osann.

Ὁρᾶτε] De ὁρᾶτε et ὁρᾷς, per se sententiam efficientibus, vid. Heindorf. ad Protag. 66. p. 556. Idem.

[1]ὁμοίως ἐφίλουν τὴν πατρίδα Λεωκράτει οἱ τότε βασιλεύ- 159
οντες, οἵ γε προηροῦντο τοὺς πολεμίους ἐξαπατῶντες ἀπο-
θνήσκειν ὑπὲρ αὐτῆς καὶ τὴν ἰδίαν ψυχὴν ἀντὶ τῆς κοινῆς
197 σωτηρίας ἀντικαταλλάττεσθαι. τοιγαροῦν μονώτατοι ἐπώ-
νυμοι τῆς χώρας εἰσὶν, ἰσοθέων τιμῶν τετυχηκότες. εἰκότως·
ὑπὲρ ἧς γὰρ οὕτω σφόδρα ἐσπούδαζον, δικαίως ταύτην καὶ 5
τεθνεῶτες ἐκληρονόμουν. ἀλλὰ Λεωκράτης [2]οὔτε ζῶν [3]οὔτε
τεθνεὼς δικαίως ἂν αὐτῆς μετάσχοι, [4]μονώτατος δ' ἂν
προσηκόντως ἐξορισθείη τῆς χώρας, ἣν ἐγκαταλιπὼν τοῖς
πολεμίοις ᾤχετο· οὐδὲ γὰρ καλὸν τὴν αὐτὴν καλύπτειν
τοὺς τῇ ἀρετῇ διαφέροντας καὶ τὸν κάκιστον πάντων
ἀνθρώπων.

κά. Καίτοι γε ἐπεχείρησεν εἰπεῖν, ὃ καὶ νῦν ἴσως ἐρεῖ
πρὸς ὑμᾶς, ὡς οὐκ ἄν ποτε ὑπομεῖναι τὸν ἀγῶνα τοῦτον
συνειδὼς ἑαυτῷ τοιοῦτόν τι διαπεπραγμένῳ· ὥσπερ οὐ πάν- 10
τας καὶ τοὺς κλέπτοντας καὶ ἱεροσυλοῦντας τούτῳ τῷ
τεκμηρίῳ χρωμένους. οὐ γὰρ τοῦ πράγματός ἐστι σημεῖον,
ὡς οὐ πεποιήκασιν, ἀλλὰ τῆς ἀναιδείας ἣν ἔχουσιν. οὐ γὰρ
τοῦτο δεῖ λέγειν, ἀλλ' ὡς οὐκ ἐξέπλευσεν οὐδὲ τὴν πόλιν
ἐγκατέλιπεν οὐδ' ἐν Μεγάροις κατῴκησε· ταῦτά ἐστι
τεκμήρια τοῦ πράγματος. ἐπεί γε τὸ ἐλθεῖν τοῦτον, οἶμαι

[1] εἰ ὁμοίως T. R. [2] οὔτε ζῶν om. T. R. [3] οὐδὲ T. R. [4] καὶ μονώτατος T. R.

Μονώτατοι] Locum hunc laudat Schol. ad Aristoph. Plut. v. 182. Rarissime vero occurrit hæc vox, quare adeo Helladius in Chrestom. apud Phot. μονώτατος, inquit, σόλοικον ἠκούετο. Hesych. contra explicat: μόνος ὤν, ὑπάρχων. De talibus superlativis, veluti κορυφαιότατος quasi *summissimus*, ἐσχατώτατος, aliisque, disputat Græv. ad Lucian. Vol. IX. p. 468. Bip. De nostro Schulzius laudat Fischer. ad Weller. p. 149. Becker. Hunc superlativum ut in oratione prosa solœcum hoc e loco memorat Scholiasta Aristophan. Plut. 182. Cfr. Philemonis Lex. technol. p. 76. et quæ Beckerus attulit. Causam Auctor Lexici inediti cod. Paris. 2562. bene his explicat fol. 228. recto: Τὸ μόνον ὄνομά ἐστι ὑπερθετικόν· κατὰ τὸ ἰδιάζον τὴν ὑπέρθεσιν ἔχει, οὗ λεγόμενον καὶ [mendosa hæc], ἀλλ' ἀνάγκη συνυπακούεσθαι, πρὸς ἃ αὐτὸ τὴν ἑαυτοῦ ὑπέρθεσιν ἔξει, ἐφ' ἃ λεγόμενον, μετέχει πάντως τὴν ἀπὸ πρόθεσιν, ἢ παρεοῦσαν, ἢ συνυπακουομένων, οἷον μόνος πάντων ἀντὶ τοῦ ἀπὸ πάντων καὶ οἷος ἀπ' ἄλλων, παρὰ τῷ θεολόγῳ Γρηγορίῳ ἐν τοῖς ἔπεσιν· τὸ μὲν οὖν δὴ μόνον ὄν, ἓν ἂν εἴη πάντως τὴν ἄλλων κεχωρισμένην· τὸ δὲ μὴ μόνον ὄν, ἓν πάντως ἔστι, [ἢ μεθ' ἑνός, ἢ μεθ' ἑτέρων πολλῶν. Osann.

Ἐπώνυμοι] Κοδρίδαι. Meurs. de regno Att. III. 15. Hauptm. Quo nomine Codrus cum filiis, Nileo et Medonte, appellatur ab Ælian. V. H. l. v. 13. Osann.

Ὑπὲρ ἧς γὰρ οὕτω] Ὑπὲρ ἧς γὰρ ζῶντες οὕτω κ. τ. λ. Lobeck. ad Phrynich. p. 129. Recepit Osannus.

Ὑπομεῖναι] Legendum arbitror ὑπομείνειε. Taylor. Legendum suspicor ὑπέμεινε. Sic Isocrat. adv. Callim. §. ς'. πυνθάνομαι - - - παρεσκευάσθαι λέγειν τοιούτους λόγους, ὡς οὐκ ἂν ποτε ἐπέτρεψε κ. τ. λ. Idem adv. Euthyn. §. ια'. ἴσως δ' Εὐθύνους ἐρεῖ - - - ὅτι οὐκ ἂν ποτ' - - - ἀπέδωκε. Schaub. ὑπομείνειε dedit Beckerus, ὑπομείναι cum Ald. Thorlacius et Heinrichius.

Ἐξέπλευσεν] Lectio Aldina erat ἐξέπεσεν. Pro qua alii reposuerunt ἐξέπεσεν, alii ἐξένευσεν. Verum Stephanica, quam oxhibui, est unice vera. Taylor.

15 θεῶν τινὰ αὐτὸν ἐπ᾽ αὐτὴν ἀγαγεῖν τὴν τιμωρίαν, ἵν᾽, ἐπειδὴ τὸν εὐκλεᾶ κίνδυνον ἔφυγε, τοῦ ἀκλεοῦς καὶ ἀδόξου θανάτου [1] τύχοι, καὶ οὓς προὔδωκε, τούτοις ὑποχείριον αὐτὸν καταστήσειεν. ἑτέρωθι μὲν γὰρ ἀτυχῶν οὔπω δῆλον εἰ διὰ ταῦτα δίκην δίδωσιν· ἐνταῦθα δὲ παρ᾽ οἷς προὔδωκε, φανερόν ἐστιν 198 ὅτι τῶν αὐτοῦ παρανομημάτων ὑπέχει ταύτην τὴν τιμωρίαν. οἱ γὰρ θεοὶ οὐδὲν πρότερον ποιοῦσιν ἢ τῶν πονηρῶν ἀνθρώ-
20 πων τὴν διάνοιαν παράγουσι· καί [2] μοι δοκοῦσι τῶν ἀρχαίων τινὲς ποιητῶν, ὥςπερ χρησμοὺς γράψαντες τοῖς ἐπιγενομένοις τάδε τὰ ἰαμβεῖα καταλιπεῖν,

Ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ τινὰ,
Τοῦτ᾽ αὐτὸ πρῶτον ἐξαφαιρεῖται φρενῶν
Τὸν νοῦν τὸν ἐσθλὸν, εἰς δὲ τὴν χείρω τρέπει
25 Γνώμην, ἵν᾽ εἰδῇ μηδὲν ὧν ἁμαρτάνει.

κβ΄. Τίς γὰρ οὐ μέμνηται τῶν πρεσβυτέρων ἢ τῶν νεω-

[1] τύχῃ T. R. [2] μὴ T.

Οἱ γὰρ θεοὶ — παράγουσι] *dii enim nihil prius faciunt, quam quod pravorum hominum mentem deflectunt a recto et vero ad vitium et fraudem.* Sic παράγειν sæpius, v. c. in Demosthen. Lept. §. κή. Becker.

Ποιοῦσιν] Spurium videtur Bekkero, sine ratione idonea. Pinzger.

Καὶ μὴ δοκοῦσι] Π. καὶ μὴ δοκοῦσι, καὶ τὰ ἑξῆς, μέχρι τοῦ καταλιπεῖν, ἐν ἐρωτήσει. Εἰ δὲ μὴ, γράφειν δεῖ, Καί μοι δοκοῦσι. H. Stephan. Hoc posterius probum est, idemque annotavit Iosephus Scaliger. Taylor.

Ὥσπερ χρησμοὺς γράψαντες τοῖς ἐπιγεν.] Χρησμοὶ sunt præcepta, quorum veritati ita confidunt eorum auctores, ut non modo ipsi sequantur, sed etiam posteri ut idem faciant optant; cf. Isocr. Panegyr. c. 45. ibique interp. Igitur erravit Taylor. cum post γράψαντες cum interprete incisum ponere vellet. Becker.

Τοῖς ἐπιγενομένοις] Satius est fortasse distinguere cum Interprete: ὥςπερ χρησμοὺς γράψαντες, τοῖς ἐπιγενομένοις τάδε τὰ ἰαμβεῖα καταλιπεῖν. Taylor.

Ὅταν γὰρ ὄργη — ἁμαρτάνει] Hos ex antiquo quodam poeta desumptos versus eleganter Melancthon ita interpretatus est:

Iratus ad pœnam Deus si quos trahit,
Auferre mentem talibus primum solet,
Caliginemque offundit, ut ruant suas
Furentes in clades, sibi quas noxiis
Accersierunt ultro consiliis malis.

Hujus opinionis auctor et fons Homerus fuisse videtur. cf. Il. VI. 234. XVII. 470. Quum enim antiquis ratio, qua animi prævæ cupiditates in transversum ducere solent homines, non satis explorata fuerit: a diis et dæmonibus initium trahebant stultitiæ et perversitatis hominum fere incredibilis, illosque auctores miseriarum, quæ tum sequantur necesse est, reddere solebant. Similem ex antiquo Poeta servavit sententiam Athenagoras Leg. pro Christ. p. 304. ed. Paris.

Ὅταν ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακὰ
Τὸν νοῦν ἔκλαψε πρῶτον. —

Ubi Philosophus et Christianus vere et pie addit: ὁ δὲ θεὸς, τελείως, ἁγαθὸς ὤν, ἀϊδίως ἀγαθοποιός ἐστιν. Quos versus, nescio quo jure, tribuunt Euripidi in Fragment. p. 497. ed. Lips. Præclare autem Schillerus noster, præeunte Shakespeario, istam opinionem illustrat dramate Macbeth. Act. II. sc. 2. ubi Hecate, personam δαίμονος istius repræsentans, sic ait:

" Ich will euch meine Geister senden
Und solche Truggebilde weben
Und täuschende Orakel geben,
Dass Macbeth, von dem Blendwerk voll,
Verwirrt und tollkühn werden soll!
Dem Schicksal soll er trotzen kühn,
Nichts fürchten, sinnlos alles wagen,
Nach seinem eiteln Trugbild jagen.
Den Sterblichen, das wisst ihr lange,
Führt Sicherheit zum Untergange.

Becker. Hos versus Euripidis esse sine justa causa Valckenaer. ad Hippol. 322. p. 198. suspicatur. Vide Heynii Obss. ad Il. T. 5., Erfurdt. ad Sopocl. Antiq. 615. Platon. Repub. B. 19. Osann.

τέρων οὐκ ἀκήκοε Καλλίστρατον, οὗ θάνατον ἡ πόλις κατέγνω, τοῦτον φυγόντα, καὶ τοῦ θεοῦ τοῦ ἐν Δελφοῖς ἀκούσαντα ὅτι ἂν ἔλθῃ Ἀθήναζε τεύξεται τῶν νόμων, ἀφικόμενον καὶ ἐπὶ τὸν βωμὸν τῶν δώδεκα θεῶν καταφυγόντα
199 καὶ οὐδὲν ἧττον ὑπὸ τῆς πόλεως ἀποθανόντα; δικαίως· τὸ 30
γὰρ τῶν νόμων τοῖς ἠδικηκόσι τυχεῖν τιμωρία ἐστίν. ὁ δέ γε θεὸς ὀρθῶς ἀπέδωκε τοῖς ἠδικημένοις κολάσαι τὸν αἴτιον· δεινὸν γὰρ ἂν εἴη, εἰ ταὐτὰ σημεῖα τοῖς εὐσεβέσι καὶ τοῖς κακούργοις φαίνονται. ἡγοῦμαι δ' ἔγωγε, ὦ ἄνδρες, τὴν τῶν

Καλλίστρατον] Sermo est de Callicratis filio, Aphidnæo, quem Xenoph. Hellen. VI. 2. 39. δημαγωγὸν appellat. Vir insignis fuit eloquentia, qua teste Plutarcho vita Demosth. p. 848. A. Demosthenem adolescentulum studio artis suæ incendit. Quo definitur ejus ætas. Floruit enim circa Ol. 103. 3. quo anno causam de Oropo peroravit Callistratus. cf. Liban. V. Demosth. Postea, exsilio multatus, in Macedonia et Thracia vitam agebat. Meminit ejus in urbe Methone degentis Demosth. c. Polycl. p. 1122. ed. Reisk. atque Isocrates Symmach. §. θ'. de eodem, ut opinor, in Thracia coloniam condidisse, refert. Igitur οἱ πρεσβύτεροι, i. e. Lycurgi, Demosthenis cæterorum æquales Callistratum probe noverunt; contra οἱ νεώτεροι multa de viro insigni audiverant. Præter Wesseling. ad Diodor. l. XV. Vol. VI. p. 360. Bip. egit de Callistrato Ruhnken. Hist. Crit. Or. Gr. p. 148. Becker. Cf. Boeckhii Staatshaushaltang der Athener. t. ii. p. 246. Osann.

Τεύξεται τῶν νόμων] Non recte intelligo istam phrasin τυχεῖν τῶν νόμων, at τυχεῖν τῶν νομίμων unaquaque fere pagina occurrit, idque hic et in inferioribus, sc. l. 6. rescribendum esse arbitror. Quoties hac chorda oberraverint Librarii, diximus ad §. ιζ'. Taylor.

Τεύξεται τῶν νομίμων] Sic Taylorus ultimam restituit vocem pro νόμων, quod in vett. Edd. legitur. Contrarium est: εἴργεσθαι καὶ θυσιῶν καὶ τῶν ἄλλων νομίμων. Diodor. XIX. Vol. VIII. p. 269. Bip. ubi v. Wessel. Nostrum egregie illustrat Dinarch. c. Aristogit. p. 81. ed. Reisk. οὐ τυχόντα τῶν νομίμων, quod ib. p. 87. explicatur, τὰ νομιζόμενα, i. e. *justam in patria sepulturam consecuturum esse Aristogitonem.* Nos: *er werde nicht eines gewaltsamen, vielmehr eines natürlichen Todes sterben.* Et sic Callistratus, deceptus a diis, dubium Oraculi effatum interpretatus est: nam ultro rediit Athenas, et supplex ad aram XII. deorum, olim a Pisistrato exstructam (Thucyd. VI. p. 447.) confugit. cf. Taylor. ad Lys. epitaph. p. 69. ed. Reisk. Becker. Frustra. vid. Hauptm. et Schulz. Osann.

Ὑπὸ τῆς πόλεως ἀποθανόντα;] Recte Lonicer. interpretatus est: *urbis censura morti adjudicatum?* Sic enim in usu est ἀποθανεῖν ὑπό τινος. Hemsterhus. ad Lucian. Vol. I. p. 333. Bip. Becker.

Τὸ γὰρ τῶν νομίμων — ἐστὶν] I. e. Oraculi enim effatum: *justam assequi sepulturam sceleratum*, significat *supplicio affici.* Idem.

Ὁ δέ γε Θεὸς — αἴτιον] *deus enim* (per oraculum seducens Callistratum, in patriam ut ultro rediret) *recte concessit injuria affectis, ut punirent injuriarum auctorem.* Idem.

Φαίνονται] Π. Φαίνωνται. Ἡ φαίνοιντο. H. Stephan. Recte quidem istæc Stephanus admonuit, nondum tamen totam rem expedivit. Superest enim adhuc aliquid. φαίνονται, aut φαίνωνται, aut φαίνοιντο, redit ad deos, non ad σημεῖα. Nam si ad hæc referretur, et σημεῖα si esset nominativus, potius dixisset φαίνηται aut φαίνοιτο, in singulari. Ego vero legi malim φαίνοι in singulari optativi, *si deus* (Apollo) *edat, ostendat eadem signa*, easdem sortes, *bonisque malisque.* Reisk. φαίνωνται recepimus. σημεῖα est accusativus: *si eadem signa ostendant* (dii) *piis æque scelestis.* Nec offendimus, ut alii, verbo plurali numero juncto cum substantivo neutr. gen. V. Matth. Gr. Gr. p. 416. Becker. φαίνονται quum MSS. omnes teneantur ferrique quodam modo possit, etiam nos auctori reddidimus, optativo potius locum esse haud ignorantes. Beckerus, quem mirari non satis possis, φαίνωνται recepit; nam etsi dubia de particula εἰ cum conjunctivo recte juncta in diem tolli videntur, uti post Jacobsium in Thiersch. Act. Philol. Monac. v. i. fasc. 2. p. 149. nos ad Philemonem Grammaticum, p. XXXVI. animadvertimus, tamen multum abest, ut ei qui bono scriptori conjunctivum talem de suo intrudat, auctor ego

θεῶν ἐπιμέλειαν πάσας μὲν τὰς ἀνθρωπίνας πράξεις ἐπισκοπεῖν, μάλιστα δὲ τὴν περὶ τοὺς γονέας καὶ τοὺς τετελευτηκότας καὶ τὴν πρὸς αὐτοὺς εὐσέβειαν. εἰκότως· παρ' ὧν γὰρ τὴν ἀρχὴν τοῦ ζῆν εἰλήφαμεν καὶ πλεῖστα ἀγαθὰ πεπόνθαμεν, εἰς τούτους μὴ ὅτι ἁμαρτεῖν ἀλλ' ὅτι μὴ [1] εὐεργετοῦντας τὸν αὑτῶν βίον καταναλῶσαι μέγιστον ἀσέβημά ἐστι.

κγ'. Λέγεται οὖν ἐν Σικελίᾳ — εἰ γὰρ καὶ μυθωδέστερόν ἐστιν, ἀλλ' ἁρμόσει καὶ ὑμῖν ἅπασι τοῖς νεωτέροις ἀκοῦσαι — ἐκ τῆς Αἴτνης ῥύακα πυρὸς γενέσθαι· τοῦτον

[1] ἐνεργοῦντας T. R.

suasorve velim fuisse; immo ita caute in his adhuc incedendum, ut is qui conjunctivum tolerari posse jubeat, verendum sit, ut multis alterius quam par sit progressus esse jam videatur. Reiskius porro φαίνοι suadet, idque ad deum refert, Thorlacius [et Heinrichius] φαίνοιτο edidit, quod si quid h. l. novandum est, ego quoque susceperim: Schaubius φαίνεται conjecit: nempe triumviri in verbo plurali post neutrum plurale posito hærentes, in quo ego quoque hæreo. Attamen in arte grammatica, ubi dies hodie diei commenta delet, temerarium, ne graviori etiam nomine utar, eum dixerim qui lectionem consensu codicum plurium eorumdemque optimorum affatim confirmatam, quæ etsi cum vulgari præcepti usu pugnet, tamen ab aliqua parte excusari, sin minus defendi posse videatur, loco movendam esse censeat. Quare nihil hic muto, interim eorum hujus usus exemplorum ab Heindorfio ad Plat. Cratyl. 88. p. 136. collatorum numero acquiescens, quæ videndum annon augeri etiam possint. Osann. Sed his omnibus non est opus. Pinzger.

Εὐσέβειαν] Male ἀσέβειαν Schulzius conjecit, qui, si orator alio verbo ac ἐπισκοπεῖν usus esset, fortasse audiendus esset. Osann.

Ἐνεργοῦντας] Sic Ald. et Steph.—Melancth. emendabat εὐεργετοῦντας, quod defendit et recepit Schulzius. Sed illud magis placebit sequentia attente consideranti. De beneficiis liberorum erga parentes h. l. sermo non est, sed de studio et industria vel ipsam vitam fortiter impendere pro salute parentum. Hoc igitur latius patet. Becker. Egregiam Melanchthonis emendationem vulgatæ a Beckero posthabitam esse valde dolendum. Osann. Et εὐεργετοῦντας receperunt Osannus, Heinrichius et Pinzgerus.

Καὶ ὑμῖν ἅπασι τοῖς νεωτέροις] Cogitari quidem potest, Lycurgum h. l. solum juniores allocutum esse cives, quod cæteris Oratoribus, si recte memini, prorsus insolitum est: tamen in Orationis structura durum aliquid remanebit. Igitur non male Schulzius existimavit, post ἅπασι particulam esse repetendam. Cui solummodo triplex vocis repetitio obstare videtur. An igitur scripsit Orator: ἀλλ' ἁρμόσει ὑμῖν ἅπασι, καὶ τοῖς νεωτέροις ἀκοῦσαι, i. e. *imprimis juvenibus nostris hoc pietatis exemplum proponere, utile erit.* Becker.

Ἐκ τῆς Αἴτνης] Quam Lycurgus de pietate filii erga patrem hic enarrat historiam, eandem plures scriptores antiqui tradiderunt, sed cuncti ita, ut de duobus loquantur filiis, quorum alter patrem, alter matrem ab interitu servaverit. Eorum nomina erant Amphinomus et Anapis s. Anapius, ut Seneca de Benef. III. 37. scribit. Inter Græcos primus est Aristoteles s. quisquis est auctor libri de Mundo c. 6. 23., tum Strabo VI. p. 412. B., Pausanias Phocic. 28. 2., Philostratus V. Apoll. V. 17., Nonnus exegesi in Greg. Naz. p. 143. et Stobæus Serm. LXXVII. p. 414. Postremus hanc eruptionem Ætnæ Ol. 81. factam esse memorat, juvenesque illos Philonomum et Calliam, Catanæos, vocat. E Latinis vero scriptoribus enarrant historiam Valer. Maxim. V. 4. extern. 4. Claudian. Idyll. VII. (quod suavissimum carmen eleganter germ. vertit J. H. F. Meinecke in ed. Lucilii Junior. p. 100.) itemque Lucil. Junior 5. Cornel. Severus in Ætna v. 600—642. Quibus collig. Solin. c. 5. et Salmas. exerc. p. 100. D. His vero inter se comparatis veterum scriptis Lycurgi narratio, qui historiam ad finem Orationis paululum immutavisse videtur, commode explicabitur. Idem. Osannus et Pinzgerus: ἐκ γὰρ τῆς Αἴτ.

δὲ ῥεῖν φασὶν ἐπὶ τὴν ἄλλην χώραν καὶ δὴ καὶ πρὸς πόλιν τινὰ τῶν ἐκεῖ κατοικουμένων. τοὺς μὲν οὖν ἄλλους ὁρμῆσαι 40
200 πρὸς φυγὴν, τὴν αὑτῶν σωτηρίαν ζητοῦντας· ἕνα δέ τινα τῶν νεωτέρων, ὁρῶντα τὸν πατέρα πρεσβύτερον ὄντα καὶ [1]οὐχὶ δυνάμενον ἀποχωρεῖν ἀλλὰ ἐγκαταλαμβανόμενον,
201 ἀράμενον φέρειν. φορτίου δ' οἶμαι προσγενομένου καὶ αὐτὸς ἐγκατελήφθη. ὅθεν δὴ καὶ ἄξιον θεωρῆσαι τὸ θεῖον, ὅτι τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς εὐμενῶς ἔχει. λέγεται [2]γὰρ κύκλῳ τὸν τόπον ἐκεῖνον περιῤῥεῦσαι τὸ πῦρ καὶ σωθῆναι τούτους 160
μόνους, ἀφ' ὧν καὶ τὸ χωρίον ἔτι καὶ νῦν [3]προσαγορεύεται

[1] οὐ T. R. [2] καὶ R. [3] προσαγορεῦσαι T. R.

Ῥύακα πυρὸς] Aristotel. l. c. vocat ῥεῦμα sc. πυρὸς (der Lavastrom). cf. de Mundo 4, 25. Becker.

Ἐπὶ τὴν ἄλλην] Ἐπὶ τήν τε ἄλλην ex conjectura sua dedit Pinzgerus.

Πρὸς πόλιν τινὰ] Ad urbem Catanam, ut Pausan. l. c. diserte dicit: ἐπέῤῥει τῇ Κατάνῃ. Becker.

Τοὺς μὲν οὖν ἄλλους] Eleganter L. Lucil. Jun. v. 614.

"Et quod cuique fuit cari, fugit ipse sub illo,
Sed non incolumis dominum sua præda secuta est." Becker.

Φορτίου] Lege: ῥοθίου δ' οἶμαι προσγενομένου καὶ αὐτὸς ἐγκατελήφθη. Nam ῥόθιον nomen est aptissimum, quod violentiam, impetum et strepitum undarum significat. Palmer. Crude hoc et infeliciter sane. Potuit fortasse Juvenis, levis et expeditus cum fuerit, evasisse: *accedente* autem *onere*, φορτίου προσγενομένου, non solum pater, ἀλλὰ καὶ αὐτὸς ἐγκατελήφθη. Mihi semper res fuit cum iis hominibus qui locos sanos inficiunt, insanos negligunt. Hæc historia, paululum licet immutata, a multis traditur. "Inter Catinam et Syracusas certamen est de illustrium fratrum memoria, quorum nomina sibi diversæ partes adoptant. Si Catinenses audiamus, Anapis fuit et Amphinomus: si quod malunt Syracusæ, Emantiam putabimus et Critonem. Catinensis tamen regio causam dedit facto, in quam se cum Ætnæ incendia protulissent, juvenes duo sublatos parentes evexerunt inter flammas illæsi ignibus. Horum memoriam ita Posteritas munerata est, ut sepulcri locus nominaretur Campus Piorum." Solinus, cap. 5. Πρώτη καὶ ὀγδοηκοστῇ Ὀλυμπιάδι φασὶ τὴν Αἴτνην ῥυῆναι, ὅτε καὶ Φιλόνομος καὶ Καλλίας, οἱ Καταναῖοι, τοὺς ἑαυτῶν πατέρας ἀράμενοι διὰ μέσης τῆς φλογὸς ἐκόμισαν, τῶν ἄλλων κτημάτων καταφρονήσαντες. ἀνθ' ὧν καὶ ἀμοιβῆς ἔτυχον τῆς ἐκ τοῦ θείου. τὸ γάρ τοι πῦρ θεόντων αὐτῶν διέστη, καθ' ὁ μέρος ἐκεῖνοι παρεγίνοντο. Stobæus Serm. LXXVII. Vid. Aristotelem de Mundo, c. VI., Pausaniam in Phocicis p. 663. Edit. Hanov. 1613., Auctorem Poematis de Ætna, sub finem, Strab. l. 6. p. m. 269, Valer. Maxim. V. 9., Claudian. Carm. L. de piis fratribus et eorum Statuis quæ sunt apud Catinam, Ausonium de claris urbibus, Hyginum, aliosque. De Statuis, quas in Piorum Fratrum memoriam consecravit Catanensium Civitas, vide Carreræ Monum. Histor. Catanens. l. 1. capp. 30. et 50. Taylor.

Φορτίου] Palmerius, qui sane Aristotelem inspexisse non videtur, corrigebat ῥοθίου. Longin. quidem c. 32. 4. τὸ ῥόθιον τῆς φορᾶς meton. dicit de Oratore, qui oratione auditores propellit, et Hyperides Orator teste Harpocrat. h. v. eadem usus est voce. Sed in Lycurgo recepta lectio, quam tuentur edd. omnes, omnino est retinenda. Eam confirmat Aristoteles, l. c. περικαταληφθέντες, inquit, ὑπὸ τοῦ ῥεύματος, διὰ τὸ βαστάζειν γερόντας ἐπὶ τῶν ὠμῶν γονεῖς. Becker.

Ἐγκατελήφθη] Melanth. dedit ἐγκατελείφθη. Illud præferendum videtur, partim propter præcedens ἐγκαταλαμβανόμενον, partim ob sensum narrationis. Usurpatur enim h. v. de periculis, quæ inopinate repentino impetu superveniunt. Interpr. ad Lucian. I. p. 192. Bip. Verte igitur: *deprehensus est juvenis ita, ut nullus sibi exitus pateret.* Idem.

Λέγεται γὰρ κύκλῳ] Aristotel. l. c. πλήσιον γὰρ αὐτῶν γενόμενος ὁ τοῦ πυρὸς ποταμὸς ἐξεσχίσθη, παρέτρεψε δὲ (i. e. deflectebat) τὸ μὲν ἔνθα, τὸ δὲ ἔνθα, καὶ ἐτήρησεν ἀβλαβεῖς. Idem Pausan. l. c. διχῇ σχισθῆναι λέγεται τὸν ῥύακα. Idem.

Προσαγορεῦσαι] Malim προσαγορεύεσθαι.

Τῶν εὐσεβῶν χῶρον· τοὺς δὲ ταχεῖαν τὴν ἀποχώρησιν ποιησαμένους καὶ τοὺς ἑαυτῶν γονεῖς ἅπαντας ἐγκαταλιπόντας ἀπολέσθαι. ὥστε καὶ ὑμᾶς δεῖ τὴν παρὰ θεῶν ἔχοντας
5 μαρτυρίαν ὁμογνωμόνως τοῦτον κολάζειν τὸν ἅπασι τοῖς μεγίστοις ἀδικήμασιν ἔνοχον ὄντα κατὰ τὸ ἑαυτοῦ μέρος. τοὺς μὲν γὰρ θεοὺς [1] τὰς πατρίους τιμὰς ἀπεστέρηκε, τοὺς δὲ γονεῖς τοῖς πολεμίοις ἐγκατέλιπεν, τοὺς δὲ τετελευτηκότας τῶν νομίμων οὐκ εἴασε τυχεῖν.

κδ'. Καίτοι σκέψασθε, ὦ ἄνδρες· οὐ γὰρ ἀποστήσομαι τῶν παλαιῶν· ἐφ' οἷς γὰρ ἐκεῖνοι ποιοῦντες ἐφιλοτιμοῦντο, ταῦτα δικαίως ἂν ὑμεῖς ἀκούσαντες ἀποδέχοισθε. φασὶ γὰρ
10 Εὔμολπον τὸν Ποσειδῶνος καὶ Χιόνης μετὰ Θρακῶν ἐλθεῖν τῆς χώρας ταύτης ἀμφισβητοῦντα, τυχεῖν δὲ [2] κατ' ἐκείνους 202
τοὺς χρόνους βασιλεύοντα Ἐρεχθέα, γυναῖκα ἔχοντα Πραξιθέαν τὴν Κηφισοῦ θυγατέρα. μεγάλου δὲ στρατοπέδου μέλλοντος αὐτοῖς εἰσβάλλειν εἰς τὴν χώραν, εἰς Δελφοὺς ἰὼν ἠρώτα τὸν θεὸν, τί ποιῶν ἂν νίκην λάβοι παρὰ τῶν πολεμίων. χρήσαντος δ' αὐτῷ τοῦ θεοῦ, τὴν θυγατέρα εἰ θύσειε πρὸ

[1] τοὺς T. R.

35 βασιλεῖ. ὁ δὲ Τεύθρας ἀπιδὼν τὴν μὲν Αὔγην γυναῖκα ποιεῖται, τὸν δὲ παῖδα αὐτῆς ἐπονομάσας Τήλεφον τιθεται υἱὸν ἑαυτοῦ, δίδωσί τε αὐτὸν Πριάμῳ εἰς τὸ ὀλίγον παιδεῦσαι. χρόνου δὲ προϊόντος Ἀλεξανδρος ἐπεθύμησεν εἰς τὴν Ἑλλάδα ἀφικέσθαι, τό τε [3]ἱερὸν τὸ ἐν Δελφοῖς θεωρῆσαι βουλόμενος, ἅμα δὲ καὶ τὸ κάλλος τῆς Ἑλένης ἀκούων δηλονότι, καὶ τὴν τοῦ Τηλέφου γένησιν ἀκηκοώς,
40 ὁπόθεν τε εἴη καὶ τίνα τρόπον καὶ ὑπὸ τίνος ἐπρεσβή. ὥστε 72
Ἀλέξανδρος [4]οὕτω τὴν ἀποδημίαν ἐποιεῖτο διὰ προφάσεως τοιαύτης εἰς τὴν Ἑλλάδα. ἐν δὲ τῷ καιρῷ τούτῳ οἱ Μόλου παῖδες ἀφικνοῦνται ἐκ Κρήτης, δεόμενοι Μενελάου αὐτοὺς διαλλάξαι καὶ διελεῖν τὴν κτῆσιν αὐτοῖς, ὅτι εἴη ὁ πατὴρ τετελευτηκὼς αὐτοί τε στασιάζοιεν περὶ τῶν πατρῴων χρημάτων. εἶεν· τί οὖν γίνεται; πλεῖν αὐτῷ ἔδοξε, καὶ
6. 1 ἐπιστείλας τῇ γυναικὶ καὶ τοῖς ἀδελφοῖς ἐπιμελεῖσθαι τῶν ξένων, ἵνα μηδενὸς ἔσοιντο ἐνδεεῖς, ἕως ἂν αὐτὸς ἔλθῃ ἐκ Κρήτης, ὁ μὲν ᾤχετο· Ἀλέξανδρος δὲ αὐτοῦ τὴν γυναῖκα ἐξαπατήσας, καὶ λαβὼν ἐκ τῶν οἴκων [5]ὅσα πλεῖστα 73
ἐδύνατο, ἀποπλέων ᾤχετο, οὐκ αἰδεσθεὶς οὔτε Διὰ ξένιον
5 οὔτε θεῶν οὐδένα, ἄνομα καὶ βάρβαρα ἔργα διαπραξάμενος, ἄπιστα πᾶσι καὶ τοῖς ἐπιγιγνομένοις ἀκοῦσαι. ἀφικομένου

[1] ὁ om. [2] εἰς [3] τό τε ἐν Δ. ἱερὸν [4] οὕτως [5] ἃ

Ἀπιδὼν] Num ἄπαις ὢν. IDEM.

Εἰς τὸ ὀλίγον] Parisinus dat εἰς τὸν ὀλίγον. Num ergo εἰς τὸν Ὄλυμπον. Olympus mons Phrygiæ notus est. An εἰς τὸ Ἴλιον. IDEM.

Τό τε ἐν Δ.] Pro τε malim μέν. IDEM.

Ἀκηκοὼς] Tertiam causam enumerat, cur Paris cupiditate Græciæ spectandæ exarsisset. Audierat a fama multa coram se jactata, 1. de magnificentia templi Delphici. 2. de forma Helenæ. 3. de mirabilibus fatis familiaris sui Telephi. Ut itaque nemo non amici sui sorte afficitur, ita Paris quoque gestiebat Telephi patriam, et reliqua ejus decora suis oculis noscitare. IDEM.

Οὕτος] Num ὡς οὐκ ἔδει, vel tale quid. IDEM.

Διὰ προφάσεως τοιαύτης] Imo vero διὰ προφάσεις τοιαύτας. tres enim causas profectionis enumeraverat paulo ante. IDEM.

Αὐτοῖς, ὅτι] Aut interponendum, aut certe subaudiendum est λέγοντες. IDEM.

Αὐτῷ] Menelao puta. IDEM.

Τοῖς ἀδελφοῖς] At cujos? suisne? at præter Agamemnonem Menelao frater, quod sciam, nullus alius fuit. Ergone Helenæ fratres, Castor et Pollux, designantur? Videtur. IDEM.

Τῶν ξένων] Paridis, et si qui alii aliunde, se absente, Spartam venirent. IDEM.

Πᾶσι] Ad πᾶσι aut adde, aut subaudi saltim καὶ τοῖς οὖσι. IDEM.

δὲ αὐτοῦ πάλιν εἰς Ἀσίαν, ἄγοντος τὰ χρήματα καὶ τὴν γυναῖκα, ἔστιν ὅπου ἀντελάβου τινὸς ἢ βοῇ ἐσήμηνας τοῖς περιοίκοις ἢ βοήθειαν συνέλεξας; οὐκ ἂν ἔχοις εἰπεῖν· ἀλλὰ περιεῖδες Ἕλληνας ὑπὸ βαρβάρων ὑβρισθέντας. ἐπεὶ δ' ἐπύθοντο οἱ Ἕλληνες τὴν ἁρπαγὴν καὶ Μενέλεως ἤσθετο, ἤγειρε τὴν στρατιὰν καὶ διέπεμπεν ἡμῶν ἄλλον ἄλλοσε εἰς 10 τὰς πόλεις αἰτήσοντας στρατόν. καὶ δὴ [1] καὶ τοῦτον ἔπεμψεν εἰς Χίον πρὸς Οἰνοπίωνα καὶ εἰς Κύπρον πρὸς Κινύραν. ὁ δὲ Κινύραν τε ἔπεισε μὴ συστρατεύειν ἡμῖν, δῶρά τε [2] πολλὰ παρ' αὐτοῦ λαβὼν ἀπωπλέων ᾤχετο· καὶ Ἀγαμέμνονι μὲν ἀποδίδωσι χαλκοῦν θώρακα, ὅστις οὐδενὸς ἄξιος ἦν, αὐτὸς δὲ τὰ ἄλλα εἶχε χρήματα. ἀπηγγέλλετο δὲ, ὅτι ἑκατὸν 74 ναῦς ἀποπέμψει ὁ Κινύρας, ὁρᾶτε δὲ [1] καὶ αὐτοὶ οὐδεμίαν παρ' αὐτοῦ ἤκουσαν. ὥστε καὶ διὰ ταῦτα δικαίως ἄν μοι 15 [3] δοκοίη θανάτῳ ζημιωθῆναι· ἄξιον γὰρ κολάσαι τὸν σοφιστὴν, ὃς ἐπὶ τοῖς φίλοις τὰ αἴσχιστα μηχανώμενος πέφανται.

ε'. Ἄξιον δὲ καταμαθεῖν ἃ καὶ φιλοσοφεῖν ἐπικεχείρηκεν ἐξαπατῶν τοὺς νέους καὶ παραπείθων, φάσκων τάξεις [4] ἐξευρηκέναι πολεμικὰς, γράμματα, ἀριθμοὺς, μέτρα, σταθμοὺς, πεττοὺς, κύβους, μουσικὴν, νόμισμα, πυρσούς. καὶ οὐδὲ αἰσχύνεται, ὅταν αὐτίκα ἐλέγχηται φα- 20 νερῶς ἐν ὑμῖν ψευδόμενος. Νέστωρ γὰρ ὁ πρεσβύτατος ἡμῶν ἁπάντων καὶ αὐτὸς ἐν τοῖς Πειρίθου γάμοις μετὰ Λαπιθῶν ἐμαχέσατο Κενταύροις ἐν φάλαγγι καὶ ἐν τάξει· Μενεσθεὺς δὲ πρῶτος λέγεται κοσμῆσαι τάξεις, καὶ λόχους καὶ φάλαγγας συστῆσαι, ἡνίκα Εὔμολπος ὁ Ποσειδῶνος ἐπ' Ἀθηναίους ἐστράτευσε Θρᾷκας ἄγων. ὥστε οὐ Παλα-

[1] καὶ om. [2] πολλὰ om. [3] δοκεῖ [4] ἐξευρηκέναι τάξεις

Ἀπηγγέλλετο] Revocavi hanc lectionem ex Aldina, meliorem utique lectione ἐπηγγ. quam Stephanus ei suffecerat cum hac annotatione: πρ. γρ. ἀπηγγέλλετο. ἔστι δὲ τὸ ἐπηγγέλλετο ἐν τῷ παλαιῷ ἀντιγράφῳ. Hæc Stephanus, auctorem laudans, non infinite, non ἐν παλαιῷ, sed finite ἐν τῷ παλαιῷ, incertum tamen et ignotum relinquens idem, quemnam vetustum codicem habuisset auctorem. Quem Parisinum usurpo, is certe auctor ei non fuit, nam in eo lectio Aldina legitur, quæ, quod dixi, sine dubio novæ præstat. Sed ne ipsa quidem satis sincera mihi videtur esse. Nullus enim dubito ἀπήγγελλε in activo leg. esse. *renuntiabat* Palamedes e Cypro Spartam rediens ad Græcos, *Cinyram classem centum navium esse præbiturum.* Passivum si tuebimur, reddendum erit: *nuntiabatur Cinyras præbiturus* — quod meas quidem ad aures durius accidit. Idem.

Δοκεῖ] Sic dedi de meo, pro vulgari δοκοίη. Conf. p. 185. 14. ed. Steph. Idem.

μήδους τὸ ἐξεύρημά ἐστιν, ἀλλ' ἄλλων πρότερον. γράμματα 76
[1]μὲν δὴ πρῶτος Ὀρφεὺς ἐξήνεγκε, παρὰ Μουσῶν μαθών,
ὡς καὶ τὰ ἐπὶ τῷ μνήματι αὐτοῦ δηλοῖ ἐπιγράμματα,

Μουσάων πρόσπολον τῆδ' Ὀρφέα Θρῆκες ἔθηκαν,
Ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολέεντι βέλει,
Οἰάγρου φίλον υἱόν, ὃς [2]Ἡρακλῆ ἐξεδίδαξεν,
Εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίην.

μουσικὴν δὲ Τέννος ὁ Καλλιόπης, ὃν Ἡρακλῆς φονεύει, ἀριθμούς γε μὴν Μουσαῖος ὁ τῶν Εὐμολπιδῶν, Ἀθηναῖος, ὡς καὶ τὰ ποιήματα αὐτοῦ δηλοῖ,

Ὄρθιον ἑξαμερὲς τετόρων καὶ εἴκοσι μέτρων,
Ὡς δεκάτην γενεὴν ἑκατὸν βιοῦν ἀνδρας.

νομίσματα δὲ οὐ Φοίνικες ἐξεῦρον, λογικώτατοι καὶ δεινότατοι ὄντες τῶν βαρβάρων; ἐξ ὁλοσφύρου γὰρ ἴσον μερισμὸν διείλοντο, [3]καὶ πρῶτοι χαρακτῆρα [4]ἔβαλον εἰς τὸν σταθμὸν τὸ πλέον καὶ τὸ ἔλαττον. παρ' ὧν οὗτος ἐλθὼν [5]σοφίζεται. τῶν αὐτῶν δὲ καὶ ὁ ῥυθμός. ὥστε αὐτοῦ [6]ταῦτα πάντα πρεσβύτερα φαίνεται, ὧν οὗτος προσποιεῖται εὑρετὴς εἶναι. μέτρα δὲ καὶ σταθμὰ ἐξεῦρε, καπήλοις καὶ ἀγοραίοις ἀνθρώποις ἀπάτας καὶ ἐπιορκίας, πεττούς γε μὴν τοῖς ἀργοῖς τῶν ἀνδρῶν ἔριδας καὶ λοιδορίας. καὶ κύβους οὗ μέγιστον κακὸν [7]κατεδίδαξε, τοῖς μὲν ἡττηθεῖσι λύπας καὶ ζημίας, τοῖς δὲ [8]νενικηκόσι καταγέλωτα καὶ ὄνειδος· τὰ γὰρ ἀπὸ κύβων προσγινόμενα ἀνόνητα γίνεται, τὰ δὲ πλεῖστα καταναλίσκεται παραχρῆμα. πυρσοὺς οὗ ἐσοφίσατο, ἀλλ' ἐφ' ἡμετέρῳ κακῷ, ἃ διενοεῖτο ποιεῖν, χρήσιμα δὲ τοῖς πολεμίοις. ἀρετὴ δέ ἐστιν ἀνδρὸς τοῖς ἡγεμόσι προσέχειν καὶ τὸ προσταττόμενον ποιεῖν καὶ τῷ πλήθει ἀρέσκειν παντὶ, αὐτόν τε παρέχειν ἄνδρα πανταχοῦ ἀγαθὸν, τούς τε φίλους εὖ ποιοῦντα καὶ τοὺς ἐχθροὺς κακῶς. ὧν τἀναντία πάντων οὗτος ἐπίσταται, τοὺς μὲν ἐχθροὺς ὠφελεῖν, τοὺς δὲ φίλους κακῶς ποιεῖν.

[1] μέν γε [2] Ἡρακλῆν ἐδίδαξεν [3] καὶ om. [4] ἔβαλλον [5] σοφίζεται τὸν αὐτὸν ῥυθμόν [6] ταῦτα om. [7] ἔδειξε

Φονεύει] Imo vero ἐφόνευεν. Idem.

Ὡς δεκάτην] Locum hunc non intelligo. Idem.

Νομίσματα] Cur non νόμισμα, ut paulo ante? Idem.

Ἐξ ὁλοσφύρου —] Locum hunc, hominis mathematici face dignum, non intelligo, ut alios non paucos harum declamationum. Idem.

Διείλοντο etc.] Num sic leg. διείλοντο πρῶτοι, χαρακτῆρα βάλλοντες τὸν σταθμὸν εἰς τὸ πλέον καὶ τὸ ἔλαττον. primi distinxerunt, constituentes pondus, ut esset nota majoris et minoris, vel pluris et paucioris. Ego vero saltu fossam hanc trajiciam, relinquens aliis peritioribus locos mihi inexplicabiles. Idem.

ς'. Ἀξιῶ δ' ὑμᾶς ἔγωγε κοινῇ σκεψαμένους βουλεύσασθαι περὶ αὐτοῦ, καὶ μὴ ἀφεῖναι αὐτὸν, ὑποχείριον λαβόντας. εἰ δὲ κατελεήσαντες αὐτὸν διὰ τὴν δεινότητα τῶν λόγων ἀφήσετε, θαυμαστὴ παρανομία γενήσεται ἐν τῷ στρατεύματι· εἰδὼς γὰρ αὐτῶν ἕκαστος ὅτι καὶ Παλαμήδης περιφανῶς τοσαῦτα ἡμαρτηκὼς οὐδεμίαν δίκην ἔδωκε, καὶ αὐτοὶ πειράσονται ἀδικεῖν. ὥςτε ἐὰν νοῦν ἔχητε, ψηφιεῖσθε τὰ βέλτιστα ὑμῖν αὐτοῖς, καὶ τῶν λοιπῶν οὕνεκεν παράδειγμα ποιήσεσθε τοῦτον τιμωρησάμενοι.

B.

ΑΛΚΙΔΑΜΑΝΤΟΣ

ΠΕΡΙ ΤΩΝ ΤΟΥΣ ΓΡΑΠΤΟΥΣ ΛΟΓΟΥΣ ΓΡΑΦΟΝΤΩΝ Η ΠΕΡΙ ΣΟΦΙΣΤΩΝ.

Pag. ed. Reisk.

77 α'. ΕΠΕΙΔΗ τινες τῶν καλουμένων σοφιστῶν ἱστορίας μὲν καὶ παιδείας ἠμελήκασι καὶ τοῦ δύνασθαι λέγειν ὁμοίως τοῖς ἰδιώταις ἀπείρως ἔχουσι, γράφειν δὲ μεμελετηκότες λόγους καὶ διὰ βιβλίων δεικνύντες τὴν αὐτῶν σοφίαν σεμνύνον-
78 ται καὶ μέγα φρονοῦσι καὶ πολλοστὸν μέρος τῆς ῥητορικῆς κεκτημένοι δυνάμεως ὅλης τῆς τέχνης ἀμφισβητοῦσι, διὰ ταύτην τὴν αἰτίαν ἐπιχειρήσω κατηγορίαν ποιήσασθαι τῶν γραπτῶν λόγων, οὐχ ὡς ἀλλοτρίαν ἐμαυτοῦ τὴν δύναμιν αὐτῶν ἡγούμενος, ἀλλ' ὡς ἐφ' ἑτέροις μεῖζον φρονῶν καὶ τὸ

ΑΛΚΙΔΑΜΑΝΤΟΣ] Opusculum hoc, secundum Aldum, primus publici juris facio, ab H. Stephano, et in Corpore Græcorum oratorum, et in Isocrate, præteritum. Aldus enim id, non in oratorum quidem Corpore, at cum Isocrate tamen ediderat. Reisk.

ΓΡΑΠΤΟΥΣ ΛΟΓΟΥΣ] Appellat eas orationes, quæ literarum monumentis prius consignatæ, tum verbotenus memoriæ impressæ, sic demum recitantur, oppositæ illis, quæ, ut aiunt, ex plenitudine cordis, ex tempore, nulla præparatione habentur ab oratore, dicente ea, quæ in buccam veniant. Idem.

Διὰ βιβλίων] Sic dedi de meo, pro vulgari βεβαίων. vulgarem, vel vulgatam appello lectionem in Aldina prostantem. Idem.

γράφειν ἐν παρέργῳ τοῦ μελεταν οἰόμενος χρῆναι, καὶ τοὺς ἐπ' αὐτὸ τοῦτο τὸν βίον καταναλίσκοντας ἀπολελεῖφθαι πολὺ καὶ ῥητορικῆς καὶ φιλοσοφίας ὑπειληφώς, καὶ πολὺ δικαιότερον ἂν ποιητὰς ἢ σοφιστὰς προσαγορευεσθαι νομίζων.

β'. Πρῶτον μὲν οὖν ἐντεῦθεν ἄν τις καταφρονήσειε τοῦ γράφειν, ἐξ ὧν ἐστὶν εὐεπίθετον καὶ ῥᾴδιον καὶ τῇ τυχούσῃ φύσει πρόχειρον. εἰπεῖν μὲν γὰρ ἐκ τοῦ παραχρῆμα περὶ τοῦ παρατυχόντος ἐπιεικῶς, καὶ ταχεῖα χρήσασθαι τοῖς ἐνθυμήμασι καὶ τῶν ὀνομάτων εὐπορίᾳ, καὶ τοῦ κακῶς τῶν πραγμάτων καὶ ταῖς ἐπιθυμίαις τῶν ἀνθρώπων εὐστόχως ἀκολουθῆσαι, καὶ τὸν προσήκοντα λόγον εἰπεῖν, οὔτε φύσεως ἀπάσης οὔτε παιδείας τῆς τυχούσης ἐστίν· εἰ πολλῷ δὲ χρόνῳ γράψαι ἂν καὶ κατὰ σχολὴν ἐπανορθῶσαι, καὶ παραθέμενον τὰ τῶν προγεγονότων σοφιστῶν συγγράμματα πολλαχόθεν εἰς τὰ αὐτῶν ἐνθυμήματα συναγεῖραι, καὶ μιμήσασθαι τὰς τῶν εὖ λεγομένων ἐπιτυχίας, καὶ τὰ μὲν 79
ἐκ τῆς τῶν ἰδιωτῶν συμβουλίας ἐπανορθώσασθαι, τὰ δὲ αὐτὸν ἐν ἑαυτῷ πολλάκις ἐπισκεψάμενον ἀνακαθᾶραι καὶ μεταγράψαι, καὶ τοῖς ἀπαιδεύτοις ῥᾴδιον πέφυκεν. ἔστι δ' ἅπαντα τὰ μὲν ἀγαθὰ καὶ καλὰ σπάνια καὶ χαλεπὰ καὶ διὰ πόνων εἰωθότα γίγνεσθαι, τὰ δὲ ταπεινὰ καὶ φαῦλα ῥᾴδιαν ἔχει κτῆσιν, ὥστ', ἐπειδὴ τὸ γράφειν τοῦ λέγειν ἑτοιμότερον ἡμῖν ἐστίν, εἰκότως ἂν αὐτοῦ καὶ τὴν κτῆσιν ἐλάττονος ἀξίαν νομίζοιμεν.

γ'. Ἔπειτα τοῖς μὲν λέγειν δεινοῖς οὐδεὶς ἂν φρονῶν ἀπιστήσειεν ὡς οὐ μικρὸν τὴν τῆς ψυχῆς ἕξιν μεταρρυθμίσαντες ἐπιεικῶς λογογραφήσουσι. τοῖς δὲ γράφειν ἠσκημένοις οὐδεὶς ἂν πιστεύσειεν ὡς ἐπὶ τῆς αὐτῆς δυνάμεως καὶ λέγειν οἷοί τε ἔσονται. τοὺς μὲν γὰρ τὰ χαλεπὰ τῶν ἔργων ἐπιτελοῦντας εἰκὸς, ὅταν ἐπὶ τὰ ῥᾴω τὴν γνώμην μεταστήσωσιν, εὐπόρως μεταχειρίσασθαι τὴν τῶν πραγμάτων ἀπεργασίαν· τοῖς δὲ τὰ ῥᾴδια γεγυμνασμένοις ἀντίτυπος καὶ προσάντης ἡ τῶν χαλεπωτέρων ἐπιμέλεια

Χρῆναι] Post χρῆναι videtur deesse παιδεῦσθαι. IDEM.

Παραθέμενον] An περιθέμενον, perinde est. Sententia est: vallatum quasi multitudine codicum coram se positorum, et in alios ex aliis inspicientem. IDEM.

Πολλαχόθεν εἰς τὰ αὐτῶν] Aut delendum est εἰς, aut leg. πολλαχόθεν εἰς τοιτὰ τὰ αὐτῶν —. IDEM.

Ὡς ἐπὶ] Malim ἐς ἀπὸ. IDEM.

καθίσταται. γνοίη δ' ἄν τις ἐκ τῶνδε τῶν παραδειγμάτων. ὁ μὲν γὰρ ἆραι μέγα φορτίον δυνάμενος ἐπὶ τὰ κουφότερα μετελθὼν ῥᾳδίως μεταχειρίσαιτ' ἄν· ὁ δὲ πρὸς τὰ κοῦφα τῇ δυνάμει διϊκνούμενος οὐδὲν ἂν τῶν βαρυτέρων
30 οἷός τε ἦ φέρειν. καὶ πάλιν ὁ μὲν ποδώκης δρομεὺς ῥᾳδίως παρέπεσθαι τοῖς βραδυτέροις δύναιτ' ἄν· ὁ δὲ βραδὺς οὐκ ἂν οἷός τε ἦ τοῖς θάσσοσιν ὁμοδρομεῖν. ἔτι δὲ πρὸς τούτοις ὁ μὲν τὰ πόρρω δυνάμενος ἐπισκόπως ἀκοντίζειν ἢ τοξεύειν καὶ τῶν ἐγγὺς τεύξεται ῥᾳδίως, ὁ δὲ τὰ πλησίον βάλλειν ἐπιστάμενος οὔπω δῆλον εἰ καὶ τῶν πόρρω δυνήσεται τυγχάνειν. τὸν αὐτὸν δὴ τρόπον καὶ περὶ τοὺς λόγους ὁ μὲν ἐκ τοῦ παραυτίκα καλῶς αὐτοῖς χρώμενος οὐκ ἄδηλον ὅτι μετὰ χρόνου καὶ σχολῆς ἐν τῷ γράφειν διαφέρων ἔσται λογοποιός· ὁ δ' ἐπὶ τοῦ γράφειν τὰς διατριβὰς ποιούμενος οὐκ ἀφανὲς ὅτι μεταβὰς ἐπὶ τοὺς αὐτοσχεδιαστικοὺς λόγους ἀπορίας καὶ πλάνου καὶ ταραχῆς ἕξει πλήρη τὴν γνώμην.

δ'. Ἡγοῦμαι δὲ καὶ τῷ βίῳ τῶν ἀνθρώπων τὸ μὲν λέγειν ἀεί τε καὶ διὰ παντὸς χρήσιμον εἶναι, τοῦ δὲ γράφειν ὀλιγάκις εὔκαιρον αὐτῷ [1] τὴν δύναμιν καθίστασθαι. τίς γὰρ οὐκ οἶδεν ὅτι λέγειν μὲν ἐκ τοῦ παραυτίκα καὶ δημηγοροῦσι καὶ δικαζομένοις καὶ τὰς ἰδίας ὁμιλίας ποιοῦσιν ἀναγκαῖόν ἐστι, καὶ πολλάκις ἀπροσδοκήτως καιροὶ πραγμάτων παραπίπτουσιν, ἐν οἷς οἱ μὲν σιωπῶντες εὐκαταφρόνητοι δόξουσιν εἶναι, τοὺς δὲ λέγοντας ὡς ἰσόθεον τὴν γνώμην ἔχοντας ὑπὸ τῶν ἄλλων τιμωμένους ὁρῶμεν. ὅταν γὰρ νουθετῆσαι [2] δέῃ τοὺς ἁμαρτάνοντας ἢ παραμυθήσασθαι τοὺς δυστυχοῦντας ἢ πρᾶϋναι τοὺς [3] ὀργιζομέ-
31 νους ἢ τὰς ἐξαίφνης ἐπενεχθείσας αἰτίας ἀπολύσασθαι, τηνικαῦθ' ἡ τοῦ λέγειν δύναμις τῇ χρείᾳ τῶν ἀνθρώπων ἐπικουρεῖν οἵα τέ ἐστιν, ἡ δὲ γραφὴ σχολῆς δεῖται καὶ μακροτέρους ποιεῖται τοὺς χρόνους τῶν καιρῶν· οἱ μὲν γὰρ

[1] τὴν δύναμιν αὐτοῦ [2] δεῖ [3] ἀπολυμέλους

Αὐτοῦ] Imo vero αὐτῷ, scil. τῷ βίῳ. IDEM.

Ἀπολυμέλους] Quicquid ejus est, sententia postulat θυμουμένους, verum quærant feliciores atque sagaciores. Num τοὺς εὐκόλως θυμουμένους, aut τοὺς ἀπὸ μηδενὸς θυμουμένους. IDEM.

Οἱ μὲν γὰρ] Scil. καιροί. Ad ἡ δὲ subaudi γραφή. IDEM.

ταχεῖαν τὴν ἐπικουρίαν ἐπὶ τῶν ἀγώνων ἀπαιτοῦσιν, ἡ δὲ κατὰ σχολὴν καὶ βραδέως ἐπιτελεῖ τοὺς λόγους, ὥστε τίς ἂν φρονῶν ταύτην τὴν δύναμιν ζηλώσειεν, ἢ τῶν καιρῶν τοσοῦτον ὑπολείπεται; πῶς [1] δ' οὐ καταγέλαστον εἰ τοῦ κήρυκος παρακαλοῦντος τίς ἀγορεύειν βούλεται τῶν πολιτῶν, ἢ τοῦ ὕδατος ἐν τοῖς δικαστηρίοις ἤδη ῥέοντος, ἐπὶ τὸ γραμματεῖον ὁ ῥήτωρ πορεύοιτο συνθήσων καὶ μελετησόμενος λόγον; ὡς ἀληθῶς γάρ, εἰ μὲν ἡμεν τύραννοι τῶν πόλεων, ἐφ' ἡμῖν ἂν ἦν καὶ δικαστήρια συλλέγειν καὶ περὶ τῶν κοινῶν βουλεύεσθαι πραγμάτων, ὥστε, ὁπότε γράψαιμεν τοὺς λόγους, τηνικαῦτα τοὺς ἄλλους πολίτας ἐπὶ τὴν ἀκρόασιν παρακαλεῖν· ἐπεὶ δ' ἕτεροι τούτων κύριοί εἰσιν, ἆρ' οὐκ εὐήθες ἡμᾶς ἄλλην τινὰ μελέτην [2] ποιεῖσθαι λόγων ἐναντίως ἔχουσαν ἀκριβῶς; εἰ γὰρ οἱ τοῖς ὀνόμασιν ἐξειργασμένοι καὶ μᾶλλον ποιήμασιν ἢ λόγοις ἐοικότες, καὶ τὸ μὲν αὐτόματον καὶ πλέον ἀληθείαις ὅμοιον ἀποβεβληκότες, μετὰ παρασκευῆς δὲ πεπλάσθαι καὶ συγκεῖσθαι δοκοῦντες ἀπιστίας καὶ φθόνου τὰς τῶν ἀκουόντων γνώμας [3] ἐμπιπλῶσι, — τεκμήριον δὲ μεγίστον· οἱ γὰρ εἰς τὰ δικαστήρια τοὺς λόγους γράφοντες φεύγουσι τὰς ἀκριβείας καὶ μιμοῦνται τὰς τῶν αὐτοσχεδιαζόντων ἑρμηνείας, καὶ ὁτοτε μάλιστα γράφειν δοκοῦσιν ὅταν ἥκιστα γεγραμμένοις ὁμοίους πορίσωνται λόγους. ὁπότε δὲ καὶ τοῖς λογογράφοις τοῦτο πέρας τῆς ἐπιεικείας ἐστίν, ὅταν τοὺς αὐτοσχεδιάζοντας μιμήσωνται, πῶς οὐ χρὴ καὶ τῆς παιδείας ἐκείνην μάλιστα τιμᾶν, ἀφ' [4] ἧς πρὸς τοῦτο τὸ γένος τῶν λόγων εὐπόρως ἕξομεν;

ε'. Οἶμαι δὲ καὶ διὰ τοῦτ' ἄξιον εἶναι τοὺς γραπτοὺς λόγους ἀποδοκιμάζειν, ὅτι τὸν βίον τῶν μεταχειριζομένων ἀνώμαλον καθιστᾶσι. περὶ πάντων μὲν γὰρ τῶν πραγμα-

[1] δ' om. [2] ποιεῖσθαι μελέτην [3] ἐμπιμπλᾶσι [4] οὗ

Πῶς οὐ] Malim ἢ πῶς οὐ, aut, πῶς δ' οὐ. IDEM.

Εἰ] Εἴη Paris. non male, si utrumque sic copuletur εἴη, εἰ. IDEM.

Μαθησόμενος] Id est, ἐκμαθ. memoriæ mandaturus, ἐν μνήμῃ ἀναληψόμενος. Sic haud multo post quoque p. 84. ult. μάθησις est orationum scriptarum comprehensio, quæ fit a memoria. IDEM.

Καὶ πλέον ἀληθείαις] Num καὶ, ἢ hor. ἀληθείαις. et, qua par est, veritati rerum consentaneam formam. IDEM.

Μάλιστα] Post μάλιστα videtur aliquod adverbium [illegible] vel potius δικαιοῦ; deesse. IDEM. κάλλιστα de suo Bekkerus.

Ἐκείνην] Aut ἐκεῖνο leg. est, aut ἀφ' ἧς. REISK.

των γεγραμμένους ἐπίστασθαι λόγους ἕν τι τῶν ἀδυνάτων πέφυκεν· ἀνάγκη δέ ἐστιν, ὅταν τις τὰ μὲν αὐτοσχεδιάζῃ τὰ δὲ τυποῖ, τὸν λόγον ἀνόμοιον ὄντα ψόγον τῷ λέγοντι παρασκευάζειν, καὶ τὰ μὲν ὑποκρίσει καὶ ῥαψῳδίᾳ παραπλήσια δοκεῖν εἶναι, τὰ δὲ ταπεινὰ καὶ φαῦλα φαίνεσθαι παρὰ τὴν ἐκείνων ἀκρίβειαν.

ς΄. Δεινὸν δ' ἔστι τὸν ἀντιποιούμενον φιλοσοφίας τῆς τοῦ λέγειν καὶ παιδεύσειν ἑτέρους ὑπισχνούμενον, ἂν μὲν ἔχῃ γραμματεῖον ἢ βιβλίον, δεικνύναι δύνασθαι τὴν αὑτοῦ σοφίαν, ἂν δὲ τούτων ἄμοιρος γένηται, μηδὲν τῶν ἀπαιδεύτων βελτίω καθεστάναι, καὶ χρόνου μὲν δοθέντος, δύνασθαι λόγον ἐξενεγκεῖν, εὐθέως δὲ περὶ τοῦ προτεθέντος ἀφωνότερον εἶναι τῶν ἰδιωτῶν, καὶ λόγων μὲν τέχνας ἐπαγγέλλεσθαι, τοῦ δὲ λέγειν μηδὲ μικρὰν δύναμιν ἔχοντα ἐν ἑαυτῷ φαίνεσθαι. καὶ γὰρ ἡ μελέτη τοῦ γράφειν ἀπορίαν τοῦ λέγειν πλείστην παραδίδωσιν. ὅταν γάρ τις ἐθισθῇ κατὰ μικρὸν ἐξεργάζεσθαι τοὺς λόγους καὶ μετὰ ἀκριβείας καὶ
84 ῥυθμοῦ τὰ ῥήματα συντιθέναι καὶ βραδείᾳ τῇ τῆς διανοίας κινήσει χρώμενος ἐπιτελεῖν τὴν ἑρμηνείαν, ἀναγκαῖόν ἐστι τοῦτον, ὅταν εἰς τοὺς αὐτοσχεδιαστοὺς ἔλθῃ λόγους, ἐναντία πράσσοντα ταῖς συνηθείαις ἀπορίας καὶ θορύβου πλήρη τὴν γνώμην ἔχειν, καὶ πρὸς ἅπαντα μὲν δυσχεραίνειν, μηδὲν δὲ διαφέρειν τῶν ἰσχνοφώνων, οὐδέποτε δ' εὐλύτῳ τῇ τῆς ψυχῆς ἀγχινοίᾳ χρώμενον ὑγρῶς καὶ φιλανθρώπως μεταχειρίζεσθαι τοὺς λόγους, ἀλλ' ὥςπερ οἱ διὰ μακρῶν χρόνων ἐκ δεσμῶν λυθέντες οὐ δύνανται τοῖς ἄλλοις ὁμοίαν ποιήσασθαι τὴν ὁδοιπορίαν, ἀλλ' εἰς ἐκεῖνα τὰ σχήματα καὶ τοὺς ῥυθμοὺς ἀποφέρονται μεθ' ὧν καὶ δεδεμένοις αὐτοῖς ἀναγκαῖον ἦν πορεύεσθαι, τὸν αὐτὸν τρόπον ἡ γραφὴ βραδείας τὰς διαβάσεις τῇ γνώμῃ παρασκευάζουσα καὶ τοῦ λέγειν ἐν τοῖς ἐναντίοις [1] ἔθεσι ποιουμένη τὴν ἄσκησιν ἄπορον καὶ δεσμῶτιν τὴν ψυχὴν καθίστησι καὶ τῆς ἐν τοῖς αὐτοσχεδιαστοῖς εὐροίας ἁπάσης ἐπίπροσθεν γίνεται.

[1] εὔθεσι

Εὐθέως] Post εὐθέως videtur deesse λέγειν [vel αὐτοσχεδιάζειν] δέον. Idem.

Φιλανθρώπως] Est *prompte, expedite, hilariter.* v. Indicem nostrum Demosthenicum. Idem.

Εὔθεσι] Num εἴθεσι. Idem.

ζ. Νομίζω δὲ καὶ τὴν μάθησιν τῶν γραπτῶν λόγων χαλε- 85
πὴν καὶ τὴν μνήμην ἐπίπονον καὶ τὴν λήθην αἰσχρὰν ἐν τοῖς
ἀγῶσι γίνεσθαι. πάντες γὰρ ἂν ὁμολογήσειαν τὰ μικρὰ
τῶν μεγάλων καὶ τὰ πολλὰ τῶν ὀλίγων χαλεπώτερον εἶναι
μαθεῖν καὶ μνημονεῦσαι. περὶ μὲν οὖν τοὺς αὐτοσχεδιά-
σμους ἐπὶ τῶν ἐνθυμημάτων δεῖ μόνον τὴν γνώμην ἔχειν, τοῖς
δὲ ὀνόμασιν ἐκ τοῦ παραυτίκα δηλοῦν· ἐν δὲ τοῖς γραπτοῖς
λόγοις καὶ τῶν ὀνομάτων καὶ τῶν ἐνθυμημάτων καὶ συλ-
λαβῶν ἀναγκαῖόν ἐστι ποιεῖσθαι τὴν μνήμην καὶ τὴν μά-
θησιν ἀκριβῆ. ἐνθυμήματα μὲν οὖν ὀλίγα καὶ μεγάλα
τοῖς λόγοις ἔνεστιν, ὀνόματα δὲ καὶ ῥήματα πολλὰ καὶ τα-
πεινὰ καὶ μικρὸν ἀλλήλων διαφέροντα. καὶ τῶν μὲν ἐνθυμη-
μάτων ἅπαξ ἕκαστον δηλοῦται, τοῖς δ' ὀνόμασι πολλάκις
τοῖς αὐτοῖς ἀναγκαζόμεθα χρῆσθαι· διὸ τῶν μὲν εὔπορος
ἡ μνήμη, τοῖς δὲ δυσανάληπτος καὶ δυσφύλακτος ἡ μάθησις
καθέστηκεν. ἔτι τοίνυν αἱ λῆθαι περὶ μὲν τοὺς αὐτοσχε-
διασμοὺς ἄδηλον τὴν αἰσχύνην ἔχουσιν. εὐλύτου γὰρ τῆς
ἑρμηνείας οὔσης καὶ τῶν ὀνομάτων οὐκ ἀκριβῶς συνεξεσμένων,
ἂν ἄρα καὶ διαφύγῃ τι τῶν ἐνθυμημάτων, οὐ χαλεπὸν
ὑπερβῆναι τῷ ῥήτορι καὶ τῶν ἐφεξῆς ἐνθυμημάτων ἁψάμε-
νον μηδεμιᾷ τὸν λόγον αἰσχύνῃ περιβαλεῖν· ἀλλὰ καὶ τῶν
διαφυγόντων, ἂν ὕστερον ἀναμνησθῇ, ῥᾴδιον ποιήσασθαι τὴν
δήλωσιν. τοῖς δὲ γεγραμμένα λέγουσιν ἂν κατὰ μικρὸν ὑπὸ
τῆς ἀγωνίας ἐκλίπωσί τι καὶ παραλλάξωσιν, ἀπορίαν 86
ἀνάγκη καὶ πλάνον καὶ ζήτησιν ἐγγενέσθαι, καὶ μακροὺς
μὲν χρόνους ἐπισχεῖν, πολλάκις δὲ τῇ σιωπῇ διαλαμβάνειν
τὸν λόγον, ἀσχήμονα δὲ καὶ καταγέλαστον καὶ δυσεπικούρη-
τον καθεστάναι τὴν ἀπορίαν.

η. Ἡγοῦμαι δὲ καὶ ταῖς ἐπιθυμίαις τῶν ἀκροατῶν
ἄμεινον χρῆσθαι τοὺς αὐτοσχεδιάζοντας τῶν τὰ γεγραμ-
μένα λεγόντων. οἱ μὲν γὰρ πολὺ πρὸ τῶν ἀγώνων τὰ συγ-
γράμματα διαπονήσαντες ἐνίοτε τῶν καιρῶν ἁμαρτάνουσιν·

Τὴν μάθησιν] Μάθησιν a μνήμη diversam facit sophista. illa est impressio rerum memoriæ mandandarum in eam partem mentis, quæ percepta visa retinere, et sub usus tempus reddere valet. μνήμη autem est ipsa tenax rerum memoriæ mandatarum retentio, et suggestio, cum linguæ dicenda suggerit. IDEM.

Τοῖς δὲ ὀνόμασιν - - δηλοῦν] Idem est, ac si dixisset: ὀνόμασι δὲ αὐτὰ δηλοῦν τοῖς ἐκ τοῦ παραχρῆμα ἀναντᾶσι. IDEM.

Συλλαβῶν] Malim aut καὶ τῶν συλλαβῶν, aut καὶ αὐτῶν τῶν συλλαβῶν. IDEM.

Πολὺ] Prætuli e Parisino vulgata πολλοί. multum, id est dudum, ante certamina. IDEM.

ἢ γὰρ μακρότερα τῆς ἐπιθυμίας λέγοντες ἀπεχθάνονται τοῖς ἀκούουσιν, ἢ βουλομένων ἔτι τῶν ἀνθρώπων ἀκροᾶσθαι προαπολείπουσι τοὺς λόγους. χαλεπὸν γάρ, ἴσως δ' ἀδύνατόν ἐστιν ἀνθρωπίνην πρόνοιαν ἐφικέσθαι τοῦ μέλλοντος, ὥςτε προϊδεῖν ἀκριβῶς τίνα τρόπον αἱ γνῶμαι τῶν ἀκουόντων πρὸς τὰ μήκη τῶν λεγομένων ἕξουσιν. ἐν δὲ τοῖς αὐτοσχεδιασμοῖς ἐπὶ τῷ λέγοντι γίνεται ταμιεύεσθαι τοὺς λόγους πρὸς τὰς δυνάμεις τῶν [1]γνωμῶν ἀποβλέποντι καὶ τὰ μήκη συντέμνειν καὶ τὰ συντόμως ἐσκεμμένα διὰ μακροτέρων δηλοῦν.

θ'. Χωρὶς τοίνυν τούτων οὐδὲ τοῖς παρ' αὐτῶν τῶν ἀγώνων ἐνθυμήμασι διδομένοις ὁμοίως ὁρῶμεν ἑκατέρους χρῆσθαι δυναμένους. τοῖς μὲν γὰρ ἄγραφα λέγουσιν, ἄν τι παρὰ τῶν ἀντιδίκων ἐνθύμημα λάβωσιν ἢ διὰ τὴν συντονίαν τῆς διανοίας αὐτῶν παρὰ σφῶν αὐτῶν διανοηθῶσιν, εὔπορόν ἐστιν ἐν τάξει θεῖναι· τοῖς γὰρ ὀνόμασιν ἐκ τοῦ παραυτίκα
87 περὶ ἁπάντων δηλοῦντες, οὐδ' ὅταν πλείω τῶν ἐσκεμμένων λέγωσιν, [2]οὐδαμῇ τὸν λόγον ἀνώμαλον καὶ παραχώδη καθιστᾶσι· τοῖς δὲ μετὰ τῶν γραπτῶν λόγων ἀγωνιζομένοις ἂν ἄρα τι χωρὶς τῆς παρασκευῆς ἐνθύμημα δοθῇ, χαλεπὸν ἐναρμόσαι καὶ [3]χρῆσθαι κατὰ τρόπον. αἱ γὰρ ἀκρίβειαι τῆς τῶν ὀνομάτων ἐξεργασίας οὐ παραδέχονται τοὺς αὐτοματισμούς, ἀλλ' ἀναγκαῖον ἢ μηδὲν χρῆσθαι τοῖς ἀπὸ τῆς τύχης ἐνθυμήμασι δοθεῖσιν ἢ χρώμενον διαλύειν καὶ συνερείπειν τὴν τῶν ὀνομάτων οἰκονομίαν, καὶ τὰ μὲν ἀκριβῶς τὰ δὲ εἰκῇ λέγοντα παραχώδη καὶ ἄφωνον καθιστάναι τὴν ἑρμηνείαν. καίτοι τίς ἂν εὖ φρονῶν ἀποδέξαιτο τὴν τοιαύτην μελέτην, ἥ τις καὶ τῶν αὐτομάτων ἀγαθῶν ἐπίπροσθεν τῇ χρήσει καθέστηκε καὶ χείρω τῆς τύχης ἐνίοτε τοῖς ἀγωνιζομένοις τὴν ἐπικουρίαν παραδίδωσι, καὶ τῶν ἄλλων τεχνῶν ἐπὶ τὸ βέλτιον ἄγειν τὸν τῶν ἀνθρώπων βίον εἰθισμένων αὕτη καὶ τοῖς αὐτομάτοις εὐπορήμασιν ἐμποδών ἐστιν.

[1] λόγων [2] οὐδαμοῦ [3] κεχρῆσθαι

Τῶν λόγων] Sententia postulat τῶν πραγμάτων, aut τῶν καιρῶν, aut τῶν ἀκροατῶν. Idem.

Μετὰ] Paris. κατὰ. quod si probatur, leg. erit κατὰ τὸν γραπτὸν λόγον. In vulgari lectione formula orationis literis consignata assimilatur *socio in bello*, quo freti certamen inimus. Idem.

Ἄφωνον] Aut διάφωνον leg. *dissonam*, aut ἀσύμφωνον. Idem.

ι'. Ἡγοῦμαι δ' οὐδὲ λόγους δίκαιον εἶναι καλεῖσθαι τοὺς γεγραμμένους, ἀλλ' ὥςπερ εἴδωλα καὶ σχήματα καὶ μιμήματα λόγων, καὶ τὴν αὐτὴν κατ' αὐτῶν εἰκότως ἂν δόξαν [1] ἔχοιμι, ἥνπερ [2] κατὰ τῶν χαλκῶν ἀνδριάντων καὶ λιθίνων ἀγαλμάτων καὶ γεγραμμένων ζώων. ὥςπερ γὰρ ταῦτα μιμήματα τῶν ἀληθινῶν σωμάτων ἐστὶ, καὶ τέρψιν μὲν παρὰ τῆς θεωρίας ἔχει, χρῆσιν δ' οὐδεμίαν τῷ τῶν ἀνθρώπων βίῳ παραδίδωσι, τὸν αὐτὸν τρόπον ὁ γεγραμμένος λόγος, ἐνὶ σχήματι καὶ τάξει [3] κεχρημένος, ἐκ βιβλίου θεωρούμενος ἔχει τινὰς ἐκπλήξεις, ἐπὶ δὲ τῶν καιρῶν ἀκίνητος ἂν οὐδεμίαν ὠφέλειαν τοῖς κεκτημένοις παραδίδωσιν· ἀλλ' ὥςπερ ἀνδριάντων καλῶν ἀληθινὰ σώματα [4] πολυχείρους τὰς εὐπορίας ἔχοντα [5] πολλαπλασίους ἐπὶ τῶν ἔργων τὰς ὠφελείας παραδίδωσιν, οὕτω καὶ λόγος ὁ μὲν ἐπὶ αὐτῆς τῆς διανοίας ἐν τῷ παραυτίκα λεγόμενος ἐμψυχός ἐστι καὶ ζῇ καὶ τοῖς πράγμασιν ἕπεται καὶ τοῖς ἀληθέσιν ἀφωμοίωται σώμασιν, ὁ δὲ γεγραμμένος εἰκόνι λόγου τὴν φύσιν ὁμοίαν ἔχων ἁπάσης [6] εὐεργεσίας ἄμοιρος καθέστηκεν.

ια'. Ἴσως ἂν οὖν εἴποι τις ὡς ἄλογόν ἐστι κατηγορεῖν μὲν τῆς γραφικῆς δυνάμεως, ἑαυτὸν δὲ διὰ ταύτης φαίνεσθαι τὰς ἀποδείξεις ποιούμενον, καὶ [7] προδιαβάλλειν τὴν πραγματείαν ταύτην δι' ἧς εὐδοκιμεῖν παρασκευάζεται παρὰ τοῖς Ἕλλησιν, ἔτι δὲ περὶ φιλοσοφίαν διατριβόντα τοὺς αὐτοσχεδιαστικοὺς λόγους ἐπαινεῖν καὶ προυργιαιτέρους ἡγεῖσθαι τὴν τύχην τῆς προνοίας καὶ φρονιμωτέρους τοὺς εἰκῇ λέγοντας τῶν μετὰ παρασκευῆς γραφόντων. ἐγὼ δὲ πρῶτον μὲν οὐ παντελῶς ἀποδοκιμάζων τὴν γραφικὴν δύναμιν ἀλλὰ χείρω τῆς αὐτοσχεδιαστικῆς ἡγούμενος εἶναι, καὶ τοῦ δυνασθαι λέγειν πλείστην ἐπιμέλειαν οἰόμενος χρῆναι ποιεῖσθαι, τούτους εἴρηκα τοὺς λόγους· ἔπειτα προσχρῶμαι τῷ

1 ἔχοιμεν 2 καὶ κατὰ 3 γεγραμμένος
4 πολυχείρους 5 * πολλαπλασίας 6 * ἐνεργείας 7 προδιαβάλλειν

Καὶ τάξει] Videtur μιᾷ esse interponendum. IDEM.

Πολυχείρους τὰς εὐπορίας] Mirifice dictum pro εὐπορίας παρέχοντα ἀεὶ ὑπὸ πολλῶν χειρῶν παρεσκευασμένας. IDEM.

Ἐπὶ αὐτῆς] Malim ἀπ' αὐτῆς. IDEM.

Ἀποδείξεις] Ἐπιδείξεις de suo dedit Bekkerus.

Προδιαβάλλειν] Malim προδιαβ. (sine sibilo) *artem illam, illudve studium, per quod quis ad gloriam contendat, prius infamare, quam quaesita gloria potiatur.* IDEM.

Προσχρώμαι] Subaudiri posset si. malim tamen [illegible] in [illegible]. IDEM.

γράφειν οὐκ ἐπὶ τούτῳ μέγιστον φρονῶν, ἀλλ' ἵν' ἐπιδείξω τοῖς ἐπὶ ταύτῃ τῇ δυνάμει σεμνυνομένοις ὅτι μικρὰ πονήσαντες ἡμεῖς ἀποκρύψαι καὶ καταλῦσαι τοὺς λόγους αὐτῶν οἷοί τ' ἐσόμεθα. πρὸς δὲ τούτοις καὶ τῶν ἐπιδείξεων ἕνεκα τῶν εἰς τοὺς ὄχλους ἐνεφερομένων ἅπτομαι τοῦ γράφειν. τοῖς μὲν γὰρ πολλάκις ἡμῖν ἐντυγχάνουσιν ἐξ ἐκείνου
90 τοῦ τρόπου παρακελεύομαι πεῖραν ἡμῶν λαμβάνειν, ὅταν ὑπὲρ ἅπαντος τοῦ προτεθέντος εὐκαίρως καὶ μουσικῶς εἰπεῖν οἷοί τ' ὦμεν· τοῖς δὲ διὰ χρόνου μὲν ἐπὶ τὰς ἀκροάσεις ἀφιγμένοις μηδεπώποτε δὲ πρότερον ἡμῖν ἐντετυχηκόσιν ἐπιχειροῦμέν τι δεικνύναι τῶν γεγραμμένων· εἰθισμένοι γὰρ ἀκροᾶσθαι τῶν ἄλλων τοὺς λόγους, ἴσως ἂν ἡμῶν αὐτοσχεδιαζόντων ἀκούοντες ἐλάττονα τῆς ἀξίας δόξαν καθ' ἡμῶν λάβοιεν. χωρὶς δε τούτων καὶ σημεῖα τῆς ἐπιδόσεως, ἣν εἰκὸς ἐν τῇ διανοίᾳ γίνεσθαι, παρὰ τῶν γραπτῶν λόγων ἐναργέστατα κατιδεῖν ἐστίν. εἰ μὲν γὰρ βέλτιον αὐτοσχεδιάζομεν νῦν ἢ πρότερον, οὐ ῥᾴδιον ἐπικρίνειν ἐστί· χαλεπαὶ γὰρ αἱ μνῆμαι τῶν προειρημένων λόγων καθεστήκασιν· εἰς δὲ τὰ γεγραμμένα κατιδόντας ὥσπερ ἐν κατόπτρῳ θεωρῆσαι τὰς τῆς ψυχῆς ἐπιδόσεις ῥᾴδιόν ἐστιν. ἔτι δὲ καὶ μνημεῖα καταλιπεῖν ἡμῶν αὐτῶν σπουδάζοντες καὶ τῇ φιλοτιμίᾳ χαριζόμενοι λόγους γράφειν ἐπιχειροῦμεν.

ιβ'. Ἀλλὰ μὴν οὐδ' [1] ὡς εἰκῇ λέγειν παρακελευόμεθα, τὴν αὐτοσχεδιαστικὴν δύναμιν τῆς γραφικῆς προτιμῶντες, ἄξιόν ἐστι πιστεύειν. τοῖς μὲν γὰρ ἐνθυμήμασι καὶ τῇ τάξει μετὰ προνοίας ἡγούμεθα δεῖν χρῆσθαι τοὺς ῥήτορας, περὶ δὲ τὴν τῶν ὀνομάτων δήλωσιν αὐτοσχεδιάζειν· οὐ γὰρ τοσαύτην ὠφέλειαν αἱ τῶν γραπτῶν λόγων ἀκρίβειαι πα-
91 ραδιδόασιν, ὅσην εὐκαιρίαν αἱ τῶν ἐκ τοῦ παραχρῆμα λεγομένων δηλώσεις ἔχουσιν. ὅστις οὖν ἐπιθυμεῖ ῥήτωρ γενέσθαι δεινὸς ἀλλὰ μὴ ποιητὴς λόγων ἱκανός, καὶ βούλεται μᾶλ-

[1] ὡς οὐδ'

Καταλῦσαι] Non culpo, neque damno. mallem tamen κατακλῦσαι, obruere veluti torrente quodam et everrere. Idem.

Ἅπτομαι] attingo scriptionem, h. e. interdum periculum facio scribendi. Idem.

Ἐξ ἐκείνου τοῦ τρόπου] Cohæret cum πεῖραν λαμβάνειν. auctor iis fio, ut periculum nostri faciant per illum quem dico modum, extemporalis puta dictionis. Idem.

Ὅταν] Num πότερον. utrum. an ὅταν more ætatis suæ pro εἰ, nam, usurpavit? Idem.

Παρὰ] Præstaret ἐπὶ. Idem.

λον τοῖς καιροῖς [1]χρῆσθαι καλῶς ἢ τοῖς ὀνόμασι λέγειν ἀκριβῶς, καὶ τὴν εὔνοιαν τῶν ἀκροωμένων ἐπικτήσασθαι ἔχειν σπουδάζει μᾶλλον ἢ τὸν φθόνον ἀποφεύγειν, ἔτι δὲ καὶ τὴν γνώμην εὔπορον καὶ τὴν μνήμην ἐπίλυτον καὶ τὴν λήθην ἄδηλον καθεστάναι βούλεται, καὶ τῇ χρείᾳ τοῦ βίου σύμμετρον τὴν δύναμιν τῶν λόγων κεκτῆσθαι παρεσκευάσθαι ἐστίν, οὗτος εἰκότως ἂν τοῦ μὲν αὐτοσχεδιάζειν ἀεί τε καὶ διὰ παντὸς ἐνεργὸν τὴν μελέτην [2]ποιοῖτο, τοῦ δὲ γράφειν ἐν παιδιᾷ καὶ παρέργῳ [3]ἐπιμελόμενος εὖ φρονεῖν κρείττων παρὰ τοῖς εὖ φρονοῦσιν.

[1] χρᾶσθαι [2] ποιεῖτο [3] ἐπιμελούμενος

A.

[1]ΓΟΡΓΙΟΥ

ΕΛΕΝΗΣ ΕΓΚΩΜΙΟΝ.

Pag. ed. Reisk. — Pag. ed. H. Steph.

91 α΄. ΚΟΣΜΟΣ πόλει μὲν εὐανδρία, σώματι δὲ κάλλος, 127
ψυχῇ δὲ σοφία, πράγματι δὲ ἀρετή, λόγῳ δὲ ἀλήθεια· τὰ
δ' ἐναντία τούτων ἀκοσμία. ἄνδρα δὲ καὶ γυναῖκα καὶ λό-
92 γον καὶ ἔργον καὶ πόλιν καὶ πρᾶγμα χρὴ τὸ μὲν ἄξιον
[2]ἐπαίνου ἐπαίνῳ τιμᾶν, τῷ δὲ ἀναξίῳ μῶμον [3]ἐπιθεῖναι· ἴση
γὰρ ἁμαρτία καὶ ἀμαθία μέμφεσθαί τε τὰ ἐπαινετὰ καὶ
ἐπαινεῖν τὰ μωμητά. τοῦ δ' αὐτοῦ ἀνδρὸς λέξαι τε τὸ δέον
ὀρθῶς καὶ ἐλέγξαι τοὺς μεμφομένους Ἑλένην, γυναῖκα περὶ
ἧς ὁμόφωνος καὶ [4]ὁμόψηφος γέγονεν ἥ τε τῶν ποιητῶν
ἀκουσάντων πίστις ἥ τε τοῦ ὀνόματος φήμη τῶν συμφορῶν
[5]μνήμη γέγονεν. ἐγὼ δὲ βούλομαι λογισμόν τινα τῷ λόγῳ
δοὺς τὴν μὲν κακῶς [6]ἀκούουσαν παῦσαι τῆς αἰτίας, τοὺς δὲ
μεμφομένους ψευδομένους ἐπιδεῖξαι, καὶ δεῖξαι τἀληθὲς
[7]ἢ παῦσαι τῆς ἀμαθίας.

β΄. Ὅτι μὲν οὖν φύσει καὶ γένει τὰ πρῶτα τῶν πρώτων
ἀνδρῶν καὶ γυναικῶν ἡ γυνὴ περὶ ἧς [8]ὅδε ὁ λόγος, οὐκ
ἄδηλον οὐδ' ὀλίγοις. δῆλον γὰρ ὡς μητρὸς μὲν Λήδας, πα-
τρὸς δὲ τοῦ μὲν γενομένου θεοῦ, τοῦ δὲ λεγομένου θνητοῦ,

[1] ΓΟΡΓΙΟΥ ΛΕΟΝΤΙΝΟΥ [2] ἐπαίνων τιμᾷν [3] ἐπιτιθέναι
[4] ὁμόψηφος καὶ ὁμόφωνος ἥ τε [5] μνήμη [6] ἀκούσασαν [7] καὶ [8] ὅδε om.

ΕΓΚΩΜΙΟΝ] Hoc quoque opusculum ab H. Stephano præteritum, ex Isocrate Aldino huc retuli. Reisk. Et in Isocrate suo dedit H. Stephanus quoque.

Ἐπαίνων τιμᾷν] Aut sic est interpungendum ἄξιον ἐπαίνων, τιμᾷν. ut τιμᾷν solum per se stet, et ἐπαίνων cum ἄξιον cohæreat; aut sic ἄξιον, ἐπαίνῳ τιμᾷν, quæ posterior ratio mihi magis probatur. Idem.

Τῶν ποιητῶν ἀκουσάντων] Articulus non cum proximo vocabulo, sed cum tertio cohæret, ac si sic dixisset: τῶν ἀκουσάντων παρὰ τῶν ποιητῶν. *eorum fides, qui a poetis traditam accceperunt.* Idem.

Τῶν συμφορῶν] Malim τῇ τῶν σ. Idem.

Ἀνδρῶν καὶ] Malim τε interponi. Idem.

Οὐδ' ὀλίγοις. δῆλον γὰρ ὡς] Aut γὰρ est delendum, aut δῆλον iterandum ad hunc modum. οὐδ' ὀλίγοις δῆλον· δῆλον γὰρ ὡς —. Idem.

Τυνδάρεω καὶ Διὸς, ὧν ὁ μὲν διὰ τὸ εἶναι ἔδοξεν, ὁ δὲ διὰ τὸ [1] φάναι ἠλέγχθη, καὶ ἦν ὁ μὲν ἀνδρῶν κράτιστος, ὁ δὲ 93
πάντων τύραννος. ἐκ τοιούτων δὲ γενομένη ἔσχε τὸ ἰσόθεον κάλλος, ὃ λαβοῦσα καὶ οὐ λαθοῦσα ἔσχε. πλείστας δὲ πλείστοις ἐπιθυμίας ἔρωτος ἐνειργάσατο, ἑνὶ δὲ σώματι πολλὰ σώματα συνήγαγεν ἀνδρῶν ἐπὶ μεγάλοις μέγα φρονούντων, ὧν οἱ μὲν πλούτου μεγέθη, οἱ δὲ εὐγενείας παλαιᾶς εὐδοξίαν, οἱ δὲ ἀλκῆς οἰκείας εὐεξίαν, οἱ δὲ σοφίας ἐπικτήτου δύναμιν ἔσχον, καὶ ἧκον ἅπαντες ὑπ' ἔρωτος
128 [3] τε φιλονείκου φιλοτιμίας τε ἀνικήτου· ὅστις μὲν οὖν καὶ διότι καὶ ὅπως ἀπέπλησε τὸν ἔρωτα [4] τῇ Ἑλένῃ λαβών, οὐ λέξω· τὸ γὰρ τοῖς εἰδόσιν ἃ ἴσασι λέγειν τιμὴν μὲν ἔχει, τέρψιν δὲ οὐ φέρει. τὸν χρόνον δὲ τῷ λόγῳ τοῦ τότε νῦν ὑπερβὰς, ἐπὶ τὴν ἀρχὴν τοῦ μέλλοντος λόγου προβήσομαι, καὶ προθήσομαι τὰς αἰτίας δι' ἃς εἰκὸς ἦν γενέσθαι τὸν τῆς Ἑλένης εἰς [5] τὴν Τροίαν στόλον. 94

γ'. Ἢ γὰρ τύχης βουλήματι καὶ θεῶν κελεύσματι καὶ ἀνάγκης ψηφίσματι ἔπραξεν ἃ ἔπραξεν, ἢ βίᾳ ἁρπασθεῖσα, ἢ λόγοις πεισθεῖσα, ἢ ἔρωτι ἁλοῦσα. εἰ μὲν οὖν διὰ τὸ πρῶτον, [6] οὐκ ἄξιος αἰτιᾶσθαι ὁ αἰτιώμενος· θεοῦ γὰρ προθυμίαν ἀνθρωπίνῃ προμηθείᾳ ἀδύνατον κωλύειν. πέφυκε γὰρ οὐ τὸ κρεῖσσον ὑπὸ τοῦ ἥσσονος κωλύεσθαι, ἀλλὰ τὸ ἧσσον ὑπὸ τοῦ [7] κρείσσονος ἄρχεσθαι [8] καὶ ἄγεσθαι, καὶ τὸ μὲν κρεῖσσον ἡγεῖσθαι, τὸ δὲ [9] ἧσσον ἕπεσθαι. θεὸς δ' ἀνθρω-

[1] φῦναι [2] μεγάλα [3] τε om. [4] ὁ τὴν [5] τὴν om.
οὐκ om. [7] κρείττονος [8] τε καὶ ἄγεσθαι, τὸν μὲν γὰρ κρ. [9] ἕττον

Ὧν ὁ μὲν - - - ἠλέγχθη] Si qua his inest sana sententia nugis, hæc est. εἶναι h. l. opponitur τῷ φῦναι. est ergo illud quidem, *esse per se*, vi substantiæ suæ, sive ortu, et sine causa extrinsecus adventitia. hoc autem *capisse esse*, prognatum a causa extranea. Sed est merum ludibrium verborum. Jupiter habitus fuit pater Helenæ, propterea quod etiam revera esset [verum sophistica cavillatio subjicit sententiam a natura hujus loci alienam, propterea quod per se, et rerum omnium origo est]: Tyndarus autem, quod natus [h. e. mortalis natus] esset, ex eo constitit atque deprehensum est, eum falso jactatum fuisse patrem Helenæ. vitrea fracta. Idem.

Τὸν τότε] Imo vero τοῦ τότε. redit enim non ad χρόνον, sed ad λόγον. ut patet ex opposito, τοῦ μέλλοντος. omitto commemorare tempus illud pristinum, cujus rationibus ego tum movebar ut illa nota mea oratione Helenam vituperarem. [Vulgatam posse stare, nunc placet, ut sententia sit hæc: res tum temporis gestas juvat oratione transmittere, quo ad insecuta tempora et ad rem, de qua nunc agere decrevi, perveniam. χρόνος, per figuram, continens pro contento. res significat eo tempore gestas, quo Helena, Menelao nupta, mansit in Græcia, donec a Paride raperetur. *In supplem.*] Idem.

Αἰτιᾶσθαι] Passive h. l. accipiendum est. *culpari meretur culpans.* Idem.

που [1] κρεῖσσον καὶ βίᾳ καὶ σοφίᾳ καὶ τοῖς ἄλλοις. ἢ οὖν τῇ τύχῃ καὶ τῷ θεῷ τὴν αἰτίαν ἀναθετέον, ἢ τὴν Ἑλένην τῆς δυσκλείας ἀπολυτέον. εἰ δὲ βίᾳ ἡρπάσθη καὶ ἀνόμως ἐβιάσθη καὶ ἀδίκως ὑβρίσθη, δῆλον ὅτι ὁ ἁρπάσας ἢ ὑβρισας ἠδίκησεν, [2] ἡ δὲ ἁρπασθεῖσα ἢ ὑβρισθεῖσα ἐδυστύχησεν. ἄξιος [3] οὖν ὁ μὲν ἐπιχειρήσας βάρβαρος βάρβαρον ἐπιχείρημα καὶ νόμῳ καὶ λόγῳ καὶ ἔργῳ, νόμῳ μὲν ἀτιμίας, λόγῳ δ' αἰτίας, ἔργῳ δὲ ζημίας τυχεῖν· [2] ἡ δὲ βιασθεῖσα καὶ τῆς πατρίδος στερηθεῖσα καὶ τῶν φίλων ὀρφανισθεῖσα πῶς οὐκ ἂν εἰκότως ἐλεηθείη μᾶλλον ἢ κακολογηθείη; ὁ μὲν γὰρ ἔδρασε δεινά, ἡ δὲ [4] ἔπαθε· δίκαιον οὖν τὴν μὲν οἰκτεῖραι, τὸν δὲ μισῆσαι.

δ'. Εἰ δὲ λόγος [5] ὁ πείσας καὶ τὴν ψυχὴν ἀπατήσας, οὐδὲ πρὸς τοῦτο χαλεπὸν ἀπολογήσασθαι καὶ τὴν αἰτίαν
95 ἀπολύσασθαι ὧδε. λόγος δυνάστης μέγας ἐστίν, ὃς μικροτάτῳ σώματι καὶ ἀφανεστάτῳ θειότατα ἔργα ἀποτελεῖ. δύναται γὰρ καὶ φόβον παῦσαι καὶ λύπην καὶ χαρὰν ἐνεργάσασθαι καὶ ἔλεον ἐπαύξῆσαι. ταῦτα δὲ ὡς οὕτως ἔχει, δείξω· δεῖ δὲ καὶ δόξῃ δεῖξαι τοῖς ἀκούουσιν. τὴν ποίησιν ἅπασαν καὶ νομίζω καὶ ὀνομάζω λόγον ἔχοντα μέτρον· ἧς τοὺς ἀκούοντας εἰσῆλθε καὶ φρίκη περίφοβος 129
καὶ ἔλεος πολύδακρυς καὶ [6] πόθος φιλοπενθής, ἐπ' ἀλλοτρίων [7] τε πραγμάτων καὶ σωμάτων [8] εὐτυχίαις καὶ δυσπραγίαις ἰδίον τι πάθημα διὰ τῶν λόγων ἔπαθεν ἡ ψυχή· φέρε δὴ πρὸς ἄλλον ἀπ' ἄλλου μεταστῶ λόγον. αἱ γὰρ ἔνθεοι διὰ λόγων [9] ἐπῳδαὶ ἐπαγωγοὶ [10] ἡδονῆς, ἀπαγωγοὶ λύπης γίνονται· συγγινομένη γὰρ τῇ δόξῃ τῆς ψυχῆς ἡ δύναμις τῆς ἐπῳδῆς ἔθελξε καὶ ἔπεισε καὶ μετέστησεν

[1] κρείσσων [2] εἰ [3] οὖν om. [4] πέπονθε [5] ἦν ὁ
[6] πόθος om. [7] * γε [8] εὐτυχίας καὶ δυσπραγίας [9] ἡδοναὶ
[10] μὲν ἡδονῆς, ἀπαγ. δὲ λύπης

Ἢ οὖν - - - - ἢ τὴν Ἑλ.] Non repugnant hæc sibi. videtur itaque sic potius esse exarandum: εἰ οὖν - - - ἀναθετέον, scil. ἐστὶ, *quod si ergo causa hujus eventi fortunæ numinique divino imputanda est, καὶ τὴν* Ἑλ. - - - ἀπολυτέον, *necesse tum erit ut Helena quoque infamia liberetur.* Idem.

Δόξῃ δεῖξαι] Videtur συμμαχοῦντα [scil. τὸν λόγον] δόξαι τ. ἀ. *oportet vero audientibus videri orationem succurrentem*, seu *consentaneam ipsorum opinationi*, hoc est, *præjudiciis, præconceptis opinionibus.* Ut in tota oratione, ita hic quoque ludit sophista in vocabulis δόξη et δόξαι. [Venit in mentem hujus quoque rationis emendandi et interpretandi: δεῖ δὲ καὶ, εἰ συνδόξει, δεῖξαι τοῖς ἀκούουσι. *oportebit auditores quoque demonstrare, num pariter ipsis quoque vera videntur esse atque mihi videntur. In Supplem.*] Idem.

Καὶ φιλοπενθής] F. leg. καὶ οἶκτος πολυπενθής. Idem.

[1] αὐτὴν γοητείᾳ. γοητείας δὲ καὶ μαγείας δισσαὶ τέχναι εὕρηνται, αἵ εἰσι ψυχῆς ἁμαρτήματα καὶ δόξης ἀπατήματα. ὅσοι δὲ ὅσους περὶ ὅσων καὶ ἔπεισαν καὶ πείθουσι [2] δὲ ψευδῆ λόγον πλάσαντες! εἰ μὲν γὰρ πάντες περὶ παντων εἶχον τῶν παροιχομένων μνήμην τῶν τε παρόντων τῶν τε μελλόντων προνοιαν, οὐκ ἂν ὁμοίως ὅμοιος ὢν 96
ὁ λόγος ἢ τὰ νῦν γε οὔτε μνησθῆναι τὸ παροιχόμενον οὔτε σκέψασθαι τὸ παρὸν οὔτε μαντεύσασθαι τὸ μέλλον εὐπόρως [3] ἔχει, ὥστε περὶ τῶν πλείστων οἱ πλεῖστοι τὴν δόξαν σύμβουλον τῇ ψυχῇ παρέχονται. ἡ δὲ δόξα σφαλερὰ καὶ ἀβέβαιος οὖσα σφαλεραῖς καὶ ἀβεβαίοις ἀτυχίαις περιβάλλει τοὺς αὐτῇ χρωμένους. τίς οὖν αἰτία κινδυνεύει καὶ τὴν Ἑλένην [4] ὕμνος ἦλθεν ὁμοίως [5] ἄνουν νέαν οὖσαν [6] ὥσπερεὶ βιατήριον βίᾳ [7] ἡρπάσθη. τὸ γὰρ τῆς πειθοῦς ἔξειν, ὁ δὲ νοῦς. καίτοι εἰ [8] ἀνάγκη ὄνειδος ἕξει μὲν οὔ, τὴν δὲ δύναμιν τὴν αὐτὴν [9] ἔχει. λόγος γὰρ τὴν ψυχὴν ὁ [10] πεί- 97
σας, ἣν ἔπεισεν, ἠνάγκασε καὶ πείθεσθαι τοῖς λεγομένοις καὶ συναινέσαι τοῖς ποιουμένοις. ὁ μὲν οὖν πείσας ὡς ἀναγκάσας ἀδικεῖ, ἡ δὲ πεισθεῖσα ὡς ἀναγκασθεῖσα [11] τῷ λόγῳ μάτην ἀκούει κακῶς. ὅτι δ' ἡ πειθὼ προσιοῦσα τῷ λόγῳ καὶ τὴν ψυχὴν ἐτυπώσατο ὅπως ἐβούλετο, χρὴ μαθεῖν πρῶτον μὲν τοὺς τῶν μετεωρολόγων λόγους, οἵτινες δόξαι ἀντὶ δόξης τὴν μὲν ἀφελόμενοι τὴν δ' [12] ἐνεργασαμένοι τὰ ἄδηλα καὶ [13] ἄπιστα φαίνεσθαι τοῖς τῆς δόξης ὄμμασιν

[1] αὐτὴν om. [2] δὲ om. [3] εἶχεν [4] ὕμνος ἦλθεν om.
[5] ἄνουν om. [6] ὡς περὶ [7] ἁρπασθῆναι, τῇ γὰρ πειθοῖ ὁ νοῦς παρεῖναι.
[8] ἀνάγκη [9] * ἔχει λόγος. λόγος [10] πείσας ἢν, ἔπεισεν [11] τῷ om.
[12] ἐργασάμενοι [13] ἄπιστα

Παρόντων] Post τῶν τε παρόντων videtur ἔνοιαν deesse. IDEM.

Οὐκ ἂν ὁμοίως] Cohæret cum εὐπόρως εἶχεν. quod idem est atque ἐδύνατο. Ad ὁμοίως subauditur ὡς νῦν ἔχει, id est, δύναται. *non posset oratio tam facile, atque nunc potest.* IDEM.

Ἢ τὰ νῦν γε] Num ὡς τὰ νῦν γε, scil. ἔχει, *non posset oratio, ut nunc certe potest*, ὅμοιος ὤν, quamvis perinde sit potens. Sed istas sophisticas calliditates, vel ineptias potius, neque intelligo, neque intelligere laboro. Post νῦν γε deesse videtur ποιῆσαι. *non posset oratio perinde, atque nunc potest, efficere, ut homines aut præteritorum meminerint, aut præsentia considerent, aut de futuris per ratiociniorum et judiciorum probabilitates suspicentur.* IDEM.

Ὡς περὶ ζιατήριον βίᾳ ἁρπασθῆναι] Leg. videtur: ἀσπερεὶ βίᾳ τῆς ῥητορείας ἁρπασθῆναι. IDEM.

Εἰ ἀνάγκη] Subaudi παρεισίῃ. idem est ac si dixisset: εἰ μὲν ἀνάγκη παρεισίῃ, οὐδὲν ὄνειδος ἕξει. IDEM.

Ψυχὴν ὁ πείσας] Videtur ita leg. ψυχὴν ἣν ὁ πείσας· ἣν ἐπειδὴ ἔπεισεν, ἠνάγκασε. IDEM.

Λόγους] Post λόγους deesse videtur σκοπεῖν τα, vel ἐνθυμεῖσθαι, vel tale quid. *oportet intelligere, cogitando disputationes astrologorum.* IDEM.

Τὴν δὲ ἐργασάμενοι] Malim τὸ δ' ἐπεργασ. IDEM.

Ἄπιστα] Imo vero ἄπιστα. IDEM.

ἐποίησαν· δεύτερον δὲ τοὺς [1]ἀναγκαίους διὰ λόγων ἀγῶνας, ἐν οἷς εἷς λόγος πολὺν ὄχλον [2]ἔτερψε καὶ ἔπεισε τέχνῃ γραφεὶς, οὐκ ἀληθείᾳ λεχθείς· τρίτον [3]δὲ φιλοσόφων λόγων ἀμίλλας, ἐν αἷς δείκνυται καὶ γνώμης τάχος ὡς εὐμετάβολον ποιοῦν τὴν τῆς δόξης πίστιν. τὸν αὐτὸν δὲ λόγον ἔχει ἥ τε τοῦ λόγου δύναμις πρὸς τὴν τῆς ψυχῆς τάξιν ἥ τε 130
98 τῶν φαρμάκων τάξις πρὸς τὴν τῶν σωμάτων φύσιν. ὥςπερ γὰρ τῶν φαρμάκων [4]ἄλλους ἄλλα χυμοὺς ἐκ τοῦ σώματος ἐξάγει, καὶ τὰ μὲν νόσου τὰ δὲ βίου παύει, οὕτω καὶ τῶν λόγων οἱ μὲν ἐλύπησαν, οἱ δὲ ἔτερψαν, οἱ δὲ ἐφόβησαν, οἱ δὲ εἰς θάρσος κατέστησαν τοὺς ἀκούοντας, οἱ δὲ πειθοῖ τινὶ κακῇ τὴν ψυχὴν ἐφαρμάκευσαν καὶ ἐξεγοήτευσαν.

ε΄. Καὶ ὅτι μὲν εἰ λόγῳ ἐπείσθη οὐχ ἠδίκησεν ἀλλ' ἠτύχησεν, εἴρηται· τὴν δὲ τετάρτην αἰτίαν τῷ τετάρτῳ λόγῳ διέξειμι. εἰ γὰρ ἔρως ἦν ὁ ταῦτα πράξας, οὐ χαλεπῶς διαφεύξεται τὴν τῆς λεγομένης γεγονέναι ἁμαρτίας αἰτίαν. [5]ἃ γὰρ ὁρῶμεν, [6]ἔχει φύσιν οὐχ ἣν ἡμεῖς θέλομεν, ἀλλ' ἣν [7]ἕκαστον ἔτυχε. διὰ δὲ τῆς ὄψεως ἡ
99 ψυχὴ [8]κἀν τοῖς τρόποις τυποῦται. αὐτίκα γὰρ, ὅταν πολέμια σώματα [9]πολέμιος ἐπὶ πολέμιον ὁπλίσῃ κόσμον χαλκοῦ καὶ σιδήρου, τοῦ μὲν ἀλεξητήριον τοῦ δὲ προβλήματα, εἰ θεάσεται ἡ ὄψις, ἐταράχθη καὶ ἐτάραξε τὴν ψυχὴν, ὥςτε πολλάκις [10]ἀκινδύνου τοῦ μέλλοντος ὄντος

[1] ἀγοραίους [2] ἔτρεψε [3] δὲ om. [4] ἄλλα ἀλλαχοῦ ἐκ
[5] καὶ [6] ἔχει φύσιν om. [7] ἕκαστος [8] καινοῖς τρόποις
[9] καὶ πολέμιον ὁπλίσῃς [10] κινδύνου μέλλοντος οὐδέπω ὄντος

Ὡς εὐμετάβολον] Aut delendum est ὡς, aut potius interponendum est Εὔριπον. *ad instar Euripi versabilem, mutabilem, efficiens fidem.* Idem.

Τάξιν] Hic loci, et in continente, significat hoc vocab. idem, quod φύσις, aut leg. φαρμ. κρᾶσις. Idem.

Ἐξάγει] Id est, ἔξεισι, vel ἐξέρχεται, ἐκκρίνεται. *ut potionum medicatarum aliæ aliis modis e corpore exeunt,* vel *excernuntur,* per vomitum, per alvi dejectiones, per urinam, per sudorem, per salivæ fluxum, et sic porro. ἀλλαχοῦ accipio pro ἀλλαχῶς. Idem.

Ἐπείσθη] Helena puta. Idem.

Ἦν] Subaudi ὅρασιν vel ὄψιν. malim tamen ᾗ, *qua ratione.* sententia est: nos homines non videmus eo pacto, quo volumus, sed quo ut videret quæque, fortuito ipsi contributum et fatale fuit. Culpa nostra non est, in eo quod sæpe fit, ut oculis nostris placeant ea, quæ placent, non ea, quæ nos ipsi vellemus nobis placere. Sed fors fortuita sæpe nobis objicit rerum in se fœdarum et abhorrendarum speciem, velut amabilem. ut sæpe nostri nosmet ipsos pudeat atque pœniteat oculorum nostrorum, tam in transversum actorum et perverse judicantium. Idem.

Ὁπλίσῃς] Malim ὁπλίσηται. *armaturam hostilem* vel *bellicam* [h. e. ad vim seu depellendam seu inferendam comparatam] *sibi induerint,* vel *circumposuerint.* Vel l. οὐ πολέμια σωμ. εἰς πολέμιον. Idem.

Τοῦ μὲν —] Malim τὸν μὲν ἀλεξητήριον, τὸν δὲ προβληματικόν. *aliud armorum genus ad vim inferendam, aliud ad arcendam.* Idem.

Οὐδέπω ὄντος] F. οὔπω παρόντος. Idem.

φεύγουσιν ἐκπλαγέντες· ἰσχυρὰ γὰρ ἡ ἀλήθεια τοῦ νόμου διὰ τὸν φόβον εἰσῳκίσθη τὸν ἀπὸ τῆς ὄψεως, ἥ τις ἐλθοῦσα ἐποίησεν ἀσμενίσαι καὶ τοῦ καλοῦ τοῦ διὰ τὸν νόμον κρινομένου καὶ τοῦ ἀγαθοῦ τοῦ διὰ τὴν δίκην γιγνομένου. ἤδη δέ τινες ἰδόντες φοβερὰ καὶ τοῦ παρόντος ἐν τῷ παρόντι [1] χρόνῳ φρονήματος ἐξέστησαν· οὕτως ἀπέσβεσε καὶ ἐξέ- 100
λασεν ὁ φόβος τὸ νόημα. πολλοὶ δὲ [2] ματαίοις πόνοις καὶ δειναῖς νόσοις καὶ δυσιάτοις μανίαις περιέπεσον. οὕτως εἰκόνας τῶν ὁρωμένων πραγμάτων ἡ ὄψις [3] ἐνεγράψεν ἐν τῷ φρονήματι. καὶ τὰ μὲν δειματοῦντα πολλὰ μὲν παραλείπεται, ὅμοια δ' ἐστὶ τὰ παραλειπόμενα οἷαπερ τὰ λεγόμενα. ἀλλὰ μὴν οἱ γραφεῖς ὅταν ἐκ πολλῶν χρωμάτων καὶ σωμάτων ἓν σῶμα καὶ σχῆμα τελείως ἀπεργάσωνται, τέρπουσι τὴν ὄψιν. ἡ δὲ τῶν ἀνδριαντῶν ποίησις καὶ ἡ τῶν ἀγαλμάτων ἐργασία ὅσον ἡδεῖαν παρέσχετο τοῖς [4] ὀμμασιν. οὕτω τὰ μὲν [5] λυπεῖν τὰ δὲ προθεῖν πέφυκεν [6] τὴν ὄψιν. πολλὰ δὲ πολλοῖς πολλῶν ἔρωτα καὶ πόθον ἐνεργάζεται [7] πραγμάτων [8] καὶ σωμάτων. εἰ οὖν τῷ τοῦ Ἀλεξανδρου σώματι τὸ τῆς Ἑλένης ὄμμα ἡσθὲν προθυμίαν καὶ ἁμιλλαν ἔρωτος τῇ ψυχῇ παρέδωκε, τί θαυμαστόν; ὃς εἰ μὲν 101
θεὸς θεῶν θείαν [9] δύναμιν, πῶς ἂν ὁ ἥσσων εἴη τούτων ἀπώσασθαι καὶ ἀμύνασθαι δυνατός; εἰ δ' ἔστιν ἀνθρώπινος

[1] χρόνῳ om. [2] ματαίαις νόσοις καὶ δεινοῖς πόνοις [3] ἀνέγραψεν
[4] ὄμμασιν ὄψιν. [5] λιπεῖν [6] τὴν om. [7] τῶν πραγμάτων
[8] καὶ σωμάτων om. [9] δύναμιν κρατεῖ.

Ἐκπλαγέντες] Post ἐκπλαγέντες desunt nonnulla, quod præter areolam in Aldina vacuam relictam, vel ipsa satis per se indicat oratio hiulca et inexplicabilis. Idem.

Τοῦ νόμου] Lex designatur ex acie fugere vetans. Idem.

Εἰσῳκίσθη] Imo vero ἐξῳκίσθη. *e mente emigrare cogitur*. sed nescio, an parum tutum et lubricum sit, conjecturis in loco tam lacero rem velle gerere. Idem.

Ἀσμενίσαι] Imo vero ἀμνημονῆσαι, *oblivisci*. Idem. Bekkerus ἀμελῆσαι.

Δίκην] Nam justitia, ut punit pavidos, ita fortes præmiis remuneratur. Reisk.

Ἐν τῷ παρόντι] Num ἐν οὕτω παρόντι κινδύνῳ. *mentis statu dejecti sunt, quæ mens ipsis inerat, nondum præsente periculo*. Idem.

Ματαίαις] Num βαρείαις, an παλαιαῖς. *a metu in morbos pertinaces atque diuturnos conjecti sunt*. Possit quoque legi: ἰναυσίαις, *annos durantibus*, aut *quotannis recurrentibus*. Idem.

Οὕτως εἰκόνας] Interpone aliquod epithetum. ἀνεξιτήλους, vel δυσεκλίπτους, vel tale quid. Idem.

Πολλὰ μὲν παραλείπεται] F. πολλά, ἃ μοι παραλείπεται. Alius dixisset: τῶν δειματούντων πολλὰ οὐν ὑπ' ἐμοῦ παραλείπεται. Idem.

Ὅσον] Est exclamatio. ὅσον ἡδεῖαν, *o quam suavem!* Idem.

Λιπεῖν] Λυπεῖν leg. videtur. Idem.

Προθεῖν] Bene si habet, accipi debet pro πρὸς πόθον ἐκκαίειν. quod est prorsus improbabile. quare malim τὰ δὲ πόθον ἐκκαίειν, vel καίειν, πείρκει τὴν ὄψιν. Idem.

Ὃς εἰ —] Leg. videtur: ὃς εἰ μὲν, θεὸς ἂν, θείαν ἔχων δύναμιν, κρατεῖ. qui Cupido si propterea vincit, quod deus est, divina pollens virtute. Idem.

νόσημα καὶ ψυχῆς ἀγνόημα, οὐκ ὡς ἁμάρτημα μεμπτέον ἀλλ᾽ ὡς ἀτύχημα νομιστέον· ἦλθε γὰρ [1] ὡς ἦλθε ψυχῆς ἀγρεύμασιν οὐ γνώμης βουλεύμασι, καὶ ἔρωτος ἀνάγκαις οὐ τέχνης παρασκευαῖς.

ϛ΄. Πῶς οὖν χρὴ δίκαιον ἡγήσασθαι τὸν τῆς Ἑλένης μῶμον, ἥτις εἴτ᾽ ἐρασθεῖσα [2] εἴτε λόγῳ πεισθεῖσα εἴτε βίᾳ ἁρπασθεῖσα εἴτε ὑπὸ θείας ἀνάγκης ἀναγκασθεῖσα [3] ἔπραξεν ἃ ἔπραξε, πάντως διαφεύγει τὴν αἰτίαν;

ζ΄. Ἀφεῖλον τῷ λόγῳ δύσκλειαν γυναικὸς, ἐνέμεινα τῷ νόμῳ ὃν ἐθέμην [4] ἐν ἀρχῇ τοῦ λόγου, ἐπειράθην καταλῦσαι μώμου ἀδικίαν καὶ δόξης [5] ἀμαθίαν, ἐβουλήθην γράψαι τὸν λόγον Ἑλένης μὲν ἐγκώμιον, ἐμὸν δὲ παίγνιον.

[1] ὡς om. [2] εἴτε λόγῳ - - - ἁρπασθεῖσα om. [3] ἔπραξεν ἃ om. [4] ἐπ᾽ [5] ἀμαθείαν

Νομιστέον] num ἄξιον ἐλέου νομιστέον. IDEM.

Ψυχῆς] Imo vero τύχης. caeca quaedam sors homini hos laqueos injecit, non ipse sese consulto in eos induit. IDEM.

Ἀναγκασθεῖσα] Num leg. συναρπασθεῖσα ἔπραξεν, ἃ ἔπραξε. IDEM.

Ἐπ᾽ ἀρχῇ] Aut ἐπ᾽ ἀρχῆς leg. in genitivo, aut ἐν ἀρχῇ. IDEM.

B.

ΓΟΡΓΙΟΥ

ΥΠΕΡ ΠΑΛΑΜΗΔΟΥΣ

ΑΠΟΛΟΓΙΑ.

Pag. ed. Reisk. 102 — Pag. ed. H. Steph. 187. 2

α΄. Η ΜΕΝ κατηγορία καὶ ἡ ἀπολογία κρίσις οὐ περὶ θανάτου γίγνεται· θάνατον μὲν γὰρ ἡ φύσις φανερᾷ τῇ ψήφῳ πάντων κατεψηφίσατο τῶν θνητῶν ἧπερ ἡμέρᾳ ἐγένετο· περὶ δὲ τῆς ἀτιμίας καὶ τῆς τιμῆς ὁ κίνδυνός ἐστι, πότερά με χρὴ δικαίως ἀποθανεῖν ἢ μετ᾽ ὀνειδῶν μεγίστων

Ἧπερ ἡμέρᾳ ἐγένετο] Scil. ἕκαστα. qua mortis sententia in ea pronunciatur. die mortalia quaeque nascuntur, ea die REISK.

καὶ τῆς αἰσχίστης αἰτίας βιαίως ἀποθανεῖν. οὐτωσὶ δὲ τούτων ὄντων, τοῦ μὲν ὅλου ὑμεῖς κρατεῖτε, τοῦ δ' ἐγώ. τῆς μὲν δίκης ἐγώ, τῆς δὲ βίας ὑμεῖς. ἀποκτείναι [1] γὰρ με δυνήσεσθε βουλόμενοι ῥᾳδίως· κρατεῖτε γὰρ καὶ τούτου. εἰ δ' οὐδὲν ἐγὼ τυγχάνω κρατῶν. εἰ μὲν οὖν ὁ κατήγορος Ὀδυσ-
30 σεὺς ἢ σαφῶς ἐπιστάμενος προδιδόντα με τοῖς Ἕλλησι τοῖς 103
βαρβάροις ἢ δοξάζων γε οὕτω ταῦτα ἔχειν ἐποιεῖτο τὴν κατηγορίαν δι' εὔνοιαν τῆς Ἑλλάδος, ἄριστος ἂν ἦν ὁ ἀνὴρ — πῶς γὰρ οὔ; ὅς γε σώζει πατρίδα, τεκέας, τοὺς πάντων Ἑλλάδα, ἔτι δὲ πρὸς τούτοις τὸν ἀδικούντα τιμωρούμενος; — εἰ δὲ φθόνῳ ἢ κακοτεχνίᾳ ἢ πανουργίᾳ ἐπιθήκοι ταύτην τὴν αἰτίαν, ὥσπερ δὴ ἐκεῖνα κρατιστος ἂν ἦν ἀνήρ,
35 οὕτω διὰ ταῦτα κάκιστος ἀνὴρ περὶ τούτων. ἐγὼ δὲ τί δεῖ ἄρξωμαι; τί δὲ πρῶτον εἴπω; ποῖ δὲ τῆς ἀπολογίας τρέπωμαι; αἰτία γὰρ ἀνεπίδεικτος ἔκπληξιν ἐμφανῆ ἐμποιεῖ, διὰ δὲ τὴν ἔκπληξιν ἀπορεῖν ἀνάγκη τῷ λόγῳ. ἂν μή τι παρ' αὐτῆς τῆς ἀληθείας καὶ τῆς παρούσης ἀνάγκης μαθών, διδασκάλων ἐπικινδυνοτέρων ἢ πορίμωτέρων τυχών. ὅτ. μὲν 104
οὖν οὐ σαφῶς ὁ κατήγορος κατηγορεῖ μου. σαφῶς οἶδα· συν-
40 οιδα γὰρ ἐμαυτῷ σαφῶς οὐδὲν τοιοῦτον πεποιηκώς· οὐδ' οὐχ ὅπως ἂν εἰδείη τις ἢ τὸ μὴ γενόμενον. εἰ δὲ οἰόμενος οὕτω ταῦτα ἔχειν ἐποιεῖτο τὴν κατηγορίαν, οὐκ ἀληθῆ λέγειν διὰ δισσῶν ὑμῖν ἐπιδείξω τρόπων. οὔτε γὰρ βουληθεὶς

[1] μὲν γὰρ δυνήσεσθε

[2] κακουργίᾳ

Βιαίως] Id est, ἀδίκως. Idem.

Ὅλου] Videtur delendum. Idem. Quid si? ὅλως.

Δίκης] Id est, τοῦ μετὰ δικαιοσύνης, vel ἀνυπευθύνως, ἀποθανεῖν. Cui opponitur ἡ βία, id est, βιαίως, τουτέστιν, ἀδίκως ἀποθανεῖν. Reisk.

Κρατεῖτε γὰρ καὶ τούτου] Videtur aut καὶ esse delendum, aut sic leg. κρατεῖτε γὰρ ἐμοῦ καὶ τούτου. Idem.

Δοξάζων με] Π. δοξάζων γε. H. Stephan.

Πῶς γάρ,] Π. πῶς γὰρ οὔ; Idem.

Ἀνὴρ περὶ τούτου. ἐγὼ δὲ πόθεν ἄρξομαι.] Num ἂν ἦν περιφανῶς πάντων. ἐγὼ δὲ π. ἄ. Aut sic: ἂν ἦν. περὶ τούτου δ' ἐγὼ λέγων πόθεν ἄρξ. Reisk.

Ἐπικινδυνοτέρων ἢ πορίμωτέρων] Necessitatem quod appellat magistram rerum dicendarum, magis ancipitem, quam in inveniendo copiosam et ingeniosam, hoc fero, et laudo adeo, ut scite dictum et ex vero. Veritatem vero quod item ait magis valere defensores causarum capitalium in discrimen conjecere, quam iis idonea defensionis arma administrare, id vero cum miror, tum improbo et damno, ut veritati rerum repugnans. Ecquid enim sui defendendi et salutis adipiscendæ vias magis aperiat, quam veritas? quæ si dicenda suggerere minus valet, nihil aliud valebit. Idem.

Οὐ σαφῶς] Post οὐ σαφῶς addendum videtur εἰδώς. ab accusatore me accusari non ex certa conscientia criminis quare. Idem.

Οἶδδ' οὐχ ὅπως] Num sic leg. οἶδ' ἴσως ὅπως ἂν εἰδεῖη τις τὸ μὴ γενόμενον. neque fieri potest, ut tu factum scias id, quod nunquam factum sit. Idem.

ἐδυνάμην ἂν, οὔτε δυνάμενος [1] ἐβουλήθην ἔργοις ἐπιχειρεῖν τοιούτοις.

β'. Ἐπὶ τοῦτον δὲ τὸν λόγον εἶμι πρῶτον, ὡς ἀδύνατός εἰμι τοῦτο πράττειν. ἔδει γάρ τινα πρῶτον ἀρχὴν γενέσθαι τῆς προδοσίας, ἡ δὲ ἀρχὴ λόγος ἂν εἴη· πρὸ γὰρ τῶν μελ- 188
λόντων ἔργων ἀνάγκη λόγους γίγνεσθαι πρότερον. λόγοι δὲ πῶς ἂν γένοιντο μὴ συνουσίας τινὸς γενομένης; συνουσία δὲ τίνα τρόπον γένοιτ' ἂν μήτ' ἐκείνου πρὸς ἐμὲ πέμψαντος μήτε παρ' ἐμοῦ πρὸς ἐκεῖνον ἐλθόντος; οὐδὲ παραγγελία διὰ
105 γραμμάτων ἀφῖκται ἄνευ τοῦ φέροντος. Ἀλλὰ δὴ τοῦτο τῷ 5
λόγῳ δυνατὸν [2] γενέσθω· καὶ δὴ τοίνυν σύνειμι καὶ σύνεστι, κἀκεῖνος ἐμοὶ κἀκείνῳ ἐγώ. τίνα τρόπον; τίνι τίς ὤν; Ἕλλην βαρβάρῳ. πῶς ἀκούων καὶ λέγων; πότερα μόνος μόνῳ; ἀλλ' ἀγνοήσομεν τοὺς ἀλλήλων λόγους. ἀλλὰ μεθ' ἑρμηνέως; τρίτος ἄρα μάρτυς γίνεται τῶν κρύπτεσθαι δεομένων. Ἀλλὰ δὴ καὶ τοῦτο γενέσθω, καίπερ οὐ γενόμενον. ἔδει δὲ μετὰ τούτους πίστιν δοῦναι καὶ δέξασθαι. τίς 10
οὖν ἂν ἦν ἡ πίστις; πότερον ὅρκος; τίς οὖν ἐμοὶ τῷ προδότῃ πιστεύειν ἔμελλεν; ἀλλ' ὅμηροί τινες; οἷον ἐγὼ τὸν ἀδελφὸν ἔδωκ' ἂν — οὐ γὰρ εἶχον ἄλλον —, ὁ δὲ βάρβαρος τῶν υἱέων τινά· πιστότατα γὰρ [3] ἂν ἦν οὕτως ἐμοί τε παρ' ἐκείνου ἐκείνῳ τε παρ' ἐμοῦ. ταῦτα δὲ γιγνόμενα πᾶσιν ὑμῖν ἂν ἦν φανερά. Φήσει τις ὡς χρήμασι τὴν πίστιν ἐποιούμεθα, ἐκεῖνος μὲν διδοὺς, ἐγὼ δὲ λαμβάνων. πότερον οὖν ὀλίγοις; ἀλλ' οὐκ εἰκὸς ἀντὶ μεγάλων ὑπουργημάτων 15
ὀλίγα χρήματα λαμβάνειν. ἀλλὰ πολλά; τίς οὖν ἦν ἡ κομιδή; πῶς δ' ἂν ἐκόμισεν; ἢ πολλοί; πολλῶν γὰρ κομι-
106 ζόντων πολλοὶ [3] ἂν ἦσαν οἱ μάρτυρες τῆς ἐπιβουλῆς, ἑνὸς δὲ κομίζοντος οὐκ ἂν πολύ τι τὸ φερόμενον ἦν. πότερα δὲ ἐκό-

[1] ἠβουλήθην ἐπιχειρεῖν [2] γενέσθαι [3] ἂν om.

Ἐλθόντος] Subaudi τινός. Idem.

Οὐδὲ παραγγελία] Imo vero οὐδὲ γὰρ ἀγγελία. Idem.

Ἀλλὰ δὴ τοῦτο] Quidni potius ἀλλὰ δῆλον, ὅτι τοῦτο — *sed constat hoc fieri posse solo sermonis ministerio.* Nam ad λόγῳ aut addendum est, aut certe subaudiendum μόνῳ. Idem. Dedi cum Bekkero γενέσθω. cfr. v. 16.

Δεῖ τοίνυν] Π. δὴ τοίνυν. H. Stephan.

Σύνεστι κἀκεῖνος] Leg. videtur σύνεστιν ἐκεῖνος. Reisk.

Μετὰ τούτους] Π. με τούτοις. H. Stephan. Ego malim aut μετὰ ταῦτα, aut potius με τούτω, *me huic barbaro.* Reisk.

Πιστεύειν] Malim πιστεύσειν in futuro. Idem.

Ἢ πολλοὶ] Π. εἷς ἢ πολλοί; H. Stephan. Non male. Possit quoque legi αὐτός; *ipsene?* [scil. ἐκόμισεν] ἢ πολλοί; *an multi?* scil. ἐκόμισαν. Reisk.

μισαν ἡμέρας ἢ νυκτός; [1][νυκτός;] ἀλλὰ πολλαὶ καὶ
πυκναὶ φυλακαί, δι' ὧν οὐκ ἔστι λαθεῖν. ἀλλὰ ἡμῶν;
20 ἀλλά γε τὸ φῶς πολεμεῖ τοῖς ποιούτοις. εἶεν. ἐγὼ δ' ἐξελθὼν ἐδεξάμην, ἢ ἐκεῖνος ὁ φέρων εἰσῆλθεν; ἀμφότερα γὰρ ἄπορα. λαβὼν δὲ δὴ πῶς ἂν ἔκρυψα καὶ τοὺς ἔνδον καὶ τοὺς ἔξω; ποῦ δ' ἂν ἔθηκα; πῶς δ' ἂν ἐφύλαξα; χρήματος δ' ἂν φανερὸς ἐγενόμην· μὴ χρώμενος δὲ τί ἂν ὠφελούμην ἀπ' αὐτῶν; Καὶ δὴ τοίνυν γενέσθω καὶ τὰ μὴ γενόμενα. συνήλθομεν, εἴπομεν, ἠκούσαμεν, χρήματα τοῦ κύντου ἐλα-
25 βομεν, ἔλαθον λαβών, ἔκρυψα. ἔδει δήπου πράττειν ἃν ἕνεκα ταῦτα ἐγένετο. τοῦτο τοίνυν ἔτι τῶν εἰρημένων ἀσφαλέστερον. πράττων μὲν γὰρ αὐτὸς ἔπραττον ἢ μεθ' ἑτέρου. ἀλλ' οὐχ ἑνὸς ἡ πρᾶξις. ἀλλὰ μεθ' ἑτέρου; τίνος; δηλονότι [3]τῶν νῦν ὄντων. πότερον ἐλευθέρων ἢ δούλων; ἐλευθέροις μὲν γὰρ ὑμῖν σύνειμι. τίς οὖν ὑμῶν ξύνοιδε; λεγέτω. 107
δούλοις δὲ πῶς οὐκ ἄπιστον; ἑκόντες γὰρ ἐπ' ἐλευθερίᾳ
